Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: lvi-ad

*Διονύσιος ὁ Θρᾷξ Τέχνη Γραμματικὴ ὑπόμνησις* · Commentary on Dionysius Thrax

# Vatican Scholia

*Σχόλια Βατικανά*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

1 SCHOLIA VATICANA. Προλεγόμενα τῆς τέχνης Διονυσίου ἀπὸ τῶν διὰ πλάτους 〈ἐξηγήσεων 〉 . Οἱ περὶ τέχνης θέλοντες διαλαβεῖν τὸ χρήσιμον τοῦ σκοποῦ προδεικνύουσι· τέχνης γὰρ οὐδέν ἐστι χρησιμώτερον. Καὶ τοῦτό ἐστιν αὐτόθεν δῆλον· καὶ γὰρ πενίας ἡμᾶς ἀπαλλάττει καὶ τῶν ἐκ ταύτης γινομένων ἀποριῶν, καὶ διαφέροντα τὸν βίον τῶν ἀνθρώπων ἀπεργάζεται πρὸς τὴν τῶν ἀλόγων ζῴων ἀνεπιτήδευτον διαγωγήν, καὶ λεπτύνει τὸν νοῦν, καὶ τὰς περὶ βιοτῆς φροντίδας ῥυθμίζει. Τούτων μάρτυς τῶν λεχθέντων Ἵππαρχος ὁ κωμικός, διά τινος τῶν αὐτοῦ κωμῳδιῶν λέγων 〈fr. 2 K〉 πολλῷ γάρ ἐστι κτῆμα τιμιώτατον Ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχν η. Ἐπεὶ οὖν ταῦτα εἰρήκαμεν περὶ τῆς τέχνης, ἀναγκαῖον εἰπεῖν τὸν ὅρον αὐτῆς, πρῶτον μαθόντας τί ἐστιν ὅρος, καὶ πόθεν λαμβάνεται ὅρος, καὶ τί ἴδιον ὅρου· εἴπωμεν δὲ τίς ἐστιν ὅρος ὅρου, καὶ τίς ὑγεία ὅρου, καὶ πόθεν ὀνομάζεται, καὶ πῶς σχηματίζεται. Ἀριστοτέλης οὖν οὕτως ὁρίζεται τὸν ὅρον· «ὅρος ἐστὶν ὁ τὸ ὂν τί 〈ἦν〉 εἶναι δηλῶν».

107 Καὶ διὰ μὲν τοῦ εἰπεῖν τὸ τί ἐδήλωσε τὴν οὐσίαν, τὸ γὰρ τί οὐσίας ἐστὶ δηλωτικόν· διὰ δὲ τοῦ εἰπεῖν «εἶναι» καὶ προ〈σ〉 θέσθαι ῥήματι παρῳχημένου χρόνου ἐδήλωσεν ὅτι προϋπάρχει τὸ ὁριστὸν τοῦ ὅρου. Ὁ δὲ Χρύσιππος λέγει, ὅτι «ὅρος ἐστὶν ἰδίου ἀπόδοσις», τουτέστιν ὁ τὸ ἴδιον ἀποδιδούς. Ὁ δὲ Ἀντίπατρος ὁ Στωϊκὸς λέγει· «ὅρος ἐστὶ λόγος κατ’ ἀνάγκην ἐκφερόμενος», τουτέστι κατ’ ἀντιστροφήν· καὶ γὰρ ὁ ὅρος ἀντιστρέφειν θέλει. Ἄλλοι δὲ λέγουσιν, ὅτι «ὅρος ἐστὶ λόγος ἐκ τῶν καθόλου καὶ κοινῶν 〈καὶ ἰδίου〉 ἴδιόν τι ἀποτελῶν»· ὁριζόμενοι γὰρ τὸν ἄνθρωπον λέγομεν, ὅτι «ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ τε καὶ ἐπιστήμης δεκτικόν». Καὶ ἰδού, ἐκ τῶν καθόλου καὶ κοινῶν 〈καὶ ἰδίου〉 ἴδιόν τι ἀπετέλεσεν· καὶ γὰρ τὰ μὲν ἄλλα κοινά εἰσιν, ὡς τὸ ζῷον, τὸ λογικόν, τὸ θνητόν· καὶ γὰρ οὐ μόνος ὁ ἄνθρωπός ἐστι ζῷον, ἀλλὰ καὶ 〈λέων καὶ ἰχθὺς καὶ πάντα ὅσα ζωῆς μετειλήφασιν· καὶ πάλιν οὐ μόνος ὁ ἄνθρωπός ἐστι λογικόν, ἀλλὰ καὶ〉 οἱ ἄγγελοι καὶ οἱ δαίμονες· καὶ πάλιν οὐ μόνος ὁ ἄνθρωπός ἐστι θνητόν, ἀλλὰ καὶ οἱ δαίμονες καὶ τὰ ἄλλα ζῷα, θνηταὶ γὰρ αἱ μακρόβιοι νύμφαι· τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν μόνου τοῦ ἀνθρώπου ἐστίν, αἱ γὰρ μακρόβιοι νύμφαι οὐ διδάσκονται, ἀλλὰ φύσει ἔχουσι τὴν εἴδησιν. Ἄλλοι δέ φασιν, ὅτι «ὅρος ἐστὶ λόγος σύντομος, δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος»· [ὁ] «λόγος» δὲ πρόσκειται διὰ τὸ ἄνθρωπος· τοῦτο γὰρ δηλοῖ τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος, ἀλλ’ οὐκ ἔστι λόγος· ὁ δὲ ὅρος λόγος θέλει εἶναι, τουτέστιν ἐκ πλειόνων λέξεων θέλει συγκεῖσθαι· «σύντομος» δὲ πρόσκειται, ἐπειδὴ ἔστι λόγος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈τοῖσ〉 λαοῖς καὶ διηγηματικός· «δηλωτικὸς» δὲ «τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος» πρόσκειται διὰ τὰ ἀποφθέγματα, οἷον διὰ τὸ «μηδὲν ἄγαν» καὶ «γνῶθι σαυτόν»· ταῦτα γὰρ καὶ λόγοι εἰσὶ καὶ σύντομοι, καὶ ὅμως οὐ δηλοῦσι τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος, ὅθεν οὐδὲ ὅρου καὶ τί τὸ Μαθόντες οὖν τί ἐστιν ὅρος, εἴπωμεν τίς ὑγεία ὅρου καὶ τί τὸ πάθος. Ὑγεία οὖν ἐστιν ὅρου τὸ ἀντιστρέφειν τὸν ὅρον πρὸς τὸ κεφαλαιῶδες, ἤγουν πρὸς τὸ ὁριστόν· οἷον τί ἐστιν ἄνθρωπος; ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· 〈τί ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν; ἄνθρωπος·〉 ἰδού, τοῦτο ἐστι τὸ ἀντιστρέφειν. Κεφαλαιῶδες δὲ λέγεται τὸ ὁριστόν, ἐπειδὴ ὥσπερ τὸ κεφάλαιον τὸ διὰ πλειόνων λέξεων λεγόμενον ὡς ἐν συντόμῳ παραδίδωσιν, οὕτω καὶ ὅλος ὁ ὅρος, λέγω δὴ τὸ ζῷον λογικὸν καὶ ἑξῆς, διὰ μιᾶς λέξεως δηλοῦται, ὁ ἄνθρωπος.

108 Πάλιν ὑγεία ὅρου ἐστὶ τὸ σύμμετρον, λέγω δὴ τὸ μήτε ἐλλείπειν μήτε πλεονάζειν· ἐὰν μὲν 〈γὰρ〉 ἐλλείπῃ ταῖς λέξεσιν, 〈πλεονάζει τοῖς πράγμασιν, ἐὰν δὲ πλεονάζῃ ταῖς λέξεσιν〉, ἐλλείπει τοῖς πράγμασιν· οἷον ἐὰν 〈μὲν〉 εἴπω «ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικόν», ἐπλεόνασα μὲν ταῖς λέξεσιν, ἐνέλειψα δὲ τοῖς πράγμασι, μόνον γὰρ τὸν γραμματικὸν ἐδήλωσα; ἐὰν δὲ εἴπω «ζῷον λογικόν», ἐνέλιπον μὲν ταῖς λέξεσιν, ἐπλεόνασα δὲ τοῖς πράγμασιν· οὐ μόνον 〈γὰρ〉 τὸν ἄνθρωπον εἰσήγαγον, ἀλλὰ καὶ ἄγγελον καὶ δαίμονα. Ὠνόμασται δὲ ὅρος ἀπὸ μεταφορᾶς 〈τοῦ〉 ἐν ταῖς πόλεσιν ἐπὶ τῶν ὁροθεσίων· ὥσπερ 〈γὰρ〉 τὰ ὁροθέσια διαχωρίζουσι τὰ ἀλλότρια ἀπὸ τῶν ἰδίων καὶ ἑκάστῳ τὸ ἴδιον ἀποδιδόασι, τὸν αὐτὸν τρόπον καὶ ὁ ὅρος χωρίζει τὰ ἀλλότρια ἀπὸ τῶν ἰδίων καὶ τὰ ἁρμόζοντα τῷ ὁριστῷ παραδίδωσιν. Σχηματίζεται δὲ ὅρος τοῦτον τὸν τρόπον· ὥσπερ ἀπὸ τοῦ σπείρω γέγονε σπόρος, οὕτω καὶ ἀπὸ τοῦ εἴρω (τὸ συμπλέκω καὶ συνάπτω) γίνεται ὅρος· καὶ γὰρ ὁ ὅρος συμπλέκει καὶ συνάπτει τῷ ὁριστῷ τὰ ἴδια αὐτοῦ· ἐκ τοῦ εἴρω δὲ καὶ ὅρμος, τὸ σημαῖνον τὸν περιτραχήλιον κόσμον, καὶ γὰρ ὁ περιτραχήλιος κόσμος συμπεριέχει κόσμιόν τι· καὶ ἐκ τούτου καὶ ὅρμος ὁ λιμήν, περιεκτικὸς γάρ ἐστιν ὁ λιμὴν πλήθους νεῶν. Ἡρωδιανὸς δὲ λέγει, ὅτι ἀπὸ τοῦ ὁρῶ (τὸ βλέπω) γέγονεν ὅρος· καὶ γὰρ ὁ ὅρος εὐόρατα καὶ εὔοπτα ποιεῖ ἡμῖν τὰ ὁριζόμενα. Εὐλόγως δὲ δασύνεται τὸ ὅρος· εἴτε γὰρ ἀπὸ τοῦ εἴρω γινόμενον (τὸ συμπλέκω) δασύνεται, ἐπειδὴ καὶ τὸ εἴρω δασύνεται, εἴτε ἀπὸ τοῦ ὁρῶ, ὡσαύτως. Εἴπωμεν δὲ τὸν ὅρον τῆς τέχνης. Οἱ μὲν Ἐπικούρειοι οὕτως ὁρίζονται τὴν τέχνην· «τέχνη ἐστὶ μέθοδος ἐνεργοῦσα τῷ βίῳ τὸ συμφέρον»· ἐνεργοῦς δὲ οἱονεὶ ἐργαζομένη. Ὁ δὲ Ἀριστοτέλης οὕτως· «τέχνη ἐστὶν ἕξις ὁδοῦ τοῦ συμφέροντος ποιητική»· ἕξις δέ ἐστι πρᾶγμα μόνιμον καὶ δυσκατάληπτον. Οἱ δὲ Στωϊκοὶ λέγουσ ι· «τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐμπειρίᾳ ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ». «Σύστημα» δὲ οἱονεὶ συνάθροισμα· οὕτω γὰρ εἰώθαμεν λέγειν σύστημα στρατιωτῶν, τουτέστι [τὸ] συνάθροισμα· οὐ γάρ ἐστι τέχνη μονοειδής, ἀλλ’ ἐκ διαφόρων πολλῶν συνίστανται αἱ τέχναι· οὐ γὰρ ὁ μόνον ξέσαι εἰδὼς οὗτος τέκτων, ἀλλ’ εἰ μὴ καὶ τρυπῆσαι καὶ κολλῆσαι καὶ ἁρμόσαι 〈οἶδεν, οὐκ ἔστι τέκτων〉. «Ἐκ καταλήψεων» δὲ οἱονεὶ ἐξ ἐφευρημάτων, ἐκ γνώσεων, ἐκ θεωρημάτων· [ἐκ γὰρ θεωρημάτων ἡ ἰατρική·] οὐ γὰρ ἀπ’ ἀρχῆς ὡς εἰσὶ γεγόνασιν αἱ τέχναι, ἀλλὰ ἐ〈γ〉 κατελάβετο ὁ δεῖνα πρὸ πολλοῦ χρόνου τὸ τρυπᾶν καὶ ὁ δεῖνα τὸ ξέειν, καὶ παρέδωκε τοῖς καθ’ ἑαυτόν, καὶ ὁ δεῖνα τὸ πρίζειν· καὶ οὕτως ἐξ ἑνὸς εἰς ἕνα συμπεραιούμεναι αἱ τέχναι τὸ τέλειον κατειλήφασιν.

109 Καὶ ἡ 〈ἰα〉 τρικὴ δὲ οὐκ ἐξ ἑνὸς ἢ δευτέρου θεωρήματος μόνου, ἀλλὰ καὶ ἐκ πλειόνων συνέστη· οἱ δὲ συστησάμενοι ταύτην οὐκ ἀμογητὶ αὐτὴν συνεστήσαντο οὔτε ἐφάπαξ, ἀλλὰ πολλῶν ἀνδρῶν πολλὴν συνεισενεγκαμένων σπουδὴν καὶ πολλοὺς πόνους ὑποστάντων, τοῦ μὲν τόδε τὸ θεώρημα εὑρηκότος καὶ πολλάκις πειράσαντος καὶ μήπω ἀξιώσαντος αὐτὸ τῇ τέχνῃ προσάψαι, ἄχρις οὗ ἀπὸ τῆς τῶν πραγμάτων ἐβεβαιώθη μαρτυρίας, καὶ ἑτέρου ὁμοίως τινὰ εὑρηκότος θεωρήματα, καὶ ἄλλου ἄλλα, κἀνταῦθα ἐκ τῶν κατὰ μέρος ἱδρῶτι πολλῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀθροίσματος γενομένου καὶ τὴν τέχνην ἐργασαμένου. Μήτις δὲ οἰέσθω, ἄθροισμα μόνον πολλῶν θεωρημάτων τὴν ἰατρικὴν ὑπάρχειν, ἀλλὰ καὶ συνέχειαν φυλαττόντων πρὸς ἄλληλα καὶ τάξιν τινὰ καὶ ἀκολουθίαν, καὶ εἰς ἓν ἅπαντα τέλος ὁρῶντα, τὴν ὑγείαν· οὐκοῦν εἰκότως λέξομεν αὐτὴν ἐκ θεωρημάτων συνίστασθαι συγγεγυμνασμένων πρός τι τέλος, ἓν γὰρ τέλος αὐτῆς ὑγεία ἀλλὰ καὶ εὔχρηστον τὸ τέλος τοσοῦτον, ὡς μήτε τὰς ἄλλας δύνασθαι τὸ οἰκεῖον τέλος τούτου χωρὶς ἐπιδείξασθαι τῶν ἐν τῷ βίῳ. «Ἐγγεγυμνασμένων» οἱονεὶ δεδοκιμασμένων· ἕως γὰρ νῦν δοκιμάζονται, καὶ λεπτότεραι ἑαυτῶν καὶ ἀκριβέστεραι αἱ τέχναι προέρχονται· ἐγγεγυμνασμένων οὖν ἀντὶ τοῦ ἐξηκριβολογημένων· εἴληπται δὲ ἡ λέξις ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν· οὗτοι γὰρ γυμνάσαντες ἑαυτοὺς εἰς τὸν κατ’ ἀλλήλων ἀγῶνα χωροῦσιν, ὅς ἐστι βάσανος ἀρετῆς· ἢ «ἐγγεγυμνασμένων» τουτέστι μεμελετημένων οὐδὲ γὰρ ἀνιδρωτὶ συνέστησαν αἱ τέχναι. Ἀθήναιος δὲ τὴν ἐναντιότητα παρέλαβεν· οὗτος δὲ καὶ τὸ καταλήψεων ἀντὶ τοῦ θεωρημάτων ἐκλαμβάνει· θεώρημα δὲ εἴρηται ἀπὸ τοῦ ἐκ θεοῦ τὴν ὥραν ἔχειν· ὥρα δέ ἐστιν ἡ φροντίς. «Πρός τι τέλος εὔχρηστον», ἐπειδὴ πᾶσα τέχνη ὀνομάζεται ἐκ τοῦ τέλος ἔχειν βιωφελὲς καὶ χρήσιμον· καὶ γὰρ ἡ γεωργικὴ τὰ ἀπὸ τῆς γῆς ἀγαθὰ πορίζει, καὶ αἱ λοιπαὶ πᾶσαι, οἷον χαλκευτικὴ καὶ τεκτονικὴ καὶ ἑξῆς, τὰ πρὸς ὠφέλειαν ἐπινοοῦνται· ὡς ἥ γε τέχνη ἡ μὴ ἔχουσα τὸ τέλος χρειῶδες καὶ ὠφέλιμον οὐ τέχνη, ἀλλὰ κακοτεχνία ὀνομάζεται· ⟨ἡ⟩ κυβευτικὴ γοῦν, καίτοι λεπτομερὴς οὖσα καὶ ἀκριβής, οὐκ ἂν λεχθείη τέχνη, ὅτι πολλοὺς τῶν ἰδίων ἐστέρησε καὶ τὸ τέλος ἐπιβλαβὲς τοῖς κεκτημένοις ἔχει· καὶ ⟨ἡ⟩ γοητευτική, καθὸ τὸ τέλος οὐκ εὔχρηστον ἔχει, καὶ αὐτὴ κακοτεχνία ὀνομάζεται. Ἰστέον δὲ ὅτι, ὥσπερ τῆς ἰατρικῆς τέλος ἐστὶν ἡ ὑγεία καὶ τῆς ῥητορικῆς τὸ πείθειν, τὸν αὐτὸν τρόπον καὶ τῆς γραμματικῆς τὸ τέλος ὁ ἑλληνισμός. Ἑπτὰ δέ τινα τῇ καθόλου τέχνῃ παράκειται, τεχνοειδές, ἡμιτέχνιον, μικροτεχνία, ψευδοτεχνία, κακοτεχνία, ματαιοτεχνία, ἀτεχνία.

110 Καὶ τεχνοειδὲς μέν ἐστιν ἀλόγου ζῴου δύναμις φυσικὴ μιμουμένη τέχνην, ὡς ἡ τῶν μελισσῶν πλαστικὴ καὶ ⟨ἡ⟩ τῶν χελιδόνων οἰκοδομ⟨ικ⟩ή. Ἡμιτέχνιον δέ ἐστιν ἡ ἐξ ὀλίγων θεωρημάτων συνεστηκυῖα τέχνη, ὡς ἡ ξυστικὴ καὶ ἡ ἀπονυχιστική. Μικροτεχνία δέ ἐστιν ἧς τὸ ἀποτέλεσμα βραχύτατόν ἐστιν, ὡς ἐπὶ Μυρμηκίδου τοῦ Ἀθηναίου καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου· οὗτοι γὰρ ἐποίησαν σιδηροῦν ἅρμα ὑπὸ μυίας ἑλκόμενον καὶ τῷ πτερῷ τῆς μυίας καλυπτόμενον. Ψευδοτεχνία δέ ἐστι βραχεῖα τέχνη, μείζονος ὑποδυομένη τέχνης ἔργον, ὥσπερ οἱ φαρμακοπῶλαι ἤγουν οἱ μυρεψοί· οὗτοι γὰρ λέγουσιν ἑαυτοὺς ἰατρούς. Κακοτεχνία δέ ἐστιν ἕξις εὑρημένη ἐπὶ κακῷ τῷ βίῳ, ὥσπερ ἡ τῶν δηλητήρων καὶ ἡ τῶν τυμβωρύχων. Ματαιοτεχνία δέ ἐστιν ἡ μηδὲν συντελοῦσα τῷ βίῳ τέχνη, ὥσπερ ἡ σχοινοβατική, ἤγουν ὁ ἐν τῇ σχοίνῳ περιπατῶν, καὶ ὥσπερ ὁ κοντοπαίκτης. Ἀτεχνία δέ ἐστιν ἁμάρτημα τῷ τεχνίτῃ γενόμενον. Φασὶ δὲ τῶν τεχνῶν διαφορὰς τέσσαρας εἶναι· λέγουσι γὰρ ὅτι τῶν τεχνῶν αἱ μέν εἰσι ποιητικαί, αἱ δὲ θεωρητικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ μικταί. Καὶ ποιητικὴ μέν ἐστιν ἣ ὕλην τινὰ λαβοῦσα κατασκευάζει ⟨τι⟩ ἐντέχνως, ὥσπερ ἡ χαλκευτικὴ καὶ ἡ σκυτοτομικὴ καὶ ἡ τεκτονική. Πρακτικὴ δέ ἐστιν ἡ δι’ ὀργάνων καταπραττομένη τινά, ὥσπερ ἡ στρατηγική, ἥτις μηχαναῖς τε καὶ ὀργάνοις τοὺς ἐναντίους καταγωνίζεται. Θεωρητικὴ δέ ἐστιν ἡ τὰ πράγματα θεωροῦσα διὰ λιτῆς θεωρίας, ὥσπερ ἡ ἀστρονομία καὶ ἡ φιλοσοφία· ἰστέον δὲ ὅτι θεωρία ἐστίν, ἡνίκα τις θεωρεῖ μόνον καὶ οὐδὲν λέγει, ὡς ὅταν ὁ ἀστρονόμος θεωρῇ μόνον τὰ ἄστρα. Μικτὴ δέ ἐστιν ἡ ἐκ τούτων τῶν προειρημένων συγκειμένη, ὡς ἡ ἰατρική· τὸ μὲν γὰρ αὐτῆς περὶ τοὺς λόγους ἐστὶ καταγινόμενον ἐν θεωρίᾳ καὶ ⟨θεωρητικόν⟩, τὸ δὲ χειρουργικόν ἐστι καὶ πρακτικόν. ⟨Ὡσαύτως δὲ καὶ ἡ γραμματικὴ μικτή ἐστι τέχνη·⟩ καὶ γὰρ τὸ μὲν διορθωτικὸν καὶ ἡ ὀρθογραφία τοῦ ποιητικοῦ εἰσιν, ἡ δὲ θεωρία τῶν μερῶν τοῦ λόγου τοῦ θεωρητικοῦ ἐστιν. Λούκιος δὲ ὁ Ταρραῖος λέγει, ὅτι τῆς τέχνης εἴδη ⟨εἰσὶ⟩ τέσσαρα, ἀποτελεσματικόν, πρακτικόν, ὀργανικόν, θεωρητικόν. Καὶ ἀποτελεσματικαὶ μέν εἰσι τέχναι, ὅσαι εἰς συντέλειαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤγουν εἰς τὸ συμφέρον ἀπαρτίζουσι καὶ συμπεραίνουσι πᾶν τὸ κατασκευαζόμενον τὸ ἐξ ἑνὸς ἢ καὶ πλειόνων, ἐξ ἑνὸς μέν, ὥσπερ ἡ τεκτονικὴ καὶ ἡ χαλκευτική· καὶ γὰρ ἡ τεκτονικὴ ἐξ ἑνὸς μέρους κατασκευάζεται, ἐκ τῶν ξύλων, καὶ ἡ χαλκευτικὴ ἐξ ἑνός, 〈ἐκ〉 χαλκοῦ· ἐκ πλειόνων δέ, ὥσπερ ἡ οἰκοδομικὴ ἐκ πλειόνων κατασκευάζεται, ἀπὸ ἀσβέστου καὶ λίθων, καὶ ἡ ὑφαντικὴ 〈ἐξ〉 ἐρίου καὶ διαφόρων ὑφασμάτων· αἱ δὲ τοιαῦται κριτὴν ἔχουσι τὸν χρόνον· ἐφ’ ὅσον γὰρ ἂν ὁ χρόνος διατηρῇ αὐτάς, ἐπὶ τοσοῦτον μένουσιν.

111 Πρακτικαὶ δέ εἰσιν, αἵτινες κατὰ πράξεως κίνησιν γίνονται· τούτων δὲ τάξεις εἰσὶ πέντε, αὐτοκίνητος, ἀντίπαλος, στοχαστική, μεθοδική, ὑπουργηματική. Καὶ αὐτοκίνητος μέν ἐστιν ἡ ἐξ αὐτοῦ τοῦ ἀνθρώπου καθ’ ἑαυτὸν κινουμένου συνεστῶσα, ὥσπερ ἡ ὀρχηστική· ταύτην 〈γὰρ〉 ὁ ἄνθρωπος κινούμενος συνίστησιν· ἀντίπαλος δέ ἐστιν ἡ πρὸς ἕτερον ἀντιτεταγμένη ἤτοι ἄνοπλον ἢ ἔνοπλον, ἄνοπλον μέν, οἷον παλαιστικὴ καὶ παγκρατιαστική, ἔνοπλον δέ, οἷον ὁπλομαχία καὶ πυκτική· καὶ γὰρ οἱ πύκται βύρσας ἐπιτιθέασι ταῖς χερσὶν αὑτῶν καὶ οὕτω γυμνάζονται· στοχαστικὴ δέ ἐστιν ἡ κατὰ στοχασμόν ὡρισμένον γινομένη, ὥσπερ ἡ ῥητορικὴ καὶ ἡ ἀκοντιστική· μεθοδικὴ 〈δέ〉 ἐστιν ἡ μεθόδῳ τινὶ πραττομένη, ὥσπερ ἡ κυνηγετικὴ καὶ ἡ ἁλιευτική· αὗται γὰρ διὰ μεθόδου τινὸς γίνονται· ὑπουργηματικὴ δέ ἐστιν ἡ μεθ’ ὑπουργίας ἑτέρων δρωμένη, ὥσπερ ἡ ἡνιοχευτικὴ καὶ ἡ κυβερνητική· αὗται γὰρ μεθ’ ὑπουργίας ἑτέρων γίνονται, καὶ ἡ μὲν ἡνιοχευτικὴ διὰ τῶν ἵππων καὶ τῶν χαλινῶν γίνεται, ἡ δὲ κυβερνητικὴ διὰ τοῦ πηδαλίου. Πᾶσαι δὲ αἱ πρακτικαὶ τέχναι κριτὴν ἔχουσι τὸν τῆς πράξεως καὶ ἐνεργείας μόνον καιρόν· καὶ γὰρ 〈ἐν〉 τῷ καιρῷ, ἐν ᾧ καὶ γίνονται, ἐν 〈τῷ〉 αὐτῷ καὶ εἰσίν. Ὀργανικαὶ δέ εἰσιν, ὅσαι δι’ ὀργάνων συνεστήκασιν· τούτων δὲ εἴδη τρία, ἐμπνευστικόν, ἁπτικὸν καὶ τὸ συναμφότερον· καὶ ἐμπνευστικὸν μέν, ὥσπερ ἡ συριστικὴ 〈καὶ ἡ σαλπιστική〉 · ἐμπνέουσι γὰρ ἐν τῇ σύριγγι καὶ ἐν τῇ σάλπιγγι, καὶ οὕτω συρίζουσι καὶ σαλπίζουσιν· ἁπτικὸν δέ ἐστιν, ὥσπερ ἡ κιθαριστική· καὶ γὰρ ἁπτόμενος τῇ χειρὶ ποιεῖ τὴν κιθάραν τὸ μέλος ἀφιέναι τὸ συναμφότερον δέ, ὡς 〈ἡ〉 αὐλητική· καὶ γὰρ ἐν τῷ αὐλῷ καὶ ἐμπνεῖ καὶ ἅπτεται τῇ χειρί, καὶ οὕτως αὐλίζει· αὗται δὲ αἱ τέχναι κριτὴν ἔχουσι τῆς ἐνεργείας μόνον τὸν καιρόν, ἐν ᾧ γίνονται. Θεωρητικαὶ δέ εἰσι τέχναι, ὅσαι δι’ ἐννοίας καὶ δι’ ἐνθυμήσεως καὶ διὰ λόγου ἀκολουθητικοῦ θεωροῦνται, ὥσπερ ἡ γεωμετρία καὶ ἡ ἀστρονομία. Ἰστέον δὲ ὅτι τῶν τεχνῶν ἁπασῶν ἡ γνῶσις ἐπιστήμη καλεῖται, ὡς μαρτυρεῖ καὶ ὁ ποιητής· ἐπὶ 〈τῆσ〉 μὲν ἀποτελεσματικῆς, 〈Ε 60〉 ὃς χερσὶν ἐπίστατο δαίδαλα πολλὰ Τεύχειν · καὶ ἐπὶ τῆς πρακτικῆς, 〈Η 238〉 οἶ δ ’ ἐπὶ δεξι ά , οἶ δ ’ ἐ π ’ ἀριστερὰ νωμῆσαι βῶν Ἀζαλέην, 〈Η 240 seq.〉 οἶδα δ ’ ἐπαΐξαι μόθον ἵππων ὠκειάω ν , Οἶδα δ ’ ἐνὶ σταδίῃ δηΐῳ μέλπεσθαι Ἄρη ϊ· ἐπὶ δὲ τῆς ὀργανικῆς, 〈θ 488〉 ἢ σέ γε Μοῦ ς ’ ἐδίδαξ ε , Διὸς παῖ ς , ἢ σέ γ ’ Ἀπόλλω ν· ἐπὶ δὲ τῆς θεωρητικῆς, 〈Ο 283〉 ἀγορῇ δέ 〈ἑ〉 παῦροι Ἀχαιῶν Νίκω ν.

112 Ἔτι 〈δὲ〉 τῶν τεχνῶν αἱ μέν εἰσι βάναυσοι, αἱ δὲ ἐγκύκλιοι. Καὶ βάναυσοι 〈μέν〉 , αἳ καὶ χειρωνακτικαὶ λέγονται, ὥσπερ ἡ χαλκευτικὴ καὶ ἡ τεκτονική· χειρωνακτικαὶ δὲ καλοῦνται, ἐπειδὴ χειρώνακτας καλοῦσι τοὺς ταῖς οἰκείαις χερσὶν ἐργαζομένους, οἱονεὶ χειρῶν ἄνακτας· ὁμοίως δὲ βάναυσοι αἱ διὰ πυρὸς τὴν ἐργασίαν ποιούμεναι, ὥσπερ ἡ χαλκευτική, καταχρηστικῶς δὲ 〈λέγουσι βαναύσουσ〉 καὶ πάσας τὰς διὰ χειρὸς τὴν ἐργασίαν ποιουμένας, οἱονεὶ τεκτονικὴν 〈καὶ〉 οἰκοδομικήν. Γίνεται δὲ ἡ λέξις παρὰ τὸ φῶ (τὸ φαίνω), ἐξ οὗ φαύνω, καὶ ἀποβολῇ τοῦ φ αὔνω· ἐκ τούτου αὐνός καὶ βαυνός, ὅπερ κοινῶς μὲν ὀξύνεται, ἀττικῶς δὲ βαρύνεται· σημαίνει δὲ τὴν κάμινον, ὡς παρὰ τῷ Ἐρατοσθένει 〈p. 99 H〉 μέσον δ ’ ἐξαύσατο βαυνόν, ἤγουν ὑφηῦσε· καὶ ὡς παρὰ τὸ ἵππος ἵππασος καὶ παρὰ τὸ χόρτος χόρτασος, οὕτως καὶ παρὰ τὸ βαυνός βαύνασος, καὶ καθ’ ὑπερβιβασμὸν βάναυσος. Ἐγκύκλιοι δέ εἰσιν, ἃς ἔνιοι λογικὰς καλοῦσιν, οἷον ἀστρονομία, γεωμετρία, μουσική, φιλοσοφία, ἰατρική, γραμματική, ῥητορική· ἐγκυκλίους δὲ αὐτὰς καλοῦσιν, ὅτι τὸν τεχνίτην 〈δεῖ〉 διὰ πασῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτῶν ὁδεύσαντα τὸ χρειῶδες ἀφ’ ἑκάστης εἰς τὴν ἑαυτοῦ εἰσάγειν. Ἄλλοι δὲ ἄλλας παραδιδόασι διαφορὰς [τέσσαρας] τῆς τέχνης. Ἔστι δὲ θεωρητικὴ καὶ πρακτικὴ καὶ ποιητικὴ καὶ ἐκ τούτων μικτή. Καὶ θεωρητικὴ μέν ἐστιν ἡ τῇ θέᾳ παραδιδομένη μόνῃ, ὥσπερ ἡ ἀστρονομία. Πρακτικὴ δέ ἐστιν, ἥτις ὀργάνων ἐν τῇ πράξει δεῖται, οἷον κριῶν καὶ τῶν τοιούτων μηχανημάτων, ὥσπερ ἡ στρατηγική· 〈ἢ〉 πρακτικαί εἰσιν, ὅσαι μέχρι τοῦ γίνεσθαι ὁρῶνται, ὥσπερ ἡ αὐλητικὴ καὶ ἡ ὀρχηστική· αὗται γὰρ ἐφ’ ὅσον χρόνον πράττονται, ἐπὶ τοσοῦτον καὶ ὁρῶνται, μετὰ γὰρ τὴν πρᾶξιν οὐχ ὑπάρχουσιν. Ποιητικαὶ δέ εἰσιν, ὅσαι ὕλην ἀδιατύπωτον λαμβάνουσαι ποιοῦσί τι πρὸς μνήμην τοῦ δημιουργήσαντος, ὥσπερ ἡ χαλκευτική· αὕτη γὰρ λαβοῦσα χαλκὸν ἀποτελεῖ εἶδος πρὸς μνήμην τοῦ δημιουργήσαντος. Μικτὴ δέ ἐστιν, ὥσπερ ἡ ἰατρική· αὕτη γὰρ καὶ λόγῳ κέχρηται, ἡνίκα εἴπῃ «ῥαφήτω τόδε τι», καὶ πράξει, ἡνίκα φλεβοτομήσῃ. Ἔστιν οὖν ἐπιστήμη, τέχνη, ἐμπειρία, πεῖρα. Καὶ ἐπιστήμη μέν ἐστιν ἕξις ἀμετάπτωτος λογική, ὥσπερ 〈ἡ〉 ἀστρονομία καὶ 〈ἡ〉 γεωμετρία· «ἀμετάπτωτος» δὲ οἷον ἄπταιστος.

113 Τί δέ ἐστι τέχνη, ἐμάθομεν ἀνωτέρω. Ἐμπειρία δέ ἐστιν ἡ τῶν ὡσαύτως ἐχόντων πραγμάτων τήρησίς τε καὶ μνήμη, ὡς ἐπὶ τῶν ἐμπειρικῶν ἰατρῶν. Πεῖρα δέ ἐστιν ἡ ἐφ’ ἑνὸς καὶ δευτέρου δοκιμαζομένη, οἷον ὅταν λέγωμεν τὸν πλεύσαντα ἅπαξ ἢ δὶς πεῖραν εἰληφέναι τοῦ πλεῖν. Ἡ μὲν οὖν πεῖρα εἰς ἐμπειρίαν προκόπτει, ἡ δὲ ἐμπειρία εἰς τέχνην, ἡ δὲ τέχνη εἰς ἐπιστήμην, ἡ δὲ ἐπιστήμη εἰς τὴν καθόλου τέχνην· ἐπεὶ γὰρ τῶν τεχνῶν αἱ μέν εἰσι θεωρητικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ ποιητικαί, αἱ δὲ μικταί, θεωρητικὴ δέ ἐστιν ἡ καθόλου σοφία, δῆλον ὅτι ὑπὸ τὴν καθόλου τέχνην ἀνάγεται. Ἰστέον δὲ ὅτι περὶ πᾶσαν τέχνην ὀκτώ τινα θεωρεῖται· εἰσὶ δὲ ταῦτα, αἴτιον, ἀρχή, ἔννοια, ὕλη, μέρη, ἔργα, ὄργανα, τέλος· ἐπεὶ οὖν τέχνη ἐστὶν ἡ γραμματική, δῆλον ὅτι καὶ αὕτη ταῦτα τὰ ὀκτὼ ἔχει θεωρούμενα περὶ αὐτήν. Αἴτιον οὖν ἐστι τῆς γραμματικῆς ἡ ἀσάφεια· καὶ γὰρ οἱ ἄνθρωποι ἐντυγχάνοντες ποιήμασι καὶ πεζοῖς συγγράμμασι, τὴν ἀρχαίαν καὶ ἀπεξε〈νι〉σμένην φωνὴν οὐκ ἀποσῴζοντες, ἐπεζήτησαν τέχνην τὴν σαφηνίσαι ταύτην δυναμένην· καὶ πολὺ πλέον ἐπεζήτησαν τὴν γραμματικὴν ἐν τοῖς ποιήμασι, γλώσσαις τε καὶ λέξεσι ξέναις χρωμένοις καὶ παραποιοῦσι καὶ ἐξιστοροῦσι πολλὰ σχήμασι, συντάξεσιν, ἐννοήμασι. Τάχα δὲ οὐχ ἡ ἀσάφεια 〈αἴτιον〉 τῆς γραμματικῆς, ἀλλ’ ἡ σαφήνεια· ὥσπερ γὰρ οἱ νοσήσαντες κατ’ ἐπιζήτησιν ὑγείας εὗρον τὴν ἰατρικήν, οὕτως καὶ οἱ περιπεσόντες γραφαῖς ἀσαφέσι σαφηνείας χάριν τὴν γραμματικὴν ἐπενόησαν· ὥστε δυνάμει ταὐτὸν εἶναι καὶ τὸ τέλος καὶ τὸ αἴτιον τῆς γραμματικῆς· καὶ γὰρ τὸ τέλος αὐτῆς ἐστι τὸ διὰ τοῦ ἑλληνισμοῦ τὰ ἀσαφῆ σαφηνίσαι, ἀλλὰ καὶ αἴτιον αὐτῆς ἡ σαφήνεια. Παρά τισι δὲ τὸ αὐτὸ καὶ ἀρχὴ λέγεται. Ἀριστοτέλης δὲ τὸ αἴτιον λέγει τετραχῶς νοεῖσθαι, ὅθεν, ἐξ οὗ, δι’ ὅ, καθ’ ὅ· καὶ ὅθεν μέν ἐστι τὸ ποιητικὸν αἴτιον, οἷον ὡς ὅταν λέγωμεν αἴτιον εἶναι τὸν θεὸν τοῦ κόσμου, ὑπὸ τοῦ θεοῦ γὰρ γέγονεν ὁ κόσμος, καὶ πάλιν ὅτε λέγομεν αἴτιον τοῦ ἀγάλματος τοῦ Διὸς τὸν Φειδίαν, ὑπὸ τούτου γὰρ γέγονεν· ἐξ οὗ 〈δέ〉 ἐστι τὸ ὑλικόν, ὡς ὅταν λέγωμεν, ὅτι ἐκ τοῦ ἐλέφαντος καὶ τοῦ χρυσοῦ ἐγένετο τὸ ἄγαλμα τοῦ Διός· καθ’ ὃ δέ ἐστι τὸ εἰδικόν, κατὰ γὰρ τὸ εἶδος χαρακτηρίζονται τὰ πράγματα, οἷον ὡς ὅταν λέγωμεν, ὅτι εἶδός τι ἐνενόησε περιθεῖναι τῇ ὕλῃ ὁ Φειδίας, καὶ οὕτως ἐποίησε τὸ ἄγαλμα τοῦ Διός· τὸ δὲ δι’ ὃ τὸ τελικὸν αἴτιον, τουτέστι τὸ ἀποτέλεσμα τοῦ δημιουργήματος σημαίνει, οἷον τὸν Δία, τουτέστιν ἐφ’ ὃ σκοπὸν ἔχων 〈ὁ Φειδίασ〉 καὶ ὁρμὴν ἀποτελεῖ 〈τὸ ἄγαλμα〉. Ἡ δὲ ἀρχὴ λέγεται μὲν καὶ ὁσαχῶς τὸ αἴτιον, λέγεται δὲ καὶ ἡ ἐκ τοῦ μέρους ἢ μορίου, καθό φαμεν χρόνου ἀρχὴν καὶ βιβλίου ἀρχήν.

114 Οὕτως οὖν καὶ τῆς γραμματικῆς ἀρχὴν νομίζουσι τὴν περὶ τὰς λέξεις θεωρίαν, πρώτην 〈γὰρ〉 γεγονέναι ταύτην, γεγενῆσθαι δ’ ἔτι τὰ περὶ τὴν 〈σύν〉ταξιν ἀσαφῆ καὶ τὰ περὶ τὴν διάνοιαν· τριῶν γὰρ ὄντων περὶ ἃ ἡ ἀσάφεια θεωρεῖται, λέξεως, συντάξεως, διανοίας, προῆλθεν ἡ περὶ τὰς λέξεις θεωρία εὐλόγως, ἐπειδὴ ἡ λέξις ἁπλῆ ἐστιν, ἡ δὲ σύνταξις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύνθετος, ἀπὸ γὰρ πλειόνων λέξεων σύγκειται· τὰ δὲ ἁπλᾶ προτερεύουσι τῶν συνθέτων, καὶ γὰρ τὸ σοφός ἁπλοῦν ὑπάρχον προτερεύει τοῦ φιλόσοφος συνθέτου ὑπάρχοντος· ἡ δὲ σύνταξις προτέτακται τῆς σημασίας, ἐπειδὴ διὰ τῆς συντάξεως καὶ τῆς συνθήκης τῶν λέξεων τίκτεται ἡ τῆς σημασίας σαφήνεια. Ἔλθωμεν δὲ καὶ ἐπὶ τὴν ἔννοιαν. Δεῖ 〈δὲ〉 εἰδέναι, ὅτι ἔννοιαν λέγουσι τὸν ὅρον, ἐπειδὴ ἐννοηματικοῖς ὅροις κέχρηνται οἱ φιλόσοφοι ἤγουν ὑπογραφικοῖς, ἢ ἐπειδὴ λεγόντων ἡμῶν τὸν ὅρον ἀνατρέχει ἡ ἔννοια ἡ ἡμετέρα ἐπὶ τὸ οριστόν· καὶ γὰρ ἐὰν εἴπωμεν «ζῷον λογικὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν», εὐθέως ἀνατρέχει ἡ ἡμετέρα ἔννοια εἰς τὸ ἄνθρωπος. Δέον οὖν ζητῆσαι τὴν ἔννοιαν τῆς γραμματικῆς ἤγουν τὸν ὅρον· ἀλλ’ ἐπειδὴ λόγος 〈ἐστὶν〉 ὁ λέγων, 〈ὅτι〉 σαφηνίζειν ἀνάγκη τὴν ὁμωνυμίαν, δεῖ γινώσκειν καὶ τὴν ὁμωνυμίαν, καὶ οὕτως ὁρίζεσθαι ἐκεῖνο, περὶ οὗ ὁ σκοπὸς ἔχει διαλαβεῖν· περὶ γραμματικῆς οὖν βουλόμενοι διαλαβεῖν, εἴπωμεν ποσαχῶς λέγεται ἡ γραμματική, καὶ εἶθ’ οὕτως τὸν ὅρον αὐτῆς διαλέξομεν. Διχῶς οὖν λέγεται παρὰ τοῖς ἀρχαίοις, γραμματικὴ μικρὰ καὶ γραμματικὴ μεγάλη· καὶ μικρὰ μέν ἐστιν, ἧς ἔργον τοὺς χαρακτῆρας τῶν γραμμάτων εἰδέναι καὶ τὰς συλλήψεις αὐτῶν· τοὺς μετιόντας ταύτην νῦν διδασκάλους καλοῦσι, καὶ ἔστιν αὕτη τέχνη περὶ τὸ γράφειν καὶ ἀναγινώσκειν τὴν ἔγγραφον φωνήν. Μεγάλην δὲ γραμματικὴν λέγουσι τὴν καταγινομένην περὶ τὴν ἑρμηνείαν τῶν ποιητῶν, ἥντινα οὕτως ὁρίζουσι· «γραμματική ἐστι τέχνη θεωρ〈ητ〉ικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσι»· λογεῖς δὲ λέγουσι τοὺς ἱστορικοὺς καὶ φιλοσόφους καὶ ἰατροὺς καὶ ὅσους ἐν τῷ χορῷ τῶν λογίων τιθέναι δίκαιον· καὶ γὰρ φιλοσόφου ὄντος τοῦ θεωρήματος, ἡ μὲν ἀφήγησις καὶ ἡ σύνταξις τῷ γραμματικῷ ἁρμόζει, τὸ δὲ ζήτημα αὐτὸ τῷ φιλοσόφῳ. Πρόεισιν οὖν ἡ γραμματικὴ μέχρι τούτων. Ὕλη δὲ γραμματικῆς ἐστιν ὁ γενικὸς λόγος. 〈Ἔστι δὲ λόγοσ〉 λέξεων σύνθεσις, διάνοιαν αὐτοτελῆ κατὰ σύμμετρον περιγραφὴν ἀπαρτίζουσα· «περιγραφὴν» δέ, ἵνα μὴ μακροαπόδοτος ὁ λόγος καὶ ἀσύμμετρος ᾖ. Τοῦ δὲ γενικοῦ λόγου ὁ μέν ἐστι πεζός, ὁ δὲ ποιητικός· ἐπισκέπτεται δὲ ὁ γραμματικὸς τὰ τοῦ λόγου μέρη καὶ τὰ συμβεβηκότα αὐτοῖς, οἷον προφοράν, σημασίαν καὶ τὰ τοιαῦτα.

115 Καταγίνεται δὲ 〈καὶ〉 ἡ διαλεκτικὴ καὶ ἡ ῥητορικὴ περὶ τὸν γενικὸν λόγον, ἀλλὰ διαφέρουσι τοῖς τέλεσι· τῆς μὲν γὰρ διαλεκτικῆς τἀληθές, τῆς δὲ ῥητορικῆς τὸ πείθειν, τῆς δὲ γραμματικῆς τέλος ἐστὶν ἡ κατάληψις τοῦ λόγου, τουτέστι τὸ διδάσκειν τί σημαίνει καὶ πῶς σημαίνει, οἷον διὰ ποίων μερῶν ὁ λόγος δηλοῦται. Μέρη δὲ τῆς γραμματικῆς εἰσι τέσσαρα, ἀναγνωστικόν, διορθωτικόν, ἐξηγητικόν, κριτικόν· ἢ 〈γὰρ〉 λέγεται ὁ γενικὸς λόγος, καὶ ποιεῖ τὸ ἀναγνωστικόν· ἢ γράφεται, καὶ ποιεῖ τὸ διορθωτικόν· ἢ δηλοῦται, καὶ ποιεῖ τὸ ἐξηγητικόν· ἢ ζητοῦμεν πῶς δηλοῦται, καὶ ποιοῦμεν 〈τὸ〉 κριτικόν, κρίνοντες γὰρ γινώσκομεν πῶς δηλοῦται· πρῶτον γὰρ ἀναγινώσκει τὸ παιδίον, καὶ οὕτως 〈διορθοῦται〉 ὁ διδάσκαλος, καὶ μετὰ ταῦτα ἐξηγεῖται, καὶ μετὰ ταῦτα κρίνει. Ἔργα δὲ τῆς γραμματικῆς 〈πάντα τὰ γνωστὰ ἀνθρώποις γινόμενα· ἐπεὶ〉 γάρ τοι τὴν γραμματικὴν φυλαττομένην πᾶσαν ἱστορίαν ἔγνωμεν, τά τε τοῖς σοφοῖς θεωρούμενα καὶ τὰ πραχθέντα τοῖς πολιτικοῖς, καὶ πᾶν ὁτιοῦν τὸ γνωστὸν ἀνθρώπῳ γινόμενον ἢ θεωρούμενον διδασκόμεθα δι’ αὐτῆς. Ὥρα δὴ λοιπὸν ἅψασθαι ἡμᾶς τῆς περὶ ὅρων διδασκαλίας· χρήσιμοι γὰρ οἱ ὅροι πρὸς τὰς καταλήψεις εἰσὶ τῶν τεχνῶν· ἅπασα γὰρ ἡ λογικὴ θεωρία τὴν σύστασιν ἔχει ἔκ τε ὅρων καὶ διαιρέσεων. Κατὰ γὰρ τὸν Πλάτωνα δεινοῦ τὴν τέχνην ἀνδρός ἐστι τὸ τὰ πολλὰ ἓν ποιῆσαι καὶ τὸ ἓν πολλά· τούτων δὲ τὸ μὲν ὁρισμοῦ, τὸ δὲ διαιρέσεως· καὶ γὰρ ὁ ὁρισμὸς τὰ πολλὰ ἓν ποιεῖ, ὡς ἐπὶ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου, ἡ δὲ διαίρεσις τὸ ἓν πολλά· καὶ γὰρ λαβόντες τὴν οὐσίαν διαιροῦμεν αὐτὴν εἰς πολλά· λέγομεν γὰρ ὅτι ἡ οὐσία διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον, καὶ τὰ ἑξῆς ὁμοίως. Ὅροις 〈δὲ〉 δεῖ κεχρῆσθαι 〈μᾶλλον〉 ἤπερ ὑπογραφαῖς· καὶ γὰρ οἱ ὅροι τιμιώτεροί εἰσι τῶν ὑπογραφῶν, ὥσπερ αἱ [μὲν] ζωγραφίαι τιμιώτεραί εἰσι τῶν σκιαγραφιῶν. Καὶ γὰρ αἱ μὲν ζωγραφίαι λαμπρότερον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαυγέστερον τὸ γραφὲν δεικνύουσιν, αἱ δὲ σκιαγραφίαι ἀμυδρότερον τὸ γραφὲν παριστῶσιν, ὥστε μὴ γινώσκειν ἡμᾶς ἐκ τοῦ ἀμυδρὸν εἶναι τὸν χαρακτῆρα τοῦ ἀνδρός, ὅτι δυνάμεθα ἐπάνω τῆς σκιαγραφίας οὐ μόνον ἐκεῖνον τὸν ἄνδρα ζωγραφῆσαι, οὗτινός ἐστιν ἡ σκιαγραφία, ἀλλὰ καὶ ἕκαστον ἄνθρωπον.

116 Τὸν αὐτὸν τρόπον καὶ οἱ ὅροι, τῶν καθολικῶν ὄντες, κρείττους εἰσὶ τῶν ὑπογραφῶν, αἵτινες τοῖς μερικοῖς ἁρμόζουσι· καὶ γὰρ βουλόμενός τις ὑπογραφῇ χρήσασθαι ἕνα μόνον ὑπογράφει, εἰ τύχοι λέγων «Σωκράτης ἐστὶν υἱὸς Σωφρονίσκου, φιλόσοφος, προκοίλιος, κολοβός, σιμός»· ὁ δὲ βουλόμενος ὅρῳ χρήσασθαι οὐχ ἕνα μόνον ὁρίζεται ἄνθρωπον, ἀλλὰ πάντα ἄνθρωπον· τὸ γὰρ «ζῷον λογικὸν» καὶ τὰ ἑξῆς οὐ μόνῳ Σωκράτει ἁρμόζει, ἀλλὰ καὶ ἑκάστῳ ἀνθρώπῳ. Καὶ Ἐπίκουρος δέ, ἀεὶ ὑπογραφαῖς κεχρημένος, δηλῶν ὅτι τιμιώτερον οἱ ὅροι, ὅροις ἀντὶ ὑπογραφῶν ἐν τῇ τῆς φυσικῆς ἀκροάσεως πραγματείᾳ 〈ἐχρήσατο〉· διαιρῶν γὰρ τὸ πᾶν εἴς τε ἄτομον καὶ κενὸν ὅροις ἐχρήσατο, λέγων ὅτι ἄτομόν ἐστι σῶμα στερεόν, ἀμέτοχον κενοῦ παρεμπλοκῆς, 〈καὶ〉 κενόν ἐστι φύσις ἀναφής, τουτέστιν ἀψηλάφητος. Ἰστέον δὲ ὅτι οἱ ὅροι τῶν καθόλου καὶ ἀεὶ μενόντων εἰσίν, ὡς καὶ Ἀριστοτέλης εἴρηκεν ἐν τῷ περὶ ἰδεῶν, ἃ πρὸς τὰς Πλάτωνος ἰδέας ἐστὶν αὐτῷ πεποιημένα· τὰ μὲν 〈γὰρ〉 μερικὰ πάντα μεταβάλλονται καὶ οὐδέποτε ὡσαύτως ἔχουσι, τὰ δὲ καθόλου ἄτρεπτα καὶ ἀΐδιά εἰσιν· ἃ δὴ συλλαβὼν ὁ τεχνικὸς ὁρίζεται. Οἷον περιπεσὼν λευκοῖς πλείοσι, τουτέστι χιόνι καὶ γύψῳ καὶ γάλακτι καὶ τοῖς παραπλησίοις, ἐν〈ε〉νόησέ τι λευκὸν ἁπάντων τούτων διῆκον καὶ μένον ἀεί, καὶ τοῦτο ὡρίσατο, λέγων ὅτι λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως, τουτέστιν ἀσφαλῶς διακρῖναι τὰ ὁρώμενα παρασκευάζον· ὁμοίως δὲ καὶ τὸν ἄνθρωπον ὁριζόμενος οὐ τὸν Πλάτωνα μόνον οὐδὲ τὸν Πυθαγόραν οὐ〈δὲ τὸν〉 Δημόκριτον ὡρίσατο, ἀλλὰ πάντα ἄνθρωπον. Χρὴ δὲ σκοπεῖν τὸν ὁρίζεσθαι μέλλοντα, τί ἐστιν ἑκάστῳ τῶν καθόλου ἴδιον· οἷον τῷ ἀνθρώπῳ ἴδιόν ἐστι τὸ ἐζωῶσθαι, τουτέστι τὸ ζῷον εἶναι, τὸ θνητόν, τὸ λογικόν· κατὰ ταῦτα τοίνυν ὡρίσαντο, εἰπόντες «ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν»· διὰ τοῦτο καὶ ὁ Ἀριστοτέλης εἶπεν «ὅρος ἐστὶν ὁ τὸ τί 〈ἦν〉 εἶναι δηλῶν», τουτέστιν ὁ δηλῶν τί ὤφειλεν 〈ἴδιον〉 εἶναι ἑκάστῳ· καὶ τῇ γραμματικῇ ἴδιόν ἐστι τὸ τέχνην αὐτὴν εἶναι τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσιν. Ἐπεὶ δὲ οἱ ὅροι μόνου τοῦ ὁριστοῦ εἰσι, καὶ ἀντιστρέφειν θέλουσι, καὶ τὴν οὐσίαν δηλοῦσι—τοῦτο γὰρ ἴδιον τῶν ὅρων—ληπτέον αὐτοῦ πρῶτον μὲν τὰ γένη, ἔπειτα 〈δὲ〉 τὰς διαφοράς· ὁ γὰρ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, ἐκ γένους μέν, ἐπεὶ τὸ γένος τὴν οὐσίαν τοῦ ὁριστοῦ σημαίνει, ἐκ συστατικῶν 〈δὲ〉 διαφορῶν, ἐπειδὴ αἱ συστατικαὶ διαφοραὶ συνιστῶσι τὸ ὁριστόν· καὶ γὰρ τὸ μὲν ζῷον δηλοῖ τὴν οὐσίαν τοῦ ὁριστοῦ, τουτέστι τοῦ ἀνθρώπου, αἱ δὲ συστατικαὶ διαφοραί, τουτέστι τὸ λογικόν, θνητόν, συνιστῶσι τὸν ἄνθρωπον.

117 Ἔστι δὲ γένος μὲν τὸ κατὰ πλειόνων ἀνομοίων τοῖς εἴδεσιν ἐν τῷ τί ἐστι κατηγορούμενον, οἷον φυτόν· τοῦτο γὰρ κατὰ πλειόνων ἀνομοίων φέρεται, κατὰ ἀμπέλου, κατὰ συκῆς, κατὰ ἐλαίας, ἅτινα πλειονά εἰσι καὶ ἀνόμοια· καὶ κατηγορεῖται ἐν τῷ τί ἐστιν, τουτέστι κατ' αὐτῶν ἀγορεύεται καὶ φέρεται· ἐὰν γὰρ εἴπω «τί ἐστιν ἐλαία;» ἀνάγκη τὸ γένος ὀνομάσαι καὶ εἰπεῖν ὅτι «φυτόν». Εἴδη δέ εἰσι τὰ ἐμπεριεχόμενα τοῖς γένεσι καὶ δηλοῦντα τὴν ἰδίαν οὐσίαν, οἷον ἄνθρωπος ἵππος λέων· ταῦτα γὰρ ἐκ γένους ἐμπεριέχονται, λέγω δὴ ἐκ τοῦ ζῴου, καὶ τὴν 〈ἰδίαν〉 οὐσίαν δηλοῦσιν· ὁ γὰρ λέων δηλοῖ τὴν ἰδίαν οὐσίαν, τί ἐστι, διὰ τῆς προσηγορίας. Διαφορὰ δέ ἐστιν ἡ οὐσίαν καὶ ποιότητα ἀπ' ἀλλήλων διαχωρίζουσα, οἷον τὸ θνητὸν 〈καὶ〉 τὸ ἀθάνατον, καὶ πάλιν τὸ λογικὸν καὶ τὸ ἄλογον· αὗται δὲ καὶ φυσικαὶ ποιότητες λέγονται, ὅτι ἀχώριστοί εἰσι καὶ ἐκ φύσεως πᾶσιν ἴσως ὑπάρχουσι· καὶ γὰρ πάντες οἱ ἄνθρωποι ἴσως θνητοί εἰσι, καὶ πάντες ἴσως λογικοί εἰσιν. Ὅταν δὲ εἴπωμεν, ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσιν Ἕλληνες, οἱ δὲ βάρβαροι, συμβεβηκυίας δηλοῦμεν ποιότητας, ἐπειδὴ οὐ φύσει καὶ οὐ πᾶσιν ἴσως

ἁρμόζουσι τὰ τούτων ἤθη· καὶ γὰρ ἤθεσι καὶ διαλέκτῳ καὶ ἀγωγαῖς διαφέρουσιν 〈οἱ〉 Ἕλληνες τῶν βαρβάρων. Γινώσκειν δὲ χρὴ ὅτι τῶν Ἑλλήνων οἱ μέν εἰσι Δωριεῖς, οἱ δὲ Αἰολεῖς, οἱ δὲ Ἴωνες, οἱ δὲ Ἀττικοί· συμβεβηκυίας δὲ διὰ τούτων δηλοῦμεν ποιότητας, καὶ γὰρ καὶ οὗτοι τρόποις καὶ ἤθεσι διαφέρουσιν ἀλλήλων· δοκεῖ γὰρ τὸ Δώριον ἀνδρωδέστερόν τε εἶναι τοῖς βίοις, καὶ μεγαλοπρεπὲς τοῖς φθόγγοις τῶν ὀνομάτων καὶ τῷ τῆς φωνῆς τόνῳ, τὸ δὲ Ἰωνικὸν ἐν πᾶσι τούτοις ἀνειμένον—χαῦνοι γὰρ οἱ Ἴωνες—τὸ δὲ Ἀττικὸν εἴς τε δίαιταν καὶ φωνῆς ἐπιτέχνησιν ἀεὶ διαφέρειν, τὸ δὲ Αἰολικὸν τῷ τ' αὐστηρῷ τῆς διαίτης καὶ τῷ τῆς φωνῆς ἀρχαιοτρόπῳ· διὰ τοῦτο καὶ τὴν βαρύτητα τῶν τόνων καὶ τὴν ψιλότητα τοῦ πνεύματος ἐζηλώκασιν. [Τοῦτο δὲ οὐκ ἔστι πιθανόν· τί γὰρ ἡ βαρεῖα τάσις καὶ τὸ ψιλὸν πνεῦμα πρὸς τὸ αὐστηρὸν τῶν τρόπων αὐτῶν; Ἀλλὰ διὰ τοῦτο βαρυντικοί εἰσι καὶ ψιλωτικοὶ οἱ Αἰολεῖς, ἐπειδὴ τοῖς ἀσθενεστέροις χαίρουσι· καὶ γὰρ τὸ φθείρω φθέρ 〈ρ〉 ω λέγουσι καὶ τὸ σπείρω σπέρ 〈ρ〉 ω, τὸ δὲ θέσει μακρὸν ἀσθενέστερον τοῦ φύσει μακροῦ· εἰκότως οὖν καὶ τῇ βαρείᾳ τάσει καὶ τῷ ψιλῷ πνεύματι κέχρηνται. Καὶ γὰρ ἡ βαρεῖα τάσις ἀσθενεστέρα ἐστὶ τῆς ὀξείας τάσεως· ἡ γὰρ βαρεῖα οὐκ ἔστι κύριος τόνος λέξεως, ἀλλὰ συλλαβῆς, ἡ δὲ ὀξεῖα κύριός ἐστι τόνος· κύριοι γὰρ τόνοι τῶν λέξεων δύο εἰσίν, ἡ ὀξεῖα καὶ ἡ περισπωμένη· καὶ δῆλον, εἴ γε ἐν τῇ συλλαβῇ, ἐν ᾗ ἐστιν ὁ κύριος τόνος τῶν λέξεων, οὐχ εὑρίσκομεν βαρεῖαν, ἀλλ' ἢ ὀξεῖαν ἢ περισπωμένην· ὅσον δὲ λέξις συλλαβῆς ἀνδρειότερον, τοσοῦτον καὶ ἡ ὀξεῖαν ἢ περισπωμένην· Καὶ ἡ ψιλὴ δὲ τῆς δασείας ἀσθενεστέρα ἐστίν, εἴ γε δασέος μὲν πνεύματος ἐπιφερομένου τρέπεται τὸ ψιλὸν εἰς τὸ δασὺ ἀντίστοιχον, ἅτε δὴ ἀσθενέστερον ὄν, 〈οἷον 〈Γ 95〉 ὣς ἔφα θ' , οἱ δ ' ἄρα πάντες, ψιλοῦ δὲ πνεύματος ἐπιφερομένου οὐ τρέπεται τὸ δασὺ εἰς τὸ ψιλὸν ἀντίστοιχον, ἅτε δὴ ἰσχυρότερον ὄν,〉 οἷον ἀμφὶ αὐτόν 〈ex.
118 gr. B 417〉 ἀμ φ ' αὐτόν, ἀμφὶ ἀγαθόν 〈Π 165. Ρ 388〉 ἀμ φ ' ἀγαθό ν.] Ἴδιον δὲ λέγεται τὸ μόνῳ τινὶ ὑπάρχον, οἷον ἴδιον ἡλίου τὸ φωτίζειν, ζῴου τὸ αἰσθάνεσθαι, ψυχῆς δὲ τὸ αὐτοκίνητον. Ὀφείλομεν δὲ γένη ἐν τῷ ὅρῳ τιθέναι τὰ ἐγγυτάτω, οὐ τὰ πορρωτέρω· οὐ θέλει γὰρ 〈ὁ〉 τὸν ἄνθρωπον ὁρίζων λέγειν, ὅτι ἄνθρωπός ἐστιν οὐσία λογικὴ θνητὴ καὶ τὰ ἑξῆς, ἐπειδὴ τὸ οὐσία ἀπέχει, κἂν γένος τοῦ ἀνθρώπου ἐστί· διὰ μέσου 〈γὰρ〉 τοῦ ζῴου ἐστὶ [τὸ] γένος τοῦ ἀνθρώπου ἡ οὐσία, δέον τὸν ὁριζόμενον τῷ ἐγγυτάτω γένει κεχρῆσθαι, λέγω δὴ τῷ ζώῳ. Ὅθεν ὁ Χαῖρις οὐκ ὀρθῶς ὡρίσατο τὴν γραμματικήν, λέγων «γραμματική ἐστιν ἕξις ἀπὸ τέχνης καὶ ἱστορίας διαγνωστικὴ τῶν παρ' Ἕλλησι λεκτῶν»· καὶ γὰρ ἀπέχοντι γένει ἐχρήσατο, διὰ μέσου γὰρ τῆς τέχνης ἐστὶν ἡ ἕξις τῆς γραμματικῆς γένος· τῆς μὲν 〈γὰρ γραμματικῆσ〉 γένος ἐστὶν ἡ καθόλου τέχνη, τῆς δὲ τέχνης ἡ ἕξις, ὡς δηλοῖ καὶ ὁ Ζήνων, λέγων «τέχνη ἐστὶν ἕξις ὁδοποιητική», τουτέστι δι' ὁδοῦ καὶ μεθόδου ποιοῦσά τι. Γένη οὖν 〈δεῖ〉 τιθέναι ἐν τῷ ὅρῳ τὰ ὑπὸ πάντων ὁμολογούμενα, οὐχ ὥσπερ ὁ Ξενοκράτης ὁριζόμενος εἶπε «ψυχή ἐστιν ἀριθμὸς αὐτὸς ἑαυτὸν κινῶν»· οὐκ ἔστι γὰρ δῆλον, εἰ γένος ψυχῆς ὁ ἀριθμός. Ἀλλ' οὐδὲ τὴν γραμματικὴν ὁριστέον ἐμπειρίαν 〈τῶν〉 παρὰ ποιηταῖς τε καὶ 〈συγ〉 γραφεῦσιν, οὐ γάρ ἐστιν ἡ ἐμπειρία τῆς γραμματικῆς γένος· ἄτεχνον γάρ τι καὶ ἄλογον οὖσαν τὴν ἐμπειρίαν δηλοῖ Πλάτων ἐν τῷ Γοργίᾳ 〈p. 465 A〉 · «τέχνην γὰρ αὐτὴν οὔ φημι, ἀλλ' ἐμπειρίαν, ὅτι οὐκ ἔχει λόγον οὐδένα» ἤγουν αἰτίαν, «ᾧ προσφέρει, 〈ἃ προσφέρει〉 , ὁποῖα τὴν φύσιν ἐστίν». Ἰστέον δὲ ὅτι οὔτε τῶν ἀνωτάτω γενῶν εἰσὶν ὅροι [ἀλλ' ὑπογραφαί], οὔτε τῶν ἀτόμων, ἐπειδὴ 〈ὁ〉 ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι· οἷον τί ἐστι ζῷον; οὐσία ἔμψυχος καὶ αἰσθητική· ἰδοὺ τὸ μὲν οὐσία γένος ἐστί, τὸ δὲ ἔμψυχος 〈καὶ〉 αἰσθητική συστατικαὶ διαφοραί· εὐλόγως 〈οὖν〉 τῶν ἀνωτάτω γενῶν οὐκ ἔστιν ὅρος. Ἀλλ' οὐδὲ τῶν ἀτόμων, ἐπειδὴ ὁ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, διαφορὰ δέ ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορούμενον ἤγουν φερόμενον, 〈οἷον ἐν τῷ τοῦ ἀνθρώπου ὅρῳ τὸ λογικόν κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐστὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατηγορούμενον ἤγουν φερόμενον,〉 κατ’ ἀγγέλου καὶ κατὰ δαίμονος καὶ 〈κατ’〉 ἀνθρώπου, καὶ ἄλλη φύσις ἀγγέλου καὶ ἄλλη δαίμονος 〈καὶ ἄλλη ἀνθρώπου〉 · κατηγορεῖται γὰρ τουτέστι φέρεται κατ’ αὐτῶν ἐν τῷ ὁποῖόν τί ἐστιν· ἐρωτώμενοι γὰρ τί ἐστιν ἄνθρωπος, τὸ γένος ἀποκρινόμεθα, λέγοντες «ζῷον», ἐρωτώμενοι δὲ ποῖόν τί ἐστι, τὰς συστατικὰς διαφορὰς ἀποκρινόμεθα, λέγοντες «λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν».

119 Ἐπειδὴ οὖν ὁ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, διαφορὰ δέ ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν 〈τί〉 ἐστι κατηγορούμενον, τὰ δὲ ἄτομα οὐ διαφέρουσιν ἀλλήλων τῷ εἴδει—ἓν γὰρ τὸ εἶδος καὶ μία 〈ἡ〉 φύσις Σωκράτους καὶ Πλάτωνος καὶ Ἀλκιβιάδου, πάντες γὰρ ἄνθρωποί εἰσιν—εὐλόγως ἐν τῷ ὅρῳ τῶν ἀτόμων εἶρκται συστατικὴ διαφορά· συστατικῆς δὲ διαφορᾶς μὴ οὔσης οὐδὲ ὅρος γίνεται, 〈εἴ γε〉 ἄνευ γένους καὶ συστατικῆς διαφορᾶς ὅρος οὐ συνίσταται. Εἰ γὰρ καὶ δύναμαι τὸν Σωκράτην ὁρίσασθαι, ὅτι Σωκράτης ἐστὶ ζῷον λογικὸν καὶ ἑξῆς, ἀλλ’ οὖν οὐκ ἔστι τοῦ Σωκράτους οὗτος ὁ ὅρος, ἀλλὰ καθόλου παντὸς ἀνθρώπου· πᾶς γὰρ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, ἐκ γένους μέν, ἐπειδὴ τὸ γένος τὴν οὐσίαν τοῦ ὁριστοῦ δηλοῖ· τὸ γὰρ ζῷον τὴν οὐσίαν τοῦ ὁριζομένου παρίστησιν· ἐκ συστατικῶν δὲ διαφορῶν σύγκειται, ἐπειδὴ αὗται συνιστῶσι τὸ ὁριστόν, ἤγουν τὸν ἄνθρωπον. Ἔστιν οὖν τῆς γραμματικῆς γένος ἡ τέχνη. Ἰστέον δὲ ὅτι διαφοραὶ ἐκεῖναι ὤφειλον τεθῆναι ἐν τῷ ὅρῳ, αἵτινες καὶ ἀντιδιῄρηνται ἀλλήλαις καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀνάγονται, τουτέστιν ὑπὸ τὴν αὐτὴν διαίρεσίν εἰσιν· οἷον τοῦ ζῴου διαιρέσεις εἰσὶ πλείους κατὰ τὰς διαφοράς· τὰ μὲν γὰρ λέγεται θνητά, τὰ δὲ ἀθάνατα, καὶ πάλιν τὰ μὲν λογικά, τὰ δὲ ἄλογα· ἐκ τούτων οὖν τῶν ἀντιδιαιρουμένων ἀλλήλαις καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀναγομένων δεῖ τιθέναι 〈τὰς διαφορὰσ〉 ἐν τῷ ὅρῳ τοῦ ἀνθρώπου. Οὕτως οὖν καὶ τὴν γραμματικὴν εἴπωμεν τέχνην θεωρητικήν· καὶ διὰ μὲν τοῦ εἰπεῖν «τέχνην» δηλοῦμεν τὸ γένος αὐτῆς, γένος γὰρ αὐτῆς ἡ τέχνη, διὰ δὲ τοῦ εἰπεῖν «θεωρητικήν» δηλοῦμεν τὴν συστατικὴν διαφοράν· αὕτη δὲ ἡ συστατικὴ διαφορὰ ἀντιδιῄρηται ἑτέραις τισί, καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀνάγεται· καὶ γὰρ τοῦ αὐτοῦ γένους ἐστὶν ἡ θεωρητικὴ καὶ πρακτικὴ καὶ ἀποτελεστική, καὶ ἀντιδιῄρηνται ἀλλήλαις. Διαφέρει δὲ ἡ πρακτικὴ τῆς ἀποτελεστικῆς, ὅτι ἡ μὲν πρακτικὴ ἐν τῷ πράττεσθαι ἔχει τὴν ὕπαρξιν, μετὰ δὲ τὸ πρᾶγμα οὐκ ἔστιν, ὡς ἡ ὀρχηστικὴ ἐν τῷ ὀρχεῖσθαι ἔστι καὶ ὑπάρχει, ἐὰν δὲ παύσηται ὁ ὀρχούμενος, σὺν αὐτῷ καὶ τὰ τῆς ὑπάρξεως ἀποπαύεται, καὶ οὐκ ἔστιν ἔτι ἡ ὄρχησις· ἡ δὲ ἀποτελεστικὴ μετὰ τὸ πρᾶγμα ἔχει τὰ ἀποτελούμενα θεωρούμενα, ὡς ἐπὶ τῆς χαλκευτικῆς· μετὰ γὰρ τὸ ἀποτελέσαι τὸν χαλκέα τὸν ξέστην θεωροῦμεν τὸ ἀποτελούμενον, λέγω δὴ τὸν ξέστην. Ὁριστέον οὖν τὴν γραμματικὴν οὕτως· «γραμματική ἐστι τέχνη θεωρητικὴ 〈τῶν〉 παρὰ ποιηταῖς τε καὶ λογεῦσι»· λογεῖς δὲ οἱ πεζολόγοι. Ἰστέον δὲ ὅτι 〈φύσει μὲν〉 πρότερά ἐστι τὰ στοιχεῖα καὶ ἀρχαὶ αὐτοῦ τοῦ πράγματος, οὗτινος τὸν ὅρον ποιούμεθα· πρὸς δὲ ἡμᾶς πρῶτά εἰσι τὰ συγκρίματα ἤγουν αἱ συνελεύσεις αἱ ἐκ τούτων ἀποτελούμεναι, τουτέστιν αἱ συλλαβαὶ 〈καὶ〉 αἱ λέξεις· ἐκ γὰρ τῶν στοιχείων γίνονται αἱ 〈συλλαβαὶ καὶ αἱ〉 λέξεις.

120 Καὶ πάλιν φύσει πρῶτά εἰσι τὰ γένη τῶν εἰδῶν καὶ τὰ εἴδη τῶν καθ’ ἕκαστα, οἷον ὁ καθόλου ἄνθρωπος τῶν κατὰ μέρος ἀνθρώπων· πρὸς ἡμᾶς δὲ πρῶτά εἰσι τὰ καθ’ ἕκαστα τῶν εἰδῶν καὶ τὰ εἴδη τῶν γενῶν. Εὐλόγως δέ· τὰ μὲν γὰρ ἀποτελέσματα αἰσθητά εἰσιν, αἱ δὲ ἀρχαὶ καὶ τὰ στοιχεῖα 〈νοητά εἰσι· καὶ πάλιν τὰ μὲν καθ’ ἕκαστα αἰσθητά εἰσι, τὰ δὲ εἴδη〉 καὶ τὰ γένη νοητά εἰσι, γνωριμώτερα δὲ ἡμῖν τὰ αἰσθητὰ διὰ τὸ ἀεὶ συνδιαιτᾶσθαι ἡμῖν· αἴσθησις μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς ἐνέφυ, νοῦς δέ, ὥς φησιν ὁ Πλάτων 〈p. 653 α〉 ἀγαπητὸν ὅτῳ καὶ πρὸς γῆρας ἀφίκοιτο. Καὶ πάλιν προτέρα μὲν φύσει στιγμή ἐστι γραμμῆς καὶ γραμμὴ ἐπιφανείας καὶ ἐπιφάνεια αἰσθήσεως, ἐγγυτέρω δὲ 〈πρὸς ἡμᾶσ〉 ἡ αἴσθησις τῆς ἐπιφανείας, καὶ μετ’ ἐκείνην ἡ γραμμή, καὶ μετὰ τὴν γραμμὴν ἡ στιγμή. Ὁπηνίκα μὲν οὖν ἐπιστημονικῶς παραδῶμεν, διὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν φύσει πρώτων ὁριούμεθα, οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν καὶ τὰ ἑξῆς· πρότερα γὰρ τῇ φύσει τὰ γένη τῶν εἰδῶν· ὅτε δὲ τὰ φύσει πρότερα μὴ δύναταί τις καταλαβεῖν, τότε διὰ τῶν εὐχερεστέρων καὶ γινωσκομένων δεῖ ποιεῖν τοὺς ὅρους, οἷον ἐπίπεδον στερεοῦ πέρας· ταῦτα γὰρ ἐγγυτέρω ταῖς αἰσθήσεσίν εἰσιν. Ἐπὶ μέντοι τῆς γραμματικῆς τὸ φύσει πρῶτον ὀρθῶς ἐτάξαμεν ἐν τῷ ὅρῳ, ἤγουν τὸ τέχνη, ἐπειδὴ πάντες ἐπίστανται ὅτι ἡ γραμματικὴ τέχνη ἐστίν. Δεῖ δὲ ἐξετάζειν, εἰ ἔστιν ἐν τῷ ὅρῳ λέξις ὁμώνυμος ἢ οὔ· οἷον ἡ αἴσθησις διττή ἐστιν, ἥ τε κατ᾽ ἐνέγρειαν καὶ ἡ κατὰ δύναμιν· καὶ ἡ κατ᾽ ἐνέργειαν μέν, ὅτε ἀγρυπνοῦντες ἐνεργοῦμεν κατὰ τὰς αἰσθήσεις, ἡ κατὰ δύναμιν δέ, ὅτε φαμὲν καὶ τὸν ὑπνώσσοντα ἔχειν αἴσθησιν, δυνάμει γὰρ αἰσθάνεται, οὐκ ἐνεργείᾳ. Οὔκουν δεῖ εἰπεῖν «αἴσθησίς ἐστιν ἀντίληψις αἰσθητοῦ», τὸ γὰρ ἓν μόνον τῶν σημαινομένων ὁριούμεθα, λέγω δὴ τὸ ἐνεργείᾳ, οὐ τὸ δυνάμει ἤγουν τὸ 〈τοῦ〉 κοιμωμένου· καὶ γὰρ ὁ κοιμώμενος αἴσθησιν ἔχει, οὐ μέντοι ἐνεργεῖ κατ᾽ αὐτήν. Καὶ πάλιν τὸν ἔρωτα οἱ μὲν Ἐπικούρειοί φασιν εἶναι σύντονον ἀφροδισίων ὄρεξιν, οἱ δὲ ἀπὸ τῆς Στοᾶς ἐπιβουλὴν φιλοποιίας νέων κορῶν διὰ κάλλος ἐμφαινομένην· διπλοῦς δὲ ὁ ἔρως ἐστίν, ὁ μὲν ψυχῆς, ὁ δὲ σώματος. Καὶ ἡ γραμματικὴ δὲ κατὰ τὸ παλαιὸν ἐν δύο σημαινομένοις ἦν· τὴν μὲν γὰρ μικρὰν ἐκάλουν, ἥτις ἦν τέχνην περὶ τὸ γράφειν καὶ ἀναγινώσκειν τὴν ἐγγράμματον φωνήν, τούς τε χαρακτῆρας τῶν γραμμάτων εἰδέναι καὶ τὰς συλλήψεις αὐτῶν ἤγουν τὰς συλλαβάς· τὴν δὲ μεγάλην ἐκάλουν, τὴν περὶ τοὺς ποιητὰς 〈καὶ τοὺς λογεῖσ〉 θεωρίαν, ἥντινα νῦν ἐξηγοῦνται οἱ γραμματικοί, καὶ ἔστιν αὕτη τέχνη θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσιν.

121 Δεῖ δὲ τὸν ὅρον ἔμφασιν παρέχειν καὶ τῶν συστοίχων ἤγουν τῶν συγγενῶν· οἷον ὁ ὀρθῶς ὁριζόμενος τὴν ἐπιστήμην καὶ τὸν ἐπιστήμονα ὁρίζεται τρόπον τινά· τῇ γραμματικῇ δὲ ἐναντίον καὶ ἀντικείμενον οὐδέν ἐστιν· ἔμφασιν δὲ παρέχει ὁ ὅρος τῆς γραμματικῆς καὶ τοῦ συστοίχου καὶ συγγενοῦς αὐτῆς, λέγω δὴ τοῦ γραμματικοῦ· ἡ γὰρ γραμματικὴ τέχνη θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσι· δῆλον οὖν ὅτι γραμματικός ἐστιν ὁ τούτων θεωρητικός. Ἔτι δεῖ τὸν ὅρον καὶ τοῖς μὴ πάνυ λογίοις δηλοῦν, τίνος ἐστὶν ὁ ὅρος, οὐχ ὥσπερ οἱ Στωϊκοὶ ὁριζόμενοι τὸν ἥλιον λέγουσιν, ὅτι ἥλιός ἐστιν ἄναμμα νοερὸν θαλασσίων ὑδάτων· καὶ γὰρ οὗτος οὐκ ἔστι πᾶσι πρόδηλος ὅτι τοῦ ἡλίου ἐστὶν ὁ ὅρος· δύναμαι γὰρ καὶ ἐγὼ ἀντλῆσαι ὕδωρ, καὶ ταῦτα μὴ ὢν ἥλιος· ἀλλ᾽ οὐκ ἔστι τὸ παρ᾽ ἐμοῦ ἄναμμα νοερόν, ἀλλ᾽ αἰσθητόν. Ὥστε οὐκ ὀρθῶς ὡρίσατο Τυραννίων τὴν γραμματικήν, εἰπὼν «γραμματική ἐστι θεωρία μιμήσεως»· οὐ μόνον γὰρ περὶ μίμησιν καταγίνεται, ἀλλὰ καὶ περὶ λέξεις μὴ ἐχούσας μίμησιν. Δεῖ δὲ τὸν ὅρον καὶ ἀντιστρέφειν· ἀντιστρέφει οὖν ὁ τῆς γραμματικῆς ὅρος· καὶ 〈γὰρ〉 εἴ τι γραμματική, τοῦτο τέχνη ἐστὶ θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσι, καὶ εἴ τι τέχνη θεωρητικὴ καὶ τὰ ἑξῆς, τοῦτο γραμματική ἐστιν. Ἰστέον δὲ ὅτι καθόλου μέν εἰσιν ὅσα ἀπὸ τῶν ἐν μέρει συνάπτομεν τῷ λογισμῷ· οἷον θεωροῦντες πολλοὺς ἵππους λογιζόμεθα ὅτι ἔστι 〈τισ〉 περιέχων πάντα ἵππον καθόλου ἵππος, καὶ πάλιν θεωροῦντες πολλοὺς ἀνθρώπους λογιζόμεθα ὅτι ἔστι τις καθόλου ἄνθρωπος. Ἴδιον δὲ καλεῖται τὸ μόνῳ τινὶ ὑπάρχον καὶ ἀντιστρέφον πρὸς ἑαυτό, οἷον ἀνθρώπου ἐστὶν 〈ἴδιον〉 τὸ δεκτικὸν ἐπιστήμης, 〈καὶ εἴ τι δεκτικὸν ἐπιστήμης,〉 τοῦτο ἄνθρωπός ἐστιν. Τοῦ δὲ ἰδίου τὸ μέν ἐστι πρὸς ἕτερον, τὸ δὲ καθ᾽ ἑαυτό· καὶ πρὸς ἕτερον μὲν ἴδιόν ἐστι τὸ ἀπό τινων χωρίζον, ὥσπερ τὸ 〈ἀμετάπτωτον〉 ἴδιον τῆς ἐπιστήμης· τοῦτο γὰρ χωρίζει τὴν ἐπιστήμην ἐκ τῆς τέχνης· καθ᾽ ἑαυτό δέ, ὃ καὶ κυρίως ἴδιον καλεῖται, τὸ χωρίζον ἀπὸ πάντων τῶν ὑποκειμένων, ὡς ὅταν εἴπωμεν ἀνθρώπου ἴδιον τὸ ψυχὴν δεκτικὴν ἐπιστήμης ἔχειν· χωρίζει γὰρ τοῦτο τὸν ἄνθρωπον ἀπὸ πάντων τῶν ζῴων, μόνος γὰρ ὁ ἄνθρωπος δεκτικός ἐστιν ἐπιστήμης· τὸ δὲ λέγειν, ὅτι ἀνθρώπου ἐστὶν ἴδιον τὸ ψυχὴν ἔχειν, οὐ χωρίζει τὸν ἄνθρωπον εἰ μὴ ἀπὸ τῶν ἀψύχων· ἀπὸ γὰρ ἵππου καὶ κυνὸς οὐ χωρίζει τὸν ἄνθρωπον, ἐπειδὴ καὶ ταῦτα τῆς ψυχῆς εἰσι δεκτικά. Ἰστέον δὲ ὅτι χρησιμεύει ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γραμματικὴ εἴς τε τὴν φύσιν τῶν στοιχείων τῆς ἐγγραμμάτου φωνῆς, διδάσκει τε πῶς ἤρθρωται τῶν φθόγγων ἕκαστος, καὶ τίς αὐτοῖς ἡ προσάλληλος κοινωνία, τῶν τε φωνηέντων καὶ τῶν συμφώνων, τίνες τε ἐν συλλήψει 〈καὶ ἐν διαστάσει〉, ἔν τε ἐκτάσει καὶ 〈ἐν〉 βραχύτητι.

122 Διδάσκει δὲ καὶ τὰ ἰδιώματα τῶν διαλέκτων, λέγω δὴ τῆς τε Ἰάδος καὶ Δωρίδος 〈καὶ τῶν ἑξῆσ〉. Καὶ πρὸς τὸν βίον δὲ τὸ τέλος αὐτῆς χρήσιμον, καὶ πρὸς τὰς ἄλλας ἐπιστήμας συνεργόν· ἀναγκαῖον γὰρ ἡγεῖται πᾶς παιδεύεσθαι γράμματα, ὧν χωρὶς οὔτε ἰδία πρᾶξις οὔτε πολιτικὴ δύναται στῆναι. Καὶ μουσικὴν μέν τις ἀγνοῶν ἢ ἀστρονομίαν ἤ τινα τῶν ἄλλων λογικῶν τεχνῶν οὐκ ἂν αἰσχύνοιτο, ὡς ἂν οὐ βλαπτόμενος εἰς τὰς χρείας τοῦ βίου· ἐὰν δὲ γραμμάτων τις εὑρεθῇ ἐστερημένος, ἀμαθὴς ὑπάρχει· ὅθεν οὐδὲ τοὺς οἰκέτας οἱ χαρίεντες ἀπεστέρουν τῆς τοιαύτης παιδεύσεως, ἵνα τοῖς γράμμασιν ἡμεροῖντο καὶ πρὸς τὰς τοῦ βίου χρείας εἶεν πεπαιδευμένοι. Τίς δὲ ἰατρὸς ἢ φιλόσοφος ἢ τῶν ἄθλων τινὸς ἀγωνιστὴς οὐ τὰ κατὰ λέξιν καὶ ἱστορίαν ζητούμενα πρὸς τοῦ γραμματικοῦ ἀξιοῖ μανθάνειν; Ἔχει δὲ ἡ γραμματικὴ καὶ ψυχαγωγίαν ἐμμελῆ, διδάσκουσα κάλλος ποιημάτων, ἱστορίαις τε καὶ μύθοις κατᾴδουσα· φιλόμυθος δὲ ὁ ἄνθρωπος, καὶ πρὸς ἑκάστην βίου διάθεσιν χαίρει ταῖς ἀφηγήσεσιν, ὁ μὲν πολεμικὸς παρατάξεσι πεζαῖς καὶ ναυτικαῖς, ὁ δὲ εἰρηνικὸς ὑποθήκαις καὶ παραινέσεσιν, Ὀλυμπικῶν τε [καὶ] ἀγώνων ἀκροάσεσι καὶ μουσικῶν. Προτροπαὶ δὲ καὶ διδασκαλίαι καὶ ἀποτροπαὶ καὶ ὑποθῆκαι πόθεν οὕτω καλαὶ καὶ πολύτροποι, πλὴν παρὰ ποιητῶν, οὓς διασῴζει καὶ συνίστησι γραμματική; Πόθεν δ’ ἄν τις ἀρύσαιτο μᾶλλον μαθήματα σπουδαῖα καὶ πολιτεύματα, πλὴν παρὰ ποιητῶν; Τίς δὲ καὶ ἄμεινον δικαιώματα πόλεων καὶ ἐθνῶν ἀνευρεῖν δύναται καὶ διοικῆσαι κτήσεις κατ’ ἀκρίβειαν, γραμματικὰ μηδαμῶς ἐπιστάμενος; Τέτταρα δὲ εἴδη τεχνῶν εἰσι· τὰς μὲν γὰρ θεωρητικὰς καλοῦσι, τὰς δὲ πρακτικάς, τὰς δὲ ἀποτελεστικάς, τὰς δὲ περιποιητικάς. Καὶ θεωρητικὰς μέν, ὧντινων τέλος ἕν, θεωρία ἡ ἐν λόγῳ, ὡς ἐπὶ ἀστρονομίας καὶ ἀριθμητικῆς· τῆς μὲν γὰρ ἴδιόν ἐστι τὸ θεωρῆσαι τὰς ἐπιστάσεις καὶ περιφορὰς τῶν ἄστρων, τῆς δὲ τὸ θεωρῆσαι τὴν τῶν ἀριθμῶν διαίρεσιν καὶ σύνθεσιν. Πρακτικὰς δέ, ἅστινας μετὰ τὴν πρᾶξιν οὐχ ὁρῶμεν ὑφισταμένας, ὡς ἐπὶ κιθαριστικῆς καὶ ὀρχηστικῆς· μετὰ γὰρ τὸ παύσασθαι τὸν κιθαρῳδὸν καὶ τὸν ὀρχηστὴν τοῦ ὀρχεῖσθαι καὶ κιθαρίζειν, οὐκέτι πρᾶξις ὑπολείπεται. Ἀποτελεστικὰς δὲ λέγουσιν, ὧντινων τὰ ἀποτελέσματα μετὰ τὴν πρᾶξιν ὁρῶνται, ὡς ἐπὶ τῆς ἀνδριαντοποιίας καὶ οἰκοδομικῆς· μετὰ γὰρ τὸ ἀποτελέσαι τὸν ἀνδριαντοποιὸν τὸν ἀνδριάντα καὶ τὸν οἰκοδόμον τὸ κτίσμα μένει ὁ ἀνδριὰς καὶ τὸ κτισθέν.

123 Περιποιητικὰς δὲ καλοῦσι τὰς περιποίησιν δηλούσας, ὡς ἐπὶ τῆς ἁλιευτικῆς καὶ τῆς θηρευτικῆς. Τέλος δὲ τῶν τεχνῶν ἐστιν ἐφ’ ὃ πάντα νεύει τὰ θεωρήματα καὶ ὃ ζητοῦμεν αὐτῆς ἔσχατον. Τὸ δὲ αὐτὸ δυνάμει καὶ αἴτιόν ἐστιν· οἷον φοβηθέντες οἱ ἄνθρωποι ναυαγίαν ἐξεῦρον πόθῳ τῆς εὐπλοίας 〈τὴν〉 κυβερνητικήν, ἧς τὸ τέλος τὸ εὐπλοεῖν· τοῦτο δὲ τὸ εὐπλοεῖν καὶ τέλος ἐστὶ τῆς κυβερνητικῆς καὶ αἴτιον, διὰ γὰρ τὸ εὐπλοεῖν ἐπενοήθη ἡ κυβερνητική· καὶ πάλιν τὰς νόσους βουλόμενοι φυγεῖν ἔρωτι ὑγείας τὴν ἰατρικὴν συνεστήσαντο, ἧς τὸ τέλος 〈τὸ〉 ὑγιάζειν· τοῦτο δὲ 〈τὸ〉 ὑγιάζειν καὶ τέλος ἐστὶ τῆς ἰατρικῆς καὶ αἴτιον, διὰ γὰρ τὴν ὑγείαν ἐπενοήθη ἡ ἰατρική. Ἐπειδὴ οὖν ἡ γραμματικὴ διὰ τοῦ γλωσσηματικοῦ καὶ μετρικοῦ καὶ τεχνικοῦ 〈καὶ ἱστορικοῦ〉 θεωρεῖται, καὶ διδάσκει τὴν ἀνάγνωσιν καὶ τὴν ἐξήγησιν καὶ τὴν διόρθωσιν καὶ τὴν κρίσιν, τούτου χάριν πρό〈σ〉κειται «θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσιν». Εἰ ἄρα δὲ ἡ γραμματικὴ μικτή ἐστι—καὶ γὰρ καὶ θεωρίᾳ κέχρηται, ἡνίκα καταλέγει κανόνας, καὶ πράξει, ἡνίκα ποιεῖ τόνους καὶ στιγμάς—πῶς ὁρίζομεν αὐτὴν θεωρητικήν, καὶ οὐ μικτήν; Καὶ λέγομεν ὅτι ἡ γραμματικὴ οὐκ ἔστι πρακτική, ἀλλὰ μόνον θεωρητική, ὁ μέντοι γραμματικός ἐστιν ὁ πρακτικός· οὐ γὰρ ἡ γραμματικὴ ποιεῖ τοὺς τύπους τῶν τόνων καὶ τὰς στιγμάς, ἀλλὰ θεωρεῖ μόνον καὶ διδάσκει αὐτούς, ὁ γραμματικὸς δὲ ἐξ αὐτῆς λαμβάνων τὰς

ἀφορμὰς ἀποτελεῖ καὶ τόνους καὶ στιγμὰς καὶ πνεύματα. Εἰπόντες οὖν τί ἐστι γραμματική, ἔλθωμεν καὶ ζητήσωμεν τὰ ἑπτὰ κεφάλαια, λέγω δὴ τὸν σκοπόν, τὸ χρήσιμον, τὴν αἰτίαν τῆς ἐπιγραφῆς, τὸ γνήσιον, τὴν εἰς τὰ κεφάλαια διαίρεσιν, τὴν τάξιν καὶ τὸ ὑπὸ τί ἀνάγεται 〈τὸ〉 προκείμενον βιβλίον. Σκοπὸν δὲ ζητοῦμεν, ἵνα τὴν ὁρμὴν τοῦ συγγραψαμένου καταλάβωμεν· ἔστι δὲ σκοπὸς προκατάληψις ψυχῆς προτυπούσης τὸ προτεθέν, ἐκ μεταφορᾶς τῶν τοξοτῶν 〈τῶν〉 πρότερον μὲν στοχαζομένων τὸν τόπον, εἶθ' οὕτως τὸ βέλος ἐπιπεμπόντων· σκοπὸν οὖν ἔχει ὁ Διονύσιος ὡς ἐν εἰσαγωγῇ παραδοῦναι πάντα τὰ τῆς γραμματικῆς θεωρήματα. Τὸ δὲ χρήσιμον τοῦ παρόντος συγγράμματος ὁ σκοπὸς φανεροῖ· εἰς ὅσα γὰρ χρησιμεύει 〈τὰ〉 ἐν τῷ παρόντι συγγράμματι λεγόμενα, τουτέστι τὰ μέρη τοῦ λόγου καὶ ἡ στιγμὴ καὶ τὰ μέτρα, εἰς τοσαῦτα χρησιμεύει τὸ παρὸν 〈σύγ〉γραμμα, τὴν διδασκαλίαν ἡμῖν τούτων μνηστευόμενον. Ἐπιγραφὴν δὲ ζητοῦμεν, ἵνα εὑρόντες τυχὸν «περὶ ὀνομάτων» μὴ ζητῶμεν περὶ ἐπιρρημάτων· αἰτία δὴ ταύτη ζητεῖται τῆς ἐπιγραφῆς· ἐπιγέγραπται οὖν τὸ παρὸν σύγγραμμα «περὶ γραμματικῆς», ἐπει〈δὴ〉 πάντα τὰ ἁρμόζοντα τῇ γραμματικῇ ἐν αὐτῷ παραδίδωσι.

124 Ζητοῦμεν δὲ καὶ τὸν συγγραφέα, ἵνα τὸ ἀξιόπιστον ἢ μὴ τοῦ συγγραψαμένου καταλάβωμεν· τοῦτο δὲ διὰ τὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἔχει ἡ Ἀσπὶς Ἡσιόδου· ἑτέρου γάρ ἐστιν, ἐπιγραφῇ δὲ καὶ ὀνόματι ἐχρήσατο τῆς Ἡσιόδου, ἵνα τῇ ἀξιοπιστίᾳ τοῦ ποιητοῦ ἀξία κριθῇ ἀναγνώσεως. Θέλουσιν οὖν τινες μὴ εἶναι γνήσιον τοῦ Θρᾳκὸς τὸ παρὸν σύγγραμμα, ἐπιχειροῦντες οὕτως, ὅτι οἱ τεχνικοὶ μέμνηνται Διονυσίου τοῦ Θρᾳκός, καὶ λέγουσιν ὅτι διεχώριζε τὴν προσηγορίαν ἀπὸ τοῦ ὀνόματος καὶ συνῆπτε τὸ ἄρθρον καὶ τὴν ἀντωνυμίαν· ἄρα οὖν οὐκ ἔστι Διονυσίου τοῦ Θρᾳκὸς τὸ παρὸν σύγγραμμα. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἄλλος ἦν ἐκεῖνος 〈ὁ〉 Διονύσιος ὁ Θρᾷξ, καὶ ἄλλος ὁ ποιήσας τὸ παρὸν σύγγραμμα, ἐκεῖνος μὲν μαθητὴς Ἀριστάρχου, οὗτος δὲ ὁ τοῦ Πηροῦ. Περὶ δὲ τῆς εἰς τὰ κεφάλαια διαιρέσεως ἰστέον ὅτι μονόβιβλόν ἐστι τὸ παρὸν σύγγραμμα. Περὶ δὲ τῆς τάξεως ἰστέον ὅτι πρὸ ἄλλων μὲν ἀναγινώσκεται, ὡς ἐν εἰσαγωγῇ παρέχον τὰ τῆς γραμματικῆς θεωρήματα, μετὰ δὲ ὅλα τὰ τεχνικὰ συγγράμματα πράττεται, ἐπειδὴ ἀνακεφαλαίωσίς ἐστι τῶν εἰρημένων ἐν τοῖς τεχνικοῖς συγγράμμασι· διαλαμβάνει γὰρ καὶ περὶ τῶν μερῶν τοῦ λόγου ὡς ἐν συντόμῳ καὶ περὶ τῶν μέτρων καὶ περὶ στιγμῆς· ἵνα οὖν εἰς ὑπόμνησιν ἔλθωμεν τῶν ἐν πλάτει ἀναγνωσθέντων, τούτου χάριν τὸ παρὸν σύγγραμμα μετὰ πάντα τὰ τεχνικὰ πράττεται. Ἀνάγεται δὲ τὸ 〈προ〉κείμενον βιβλίον ὑπὸ τεχνικὸν ὄργανον· πᾶσα γὰρ ψυχικὴ διδασκαλία ὑπὸ τεχνικὸν ὄργανον ἀνάγεται. Ταῦτα 〈μὲν δὴ ταῦτα〉, ἐν οἷς σὺν θεῷ καὶ τὰ προλεγόμενα τῆς τέχνης Διονυσίου. Γεωργίου τοῦ Χοιροβοσκοῦ περὶ προσῳδιῶν. Ἰστέον ὅτι τριχῶς λέγεται ἡ προσῳδία· καὶ 〈γὰρ〉 ἡ παρὰ τοῖς μουσικοῖς, τουτέστι τὸ στόμα καὶ ἡ ἐκφώνησις τῶν αὐλῶν, λέγεται προσῳδία· καὶ ἡ ἐν τῇ ἐκφωνήσει γινομένη, τουτέστιν ἐν τῷ παροξύνεσθαι λέξιν ἢ ὀξύνεσθαι ἢ περισπᾶσθαι λέγεται προσῳδία· καὶ αὐτὸς ὁ χαρακτὴρ τῶν τόνων καὶ τῶν χρόνων καὶ τῶν πνευμάτων, οἷον ´ ` ˜ ¯ ˘ ⊢. Ταῦτα μὲν ἐν τούτοις. Ἰστέον δὲ ὅτι ἐν ταῖς προσῳδίαις τρία ἐστὶν εἴδη· ἔστι γὰρ τόνος, χρόνος, πνεῦμα· καὶ τόνοι μέν εἰσι τρεῖς, ὀξύς, βαρύς, περισπώμενος· χρόνοι δύο, μακρὸς καὶ βραχύς· πνεύματα δύο, δασὺ καὶ ψιλόν· ἑπτὰ οὖν εἰσιν, ὡς δέδεικται, αἱ προσῳδίαι.

125 Καὶ ἰστέον ὅτι ἡ μὲν ὀξεῖα ταύτης τῆς προσηγορίας ἐτύγχανεν ὡς ἀπὸ μεταφορᾶς τῶν δρομέων τῶν ὀξέως τρεχόντων· ὥσπερ γὰρ τοὺς δρομεῖς τοὺς ὀξέως τρέχοντας ὁρῶμεν ἐπὶ τὰ ἄνω φερομένους καὶ τεινομένους, τὸν αὐτὸν τρόπον καὶ ἡ ὀξεῖα ἐπὶ τὰ ἄνω νεύει. Ἡ δὲ βαρεῖα ταύτης τῆς προσηγορίας ἐτύγχανεν ἀπὸ μεταφορᾶς τῶν βασταζόντων φορτίον· ὥσπερ γὰρ οἱ βαστάζοντες φορτίον τῷ βάρει συγκλονούμενοι κάτω νεύουσι, τὸν αὐτὸν τρόπον καὶ ἡ βαρεῖα κάτω νεύει. Ἡ δὲ περισπωμένη ταύτης ἔτυχε τῆς προσηγορίας, ἐπειδὴ ἔοικε τῷ σχήματι περικεκλασμένῃ ῥάβδῳ, ἐχούσῃ τὰς δύο ἀρχὰς νευούσας πρὸς ἀλλήλας· περισπωμένη οὖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγεται οἱονεὶ περικεκλασμένη, ἀπὸ μεταφορᾶς τῶν περικλωμένων ἐν πράγματι, καὶ γὰρ οὗτοι ὑπὸ τοῦ πόνου δοκοῦσι περιεσπάσθαι· τοιαύτη οὖν καὶ ἡ περισπωμένη τῷ σχήματι. Ἡ δὲ μακρὰ καὶ ἡ βραχεῖα τοιαύτης προσηγορίας ἔτυχον ἢ ἐκ τῆς θέσεως, καθὸ ἡ μὲν μακρὰ πολὺ διάστημα κρατεῖ, ἡ δὲ βραχεῖα ὀλίγον· ἢ ἐκ τοῦ χρόνου, καθὸ ἡ μὲν μακρὰ δύο χρόνους ἔχει, ἡ δὲ βραχεῖα ἕνα. Ἡ δὲ δασεῖα οὕτως ὠνομάσθη παρὰ τὸ δα ἐπιτατικὸν μόριον καὶ τὸ σεύω τὸ σημαῖνον τὸ ὁρμῶ, οἱονεὶ ἡ πάνυ ὁρμῶσα καὶ ἀθρόῳ τῷ πνεύματι προφερομένη· καὶ γὰρ δοκεῖ ἐκ τοῦ θώρακος ἐκπέμπεσθαι. Ἡ δὲ ψιλὴ οὕτω προσηγορεύθη παρὰ τὸ ἀσθενῆ αὐτὴν εἶναι· οὕτω καὶ ψιλὸν στρατιώτην εἰώθαμεν καλεῖν τὸν γυμνὸν καὶ ἄοπλον καὶ ἀσθενῆ. Ὅτι δὲ ἡ ψιλὴ ἀσθενής ἐστι, δῆλον, εἴ γε δασυνομένου φωνήεντος ἐπιφερομένου τρέπεται τὸ προηγούμενον ψιλὸν εἰς τὸ ἀντίστοιχον τὸ δασύ, οἷον κατὰ ἡμῶν καθ’ ἡμῶν· τὰ δὲ δασέα ψιλουμένου φωνήεντος ἐπιφερομένου, ἅτε δὴ ἰσχυρότερα ὄντα, οὐ τρέπονται, οἷον ἀμφὶ ἀγαθόν 〈Π 165. Ρ 388〉 ἀμ φ ’ ἀγαθὸν θεράποντ α. Δεῖ προσθεῖναι «χωρὶς εἰ μὴ κατὰ διάλεκτον τραπῇ»· πολλάκις γὰρ αἱ διάλεκτοι ψιλουμένου φωνήεντος ἐπιφερομένου τρέπουσι τὸ δασύ, οἷον ἔχεσθαι καὶ ἡ ἀμφί πρόθεσις· ἐκ τούτου γίνεται ἀμφέχεσθαι καὶ αἰολικῶς ἀμπέχεσθαι. Ἔνιοι δὲ τὰ καλούμενα πάθη προστιθέασι ταῖς προσῳδίαις, ἅπερ ἐστὶν ἀπόστροφος, ὑφέν, ὑποδιαστολή. Ἰστέον δὲ ὅτι ταῦτα οὐ καλοῦνται κυρίως προσῳδίαι, ἐπειδὴ αἱ προσῳδίαι περὶ τὰ φωνήεντα θέλουσι καταγίνεσθαι—καὶ γὰρ οἱ τόνοι καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα ἐπάνω φωνηέντων τίθενται· μόνον δὲ τὸ ρ ἐκ τῶν συμφώνων πέφυκε καὶ δασεῖαν δέχεσθαι καὶ ψιλήν—ἡ δὲ ἀπόστροφος καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ καὶ ἐπὶ συμφώνων τίθενται, ἡ μὲν ἀπόστροφος, οἷον ἐπὶ τοῦ καθ’ ἡμῶν, ἡ δὲ ὑφέν, ὡς ἐπὶ τοῦ ΔΙΟΣΚΟΡΟΣ, ἡ δὲ ὑποδιαστολή, ὡς ἐπὶ τοῦ ΔΙΟΣ, ΚΟΥΡΟΣ· τούτου οὖν χάριν οὐ λέγονται προσῳδίαι ἡ ἀπόστροφος καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολή.

126 Ἰστέον δὲ ὅτι ἀπόστροφος μὲν ὠνομάσθη ἢ ἐκ τῆς θέσεως, ἐπειδὴ ἐπὶ τὰ ἔσω ἐστραμμένη ἐστίν· ἐπὶ τὰ ἔσω γὰρ νεύει· ἢ ὅτι ἐν ταῖς λέξεσι τίθεται ταῖς ἀποστρεφομέναις τὴν ἀλλεπαλληλίαν τῶν φωνηέντων, οἷον κατὰ ἡμῶν καθ’ ἡμῶν· ὑφὲν δὲ ὠνομάσθη, ἐπειδὴ ἑνοῖ τὰς λέξεις καὶ ὑφ’ ἕν, ἤγουν ἅμα, ποιεῖ αὐτὰς ἀναγινώσκεσθαι, οἷον ΔΙΟΣΚΟΡΟΣ· ἡ δὲ ὑποδιαστολὴ ὠνομάσθη, ἐπειδὴ διαστέλλει καὶ διαχωρίζει τὰς λέξεις ἀπ’ ἀλλήλων, 〈οἷον ΕΣΤΙΝ, ΑΞΙΟΣ〉. Ἰστέον δὲ ὅτι ἁπλοῖ μὲν τόνοι εἰσὶ δύο, ἡ ὀξεῖα καὶ ἡ βαρεῖα, σύνθετος δὲ τόνος εἷς, ἡ περισπωμένη. Καὶ λέγουσί τινες ὅτι διὰ τοῦτο ἡ περισπωμένη σύνθετος λέγεται, ἐπειδὴ πολλάκις ἡ συλλαβὴ ἡ ἔχουσα τὴν περισπωμένην διάλυσιν πάσχει, οἷον πυλῶν πυλάων, Μουσῶν Μουσάων. Κακῶς δὲ λέγουσι, πρῶτον μὲν ὅτι κατὰ τοῦτον τὸν λόγον ὤφειλε καὶ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα σύνθετος καλεῖσθαι τόνος, ἐπειδὴ πολλάκις καὶ τούτων ἐν συλλαβαῖς οὐσῶν, γίνεται διάλυσις, οἷον Ἀτρείδου Ἀτρείδεω, φίλου φίλοιο, χρῄζω χρηΐζω· δεύτερον δὲ ὅτι οὐ πᾶσα συλλαβὴ ἔχουσα περισπωμένην διάλυσιν πάσχει· ἰδοὺ γὰρ τὸ κερῶ καὶ τιλῶ καὶ ῥανῶ οὐ πάσχουσι διάλυσιν. Ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο ἡ περισπωμένη σύνθετος λέγεται, ἐπειδὴ ἀεὶ ἐπάνω φύσει μακρᾶς τίθεται, ἥτις σύνθετος χρόνος ἐστίν· ἐκ δύο γὰρ χρόνων σύγκειται. Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί, ὥσπερ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα συνερχόμεναι ἀποτελοῦσι τόνον ἕτερον, λέγω δὴ τὴν περισπωμένην, διὰ τί μὴ καὶ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα συνερχόμεναι ἀποτελοῦσιν ἕτερον τόνον. Καὶ ἔστιν εἰπεῖν ὅτι προσῳδίαι κυρίως ἑπτά εἰσιν, ἤγουν ὀξεῖα, βαρεῖα, περισπωμένη, δασεῖα, ψιλή, μακρά, βραχεῖα· ἡ γὰρ ἀπόστροφος καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ οὐκ εἰσὶ κυρίως προσῳδίαι. Τούτων οὕτως ἐχόντων αἱ προσῳδίαι συναπτόμεναι ἀλλήλαις τύπον ἀποτελοῦσι στοιχείου, οἷον ἡ μακρὰ συναπτομένη τῇ βραχείᾳ 〈τὸν〉 τύπον τοῦ ς ἀποτελεῖ, οἷον · πάλιν ἡ δασεῖα συναπτομένη τῇ ψιλῇ 〈τὸν〉 τύπον τοῦ Η ἀποτελεῖ, οἷον ¯˙ πάλιν ἡ ὀξεῖα συναπτομένη τῇ βαρείᾳ τὸν τύπον τοῦ Λ ἀποτελεῖ, οἷον ´` · ἐπειδὴ οὖν ἡ βαρεῖα συναπτομένη τῇ ὀξείᾳ οὐκ ἀποτελεῖ τύπον στοιχείου—τὸ γὰρ Υ κεραίαν ἔχει ἐπὶ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κάτω νεύουσαν—τούτου χάριν, ὡς οὐκ ἀποτελοῦσα ἡ βαρεῖα καὶ ἡ ὀξεῖα τύπον στοιχείου, ἕτερον τόνον οὐκ ἀποτελοῦσιν.

127 Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί, ὥσπερ ἀπὸ δύο τόνων γίνεται ἕτερος τόνος, τουτέστιν ἀπὸ ὀξείας καὶ βαρείας ἡ περισπωμένη, διὰ τί μὴ καὶ ἀπὸ δύο πνευμάτων γίνεται ἕτερον πνεῦμα, οἷον ἀπὸ δασείας καὶ ψιλῆς. Καὶ ἔστιν εἰπεῖν 〈ὅτι〉 ἡ δασεῖα ἀπὸ τοῦ θώρακος ἐκπέμπεται, ὅθεν καὶ δασεῖα λέγεται· ἔστι γὰρ παρὰ τὸ δα τὸ ἐπιτατικὸν καὶ 〈τὸ〉 σεύω τὸ σημαῖνον τὸ [πάνυ] ὁρμῶ, οἱονεὶ ἡ πάνυ καὶ ἡ ἐκ βάθους ὁρμῶσα· ἡ δὲ ψιλὴ ἐκ τῶν ἄκρων τῶν χειλέων ἐξέρχεται, ὅθεν καὶ ψιλὴ λέγεται, οἱονεὶ ἡ ἐν τοῖς ἄκροις οὖσα· ὅθεν καὶ ψέλλια εἰώθαμεν λέγειν τὰ ἐπιτιθέμενα τοῖς ἄκροις τῶν χειρῶν· καὶ ἐκ τούτου οὐ δύνανται συναφθῆναι ἀλλήλοις καὶ ποιῆσαι ἕτερον πνεῦμα. Πῶς γὰρ τὸ ἐκ τοῦ θώρακος ἐκπεμπόμενον δύναται συναφθῆναι τῷ ἐκπεμπομένῳ ἐκ τῶν ἄκρων τῶν χειλέων; θώρακος γὰρ καὶ χειλέων πολὺ τὸ μέσον ἐστίν. Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί, ὥσπερ ἀπὸ δύο τόνων γίνεται ἕτερος τόνος, οἷον ἀπὸ ὀξείας καὶ βαρείας γίνεται ἡ περισπωμένη, διὰ τί μὴ καὶ ἀπὸ μακρᾶς καὶ βραχείας γίνεται ἕτερος χρόνος. Καὶ λέγομεν ὅτι τὰ στοιχεῖα ἢ μονόχρονά εἰσιν, οἷον ε 〈καὶ〉 ο , ἢ δίχρονα, οἷον η καὶ ω , οὐδέποτε δὲ ὑπερβαίνουσι τοὺς τοὺς δύο χρόνους· εἰ συνῆλθον οὖν ἡ μακρὰ καὶ ἡ βραχεῖα καὶ ἀπετέλεσαν ἕτερον χρόνον, ἤμελλε τρίχρονος εἶναι χρόνος· καὶ γὰρ ἡ βραχεῖα ἕνα χρόνον ἔχει καὶ ἡ μακρὰ δύο· καὶ εἰς οὐδὲν εἶχε λυσιτελεῖν, ὅπου γε τὰ στοιχεῖα οὐχ ὑπερβαίνουσι τοὺς δύο χρόνους. Ἰστέον δὲ ὅτι ἡ ὀξεῖα ἢ ἐν τῷ τέλει τίθεται ἢ πρὸ μιᾶς τοῦ τέλους ἢ πρὸ δύο, οἷον σοφός φίλος ἄνθρωπος, πρὸ τριῶν δὲ οὐδέποτε. Ἡ 〈δὲ〉 περισπωμένη ἢ ἐν τῷ τέλει τίθεται, ὡς ἐπὶ τοῦ Ἑρμῆς Ἡρακλῆς, ἢ πρὸ μιᾶς τοῦ τέλους, ὡς ἐπὶ τοῦ οἶκος κῆπος, πρὸ δύο δὲ οὐκέτι· οὐδέποτε δὲ ἐπάνω βραχείας τίθεται περισπωμένη οὔτε ἐπάνω θέσει μακρᾶς, ἀλλ' ἐπάνω μόνον τῶν φύσει μακρῶν, οἷον Ἑρμῆς δῆμος. Ἰστέον δὲ ὅτι πᾶσα λέξις ὀξύτονος ἐν τῇ συνεπείᾳ, ἤγουν ἐν τῇ φράσει, κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν, χωρὶς τοῦ τίς ἐρωτηματικοῦ, οἷον 〈N 1〉 Ζεὺς δ ' ἐπεὶ οὖν Τρῶάς τ ε, «καλὸς ἄνθρωπος ἦλθεν, σοφὸς ἄνθρωπος παρεγένετο»· πρόσκειται «χωρὶς τοῦ τίς 〈ἐρωτηματικοῦ〉», ἐπειδὴ τοῦτο φυλάττει τὴν ὀξεῖαν τάσιν, οἷον 〈ex.

128 gr. α 170〉 τίς πόθεν εἰς ἀνδρῶ ν; Δεῖ δὲ ἐν τῷ κανόνι προσθεῖναι «χωρὶς εἰ μὴ ἐπιφέροιτο στιγμὴ ἢ ἐγκλιτικόν»· ἐὰν γὰρ ἐπιφέρηται στιγμὴ ἢ ἐγκλιτικόν, οὐ κοιμίζεται ἡ ὀξεῖα εἰς βαρεῖαν, οἷον 〈ex. gr. A 84〉 τὸν δ ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύ ς· τὸ γὰρ Ἀχιλλεύς οὐ κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν, ἐπειδὴ ἔχει ἐπιφερομένην τὴν στιγμήν· καὶ πάλιν ἐν τῷ 〈I 457〉 Ζεύς τε καταχθόνιος τὸ Ζεύς οὐ κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν, ἐπειδὴ ἔχει ἐπιφερόμενον ἐγκλιτικόν, λέγω δὴ τὸν τέ σύνδεσμον. Δεῖ δὲ γινώσκειν ὅτι ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον εὐγενέος εὐγενοῦς, πάϊς παῖς, Δημοσθενέων Δημοσθενῶν. Ἐκ τοῦ ἐναντίου δὲ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, ἐὰν μὴ τονικὸν κωλύσῃ παράγγελμα, οἷον ζωός ζώς, ἑσταώς ἑστώς, Κισσηΐς Κισσῄς· πρόσκειται «εἰ μὴ τονικὸν κωλύσει παράγγελμα» διὰ τὸ ἀδελφιδεός ἀδελφιδοῦς, θυγατριδεός θυγατριδοῦς· ταῦτα γὰρ δι' ἕτερον λόγον περιεσπάσθη τὸν λέγοντα, ὅτι τὰ εἰς ους ὀνόματα ἁπλᾶ μὲν ὄντα περισπῶνται, οἷον βοῦς πλοῦς ῥοῦς νοῦς, πλὴν τοῦ πούς καὶ ὀδούς, σύνθετα δὲ ὄντα βαρύνονται, οἷον σύννους εὔπλους. Ἰστέον δὲ ὅτι ἡ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται, οἷον Δημοσθένεος Δημοσθένους, τείχεα τείχη, βέλεα βέλη· τὸ γὰρ χάλκεος καὶ χρύσεος καὶ ἀργύρεος καὶ σιδήρεος, γινόμενα χαλκοῦς καὶ ἀργυροῦς καὶ σιδηροῦς καὶ χρυσοῦς, ἑτέρῳ λόγῳ περισπῶνται, οἷον τῷ λόγῳ τῶν εἰς ους ἁπλῶν, ὡς τὸ πλακοῦς Σιμοῦς ἀδελφιδοῦς θυγατριδοῦς· ἐν οἷς οὖν τὸ χαλκοῦς σιδηροῦς χρυσοῦς ἀργυροῦς ἁπλᾶ εἰσι, καὶ εὐλόγως περισπῶνται. Πορφυρίου περὶ προσῳδίας. Ἰστέον ὡς ὁ Θρᾷξ Διονύσιος, ὁ περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου διδάξας ἡμᾶς, καὶ ἔτι πρὸ τούτων περὶ στοιχείου καὶ συλλαβῆς καὶ λέξεως, οὐκ ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς προσῳδίας ἤρξατο, ἀλλ’ ἀπὸ τοῦ ὅρου τῆς γραμματικῆς· τὰ δὲ περὶ προσῳδίας ἕτερός τις, τούτου μεταγενέστερος, διὰ τοὺς ἄρτι τῆς γραμματικῆς ἀρχομένους ἀναγκαίως ἐδίδαξε.

129 Δεῖ οὖν ἡμᾶς μὴ ἀπὸ τῆς τοῦ Διονυσίου τεχνολογίας τῆς ἐξηγήσεως ἄρξασθαι, ἀλλ’ ἀπ’ αὐτῆς τῆς προσῳδίας· καὶ πρῶτον μὲν ἐκθεμένους τὸν ὅρον τῆς προσῳδίας διασαφῆσαι τοῦτον, εἶτα καὶ περὶ πάντων εἰπεῖν εἰς ἃ διαιρεῖται, τόνων τε καὶ χρόνων καὶ πνευμάτων, ἔτι δὲ καὶ παθῶν· μετὰ ταῦτα δὲ περὶ τέχνης καὶ τῶν ἑξῆς ὅλων. Ὁρίζονται οὖν τὴν προσῳδίαν οὕτως· «προσῳδία ἐστὶ ποιὰ τάσις ἐγγραμμάτου φωνῆς ὑγιοῦς, κατὰ τὸ ἐπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη μετά τινος τῶν συνεζευγμένων περὶ μίαν συλλαβήν, ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένη, ἤτοι κατὰ τὸν ἀναλογητικὸν ὅρον καὶ λόγον». Τοῦτον δὲ τὸν ὅρον Ἡρωδιανὸς ἐν τῷ περὶ καθολικῆς προσῳδίας ὡρίσατο. Ἰστέον δὲ ὅτι οἱ ὁρισμοὶ ἀπὸ γένους καὶ διαφορῶν συνεστήκασι.

130 Κἀνταῦθα γοῦν τὸ μὲν «τάσις» ἀντὶ γένους ἐστί—καὶ γὰρ καθολικόν τί ἐστιν ἡ τάσις καὶ κατὰ πλειόνων φέρεται· λέγεται γὰρ καὶ ἐπὶ χειρὸς καὶ ποδὸς καὶ ἄλλων μερῶν τε καὶ μορίων τοῦ σώματος καὶ ἐπ’ ἄλλων πολλῶν—· τὸ δὲ «ποιά» καὶ τὰ λοιπὰ διαφοραί. Ἡ γοῦν προσῳδία τάσις ἐστὶ φωνῆς ποιά, ἤγουν ποιότητά τινα ἔχουσα ἤχου· ἢ γὰρ ἐπιτεταμένη ἐστίν, ἢ ἀνειμένη, ἢ μέση. Ἐπειδὴ δὲ διττή ἐστιν ἡ φωνή—ἢ γὰρ ἔναρθρός ἐστιν ἤγουν ἐγγράμματος, ὡς ἡ ἐκ διανοίας ἀνθρωπίνης προβαλλομένη, ἢ ἄναρθρος, τουτέστι μὴ δυναμένη γραφῆναι, ὥσπερ ἡ τῶν ἀλόγων ζῴων καὶ ὁ ἦχος ὁ ἀπὸ σιδήρου ἢ ξύλου ἤ τινος τοιούτου γινόμενος· ἔστι δὲ καὶ τούτων ἑκατέρα διττή· ἢ γὰρ σημαντική ἐστιν ἢ ἀσήμαντος· καὶ ἄναρθρος μὲν σημαντικὴ ὡς ἡ τοῦ κυνὸς ὑλακή (σημαίνει γὰρ παρουσίαν τινὸς ἐπιδημήσαντος), ἄναρθρος δὲ ἀσήμαντος ὡς ὁ ἐκ λίθων ἦχος γινόμενος, ἔναρθρος δὲ ἀσήμαντος ὡς τὸ σκινδαψός (τοῦτο γὰρ ἀσήμαντόν ἐστιν, ἐπειδὴ οὐ τίθεται κατὰ πράγματος· οὐδὲ γὰρ ἔστι τι λεγόμενον σκινδαψός), ἔναρθρος δὲ σημαντικὴ ὡς ὕδωρ, θάλασσα καὶ ὅσαι κατὰ πραγμάτων φωναὶ τίθενται—ἐπειδὴ οὖν καὶ ἄναρθροί εἰσι φωναὶ τάσιν ἔχουσαι, ὡς αἱ ἀπὸ σιδήρων καὶ ξύλων, ἃς καὶ κυρίως οὐκ ἂν εἴποιμεν φωνάς, διὰ τοῦτο προσέθηκεν «ἐγγραμμάτου». Πάλιν δὲ ἐπεί, ὡς εἰρήκαμεν, εἰσὶ μὲν ἐγγράμματοι φωναί, οὐ δηλοῦσαι δέ τι, τούτου χάριν εἶπεν «ὑγιοῦς» ἤγουν σημαινούσης τι· ἐν πολλοῖς δὲ βιβλίοις εὑρίσκεται καὶ «ὑγιής», ἵνα πρὸς τὴν τάσιν ἀναφέρηται· ἡ γὰρ πεποιημένη, φησί, τάσις οὐχ ὡς ἔτυχεν ὀφείλει ἐκφέρεσθαι, ἀλλὰ πάντως ὑγιῶς καὶ ὀρθῶς. Ὅθεν σαφέστερον δηλῶν τίς ἐστιν ὑγιὴς τάσις ἐπήγαγε «κατὰ τὸ ἐπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη»· ἐκείνη γάρ ἐστι τάσις ὀρθή, ἥτις κατ’ ἐπαγγελίαν ἤγουν σημασίαν τῆς λέξεως ἐκφέρεται, οἷον τὸ ΑΓΝΟΣ εἰ μὲν σημαίνει τὸν καθαρόν, ὀξύνεται· εἰ δὲ σημαίνει τὴν βοτάνην, παροξύνεται· πάλιν τὸ ΑΡΓΟΣ εἰ μὲν σημαίνει τὸν ῥάθυμον, ὀξύνεται, εἰ δὲ βαρύνεται, σημαίνει ὄνομα τόπου καὶ κυνὸς καὶ ἀνδρός. Τὸ δὲ «μετά τινος τῶν συνεζευγμένων περὶ μίαν συλλαβήν» τοῦτο δηλοῖ, ὅτι οὔτε χρόνος χωρὶς τόνου εὑρίσκεται, οὔτε τόνος χωρὶς χρόνου· ἀλλ’ οὐδὲ πνεῦμα πάλιν αὐτὸ καθ’ ἑαυτὸ ἐκφέρεται τούτων ἄτερ, οἷον ἥλιος· ἰδοὺ γὰρ καὶ χρόνος μακρὸς τὸ η , καὶ μετὰ δασέος ἐξενήνεκται, καὶ ἐπάνω τῆς μακρᾶς ἐτέθη ἡ ὀξεῖα· εἰ γοῦν καὶ χωρὶς πνεύματος τόνος εὑρίσκεται, ὡς Πέτρος, ἀλλ’ οὐ 〈χωρὶς〉 χρόνου, ὥσπερ οὐδὲ χρόνος ἄνευ τόνου· ὡς γὰρ ἐροῦμεν προϊόντες, οὐκ ἦν συλλαβὴ μὴ ἐπιδεχομένη τόνον κατὰ τοὺς παλαιοὺς τῶν γραμματικῶν.

131 «Συνεζευγμένα» οὖν ὀνομάζει τούς τε τόνους καὶ τοὺς χρόνους, ἔτι δὲ καὶ τὰ πνεύματα, ὅτι ταῦτα πάντα καὶ τὸν τῆς προσῳδίας ὅρον ἐπιδέχονται καὶ προσῳδίαι καλοῦνται. Τὸ δὲ «ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένη, ἤτοι κατὰ τὸν ἀναλογητικὸν ὅρον» εἰπὼν τοὺς τρόπους διδάσκει, καθ’ οὓς αἱ προσῳδίαι ἐκφέρονται· ἢ γάρ, φησί, κατὰ διάλεκτον προάγονται, ἢ κατὰ ἀναλογίαν καὶ κανόνα. Οἷον τὸ μὲν ὁμοῖος κατὰ ἀναλογίαν ἐκφέρεται, διότι τὰ διὰ τοῦ οιος ἅπαντα προπερισπῶμεν, ἑτεροῖος γελοῖος ἀλλοῖος· διὰ τοῦτο καὶ Ὅμηρος τῇ ἀναλογίᾳ

χρησάμενος 〈ρ 218〉 ὡς αἰε ί, φησί, τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖο ν· οἱ δὲ Ἀττικοὶ ὅμοιος λέγουσι· πάλιν ἡμεῖς μὲν ἀναλόγως τρόπαιον λέγομεν, ὡς ἔλαιον σπήλαιον, ὁ δὲ Θουκυδίδης τροπαῖον ἀττικῶς· καὶ τὸ Ἀχιλλεύς δὲ καὶ τὸ Πηλεύς καὶ τὰ ὅμοια ἡμεῖς μὲν ὀξύνομεν, οἱ δὲ Αἰολεῖς βαρύνουσιν· οὕτω καὶ τὸ εἱρκτή οἱ μὲν Ἀττικοὶ δασύνουσιν, ἡμεῖς δὲ ψιλοῦμεν, καὶ τοῦ Ἀπόλλων ἡμεῖς μὲν ἀναλόγως τὸ α συστέλλομεν, οἱ δὲ Ἀττικοὶ ἐκτείνουσιν, ὡς τὸ 〈Α 36〉 Ἀπόλλωνι ἄνακτ ι , τὸν ἠύκομος τέκε Λητ ώ. Ἰστέον δὲ ὅτι οὐ τοὺς τόνους μόνον ὡρίσατο καὶ τούτους προσῳδίας ἐκάλεσεν, ὥς τισιν ἔδοξε πλανηθεῖσιν ἐκ τοῦ εἰπεῖν «ποιὰ τάσις», ἀλλὰ καὶ τοὺς χρόνους καὶ τὰ πνεύματα· καὶ γὰρ καὶ οἱ χρόνοι τάσιν ἔχουσι, καθὸ ὁ μὲν ἐκτείνεται, ὁ δὲ συστέλλεται· καὶ τὰ πνεύματα δέ, ἐπειδὴ τὸ μὲν ἐκ τοῦ θώρακος πρόεισιν ἐπιτεταμένως, τὸ δὲ ἐξ ἄκρων τῶν χειλέων συνεσταλμένως. Ἀλλὰ γὰρ ἐπεὶ τὸν τῆς προσῳδίας ὅρον ὡς οἷόν τε ἐξηγησάμεθα, φέρε δὴ καὶ εἰς πόσα διαιρεῖται ἡ προσῳδία εἴπωμεν. «Διαιρεῖται τοίνυν ἡ προσῳδία», φησίν, «εἰς τέσσαρα, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη». Ζητητέον, κατὰ ποῖον τρόπον τῆς διαιρέσεως διαιρεῖται ἡ προσῳδία εἰς τὰ τέσσαρα ταῦτα.

132 Ὀκταχῶς γὰρ γίνεται ἡ διαίρεσις· ἔστι γὰρ ἀπὸ γένους εἰς εἴδη, ὡς τὸ ζῷον εἰς ἄνθρωπον καὶ ἵππον, ἢ τὸ φυτὸν εἰς ἐλαίαν καὶ ἄμπελον· καὶ ἀπὸ εἴδους εἰς ἄτομα, ὡς ὁ ἄνθρωπος εἰς τοὺς κατὰ μέρος ἀνθρώπους, εἰς Σωκράτην καὶ Πλάτωνα. Καὶ ἀπὸ ὅλου εἰς μέρη, καὶ αὕτη διχῶς· ἢ γὰρ εἰς ὁμοιομερῆ γίνεται ἡ διαίρεσις, ἢ εἰς ἀνομοιομερῆ· καὶ εἰς ὁμοιομερῆ μὲν τέμνεται τὸ ὅλον, ὅταν καὶ τοῦ ὀνόματος τοῦ ὅλου καὶ ἀλλήλων μετέχωσι τὰ μέρη καὶ τοῦ ὁρισμοῦ, οἷον ὁ μέγας λίθος τέμνεται εἰς μικρὰ λιθίδια, ἅτινα καὶ τὸ ὄνομα τοῦ ὅλου λίθου καὶ ἀλλήλων ἔχει καὶ τὸν ὁρισμόν· καὶ πάλιν ὅταν τὴν 〈μεγάλην〉 φλέβα τέμῃς εἰς μικρὰς φλέβας· καὶ γὰρ ἑκάστη τούτων ὁμωνύμως τῷ ὅλῳ φλὲψ λέγεται· εἰς ἀνομοιομερῆ δέ, ὡς ὅταν τὴν κεφαλὴν διέλωμεν εἰς ὦτα, ῥῖνα, ὀφθαλμούς· ταῦτα γὰρ οὔτε τῷ ὅλῳ ὁμωνύμως λέγομεν (οὔτε γὰρ τὰ ὦτα λέγεται κεφαλή, οὔτε ἡ ῥίν, οὔτε οἱ ὀφθαλμοί), οὔτε δὲ ἀλλήλοις ὁμωνύμως λέγεται (οὔτε γὰρ τὸ οὖς λέγεται ῥίν, οὔτε ἡ ῥὶν ὀφθαλμός), οὔτε τὸν αὐτὸν ὁρισμὸν τοῦ ὅλου ἢ ἀλλήλων ἐπιδέχεται. Ἀπὸ ὁμωνύμου δὲ φωνῆς εἰς διάφορα σημαινόμενα, ὡς ὅταν ἡ κύων φωνὴ διαιρῆται εἴς τε τὸν θαλάττιον κύνα καὶ τὸν χερσαῖον καὶ τὸν ἀστρῷον. Ἀπὸ οὐσίας δὲ εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν ὅτι τῶν ἀνθρώπων οἱ μὲν λευκοί, οἱ δὲ μέλανες· ἐνταῦθα γὰρ εἰς τὸ λευκὸν καὶ τὸ μέλαν, ἅτινα συμβεβηκότα εἰσίν, ἐγένετο ἡ διαίρεσις. Ἀπὸ συμβεβηκότος δὲ εἰς οὐσίας, ὡς ὅταν εἴπωμεν ὅτι τοῦ λευκοῦ τὸ μέν ἐστι χιών, τὸ δὲ ψιμύθιον, τὸ δὲ κύκνος· ἀπὸ γὰρ τοῦ λευκοῦ τὸ ὅπερ ἐστὶ συμβεβηκός, ἐγένετο ἡ διαίρεσις εἰς χιόνα καὶ κύκνον καὶ ψιμύθιον, ἅτινα οὐσίαι εἰσίν. Ἀπὸ συμβεβηκότος δὲ εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν ὅτι τῶν λευκῶν τὰ μέν ἐστι θερμά, τὰ δὲ ψυχρά, καὶ θερμὰ μὲν ὡς ἐπὶ τῆς ἀσβέστου, ψυχρὰ δὲ ὡς ἐπὶ τῆς χιόνος· ἰδοὺ γὰρ ἐνταῦθα ἀπὸ τοῦ λευκοῦ, ὅπερ ἐστὶ συμβεβηκός, ἐγένετο ἡ διαίρεσις εἰς θερμὸν καὶ ψυχρόν, ἅτινα καὶ αὐτὰ συμβεβηκός, ἐγένετο ἡ διαίρεσις εἰς καὶ πρὸς ἕν, ὡς ὅταν ἀπὸ τῆς ἰατρικῆς εἴπωμεν ἰατρικὸν βιβλίον, ἰατρικὸν φάρμακον, ἰατρικὴ ἔμπλαστρος· πρὸς ἓν γὰρ πρᾶγμα, τὴν ὑγίειαν, ἀφορῶντες αὐτὰ ὀνομάζομεν. Ὀκταχῶς οὖν γινομένης τῆς διαιρέσεως, ζητητέον, κατὰ ποῖον τρόπον γίνεται τῆς προσῳδίας ἡ διαίρεσις ἡ εἰς τόνους, εἰς χρόνους καὶ τὰ λοιπά. Τινὲς μὲν οὖν λέγουσιν, ὅτι ἀπὸ ὁμωνύμου φωνῆς ἐστιν ἡ διαίρεσις εἰς διάφορα σημαινόμενα. Οὐ καλῶς δὲ λέγουσι, διότι ἐπὶ τῶν ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα διαιρουμένων οὐχ εὑρίσκεταί τι κοινόν, οὗ τὸν ὁρισμὸν ἐπιδέξονται πάντα· οἷον ὁ ἀστρῷος κύων οὐκ ἐπιδέξεται τοῦ ζῴου τὸν ὁρισμόν· ἐνταῦθα δὲ καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα καὶ οἱ τόνοι ἐπιδέχονται τὸν ὁρισμὸν τῆς προσῳδίας, πλὴν τῶν παθῶν, ἅτινα οὐδὲ κυρίως προσῳδίαι εἰσίν, ὡς προϊόντες δείξομεν.

133 Ἕτεροι δὲ πάλιν φασὶν ὅτι ἀπὸ ὅλου γέγονεν εἰς μέρη ὁμοιομερῆ ἡ διαίρεσις, ἐπεὶ καὶ τὸν ὁρισμὸν τοῦ ὅλου ἐπιδέχονται καὶ τὸ ὄνομα· καὶ γὰρ προσῳδίαι καλοῦνται καὶ οἱ τόνοι καὶ οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρόνοι καὶ τὰ πνεύματα, καὶ τῆς προσῳδίας τὸν ὅρον ἐπιδέχονται. Ἀλλὰ καὶ οὗτοι οὐ πιθανῶς λέγουσι, διότι πάντα τὰ ἀπὸ ὅλων εἰς μέρη ὁμοιομερῆ διαιρούμενα οὐ μόνον τοῦ ὅλου τὸν ὁρισμὸν καὶ τὸ ὄνομα ἐπιδέχονται, ἀλλὰ καὶ ἀλλήλων· ἐνταῦθα δὲ οἱ τόνοι οὐ καλοῦνται χρόνοι, οὐδὲ οἱ χρόνοι τόνοι· οὐδὲ τὸν ὁρισμὸν ἀλλήλων ἐπιδέχονται. Ἀλλ' οὐδὲ εἰς ἀνομοιομερῆ μέρη ἐστὶν ἡ διαίρεσις, διότι τὰ ἀνομοιομερῆ οὔτε ἀλλήλοις οὔτε τῷ ὅλῳ ὁμωνύμως λέγονται, ἀλλ' οὐδὲ τὸν ὁρισμὸν ἐπιδέχονται τοῦ ὅλου· οἷον ἡ χεὶρ οὐκ ἂν κληθείη ἄνθρωπος, οὐδὲ τὸν ὁρισμὸν τοῦ ἀνθρώπου δέξεται. Ἔτι δὲ οὐδὲ ὡς γένος εἰς εἴδη διαιρεῖται ἡ προσῳδία εἰς τόνους καὶ τὰ λοιπά· εἰ γὰρ καὶ τὸν ὁρισμὸν ἐπιδέχονται καὶ τὸ ὄνομα τῆς προσῳδίας οἱ τόνοι τε καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα, ὥσπερ τὰ εἴδη τοῦ γένους, ἀλλ' ἐπειδὴ τὰ εἴδη ὁλόκληρόν τι ἀποτελοῦσιν—οἷον ὁ ἐπιστάμενος ἓν μόνον εἶδος τῆς ῥητορικῆς, τουτέστι τὸ δικανικὸν μόνον ἢ τὸ συμβουλευτικὸν ἢ τὸ πανηγυρικόν, τέλειος ῥήτωρ ἐστίν, ὡς ὁ Γοργίας τὸ δικανικὸν μόνον εἰδώς, ὡς λέγουσιν—, ἐνταῦθα δὲ ὁ ἐπιστάμενος τοὺς τόνους μόνους ἀκριβῶς, οὐχὶ καὶ τοὺς χρόνους καὶ τὰ πνεύματα, οὐκ ἔστι τέλειος γραμματικός, εὔδηλον ὅτι οὐδὲ ἀπὸ γένους ἐστὶν εἰς εἴδη ἐνταῦθα ἡ διαίρεσις. Ἠλέγχθησαν οὖν οἱ τρεῖς τρόποι οὗτοι τῆς διαιρέσεως μὴ ἐφαρμόζοντες ἐνταυθοῖ· οἱ γὰρ λοιποὶ πέντε τρόποι τῆς διαιρέσεως πάντῃ ἀπᾴδουσιν, ἄλλως τε οὐδὲ εἰσὶ κυρίως τρόποι διαιρετικοί. Οὐ δύναται γὰρ ἀπὸ εἰδῶν εἰς ἄτομα γίνεσθαι διαίρεσις, ἐπειδὴ τὰ ἄτομα ἄπειρά εἰσι· καὶ γὰρ οἱ κατὰ μέρος ἄνθρωποι ἄπειροί εἰσι καὶ ἀπερίληπτοι, ἄπειροι δὲ ὄντες καὶ ἀπερίληπτοι οὐ δύνανται διαιρέσει καθυποβληθῆναι· ἐν ὅσῳ γὰρ θέλει τις διαιρέσει τοὺς ἐν τῇδε τῇ πόλει καθυποβάλλειν ἀνθρώπους, οἱ μὲν γεννῶνται, οἱ δὲ φθείρονται, καὶ οὐδέποτε τοῦ τέλους ἐφικνεῖται.

134 Ἀλλ' οὔτε δὲ ἀπὸ συμβεβηκότος εἰς οὐσίας γίνεται διαίρεσις· τὸ γὰρ λέγειν ὅτι τοῦ λευκοῦ τὸ μέν ἐστι κύκνος, τὸ δὲ ψιμύθιον, τὸ δὲ χιών, οὐκ ἔστι διαίρεσις συμβεβηκότος εἰς οὐσίας· οὐδὲ γὰρ τὸ λευκὸν τὸ καθ' αὑτὸ θεωρούμενον διεῖλον, ἀλλὰ τὸ σῶμα τὸ λευκόν, ὅπερ ἐστὶν οὐσία· οὐδὲ γὰρ δύναμαι τὴν λευκότητα διελεῖν εἰς ψιμύθιον καὶ κύκνον καὶ χιόνα, ἐπειδὴ ἡ λευκότης συμβεβηκός ἐστι, ταῦτα δὲ οὐσίαι εἰσίν, οὐ δύναται δὲ τὸ συμβεβηκὸς εἰς οὐσίας διαιρεῖσθαι· καὶ γὰρ τὸ διαιρούμενον εἰς ὅμοια θέλει διαιρεῖσθαι, οὐκ εἰς ἀνόμοια· οἷον τὸ ζῷον εἰς ζῷα διαιρεῖται, οὐ μὴν εἰς μὴ ζῷα, καὶ τὸ λογικὸν εἰς λογικά, οὐ μὴν εἰς ἄλογα, καὶ τὸ θνητὸν εἰς θνητά, οὐ μὴν εἰς ἀθάνατα· πῶς οὖν τὸ συμβεβηκὸς εἰς οὐσίας δύναται διαιρεῖσθαι; Ἀλλ' οὔτε δὲ ἀπὸ οὐσίας εἰς συμβεβηκότα γίνεται διαίρεσις· τὸ γὰρ λέγειν ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσι λευκοί, οἱ δὲ μέλανες, οὐκ ἔστι διαίρεσις ἀπὸ οὐσίας εἰς συμβεβηκότα, ἀλλ' ἀπὸ οὐσίας εἰς οὐσίας ἐχούσας συμβεβηκότα· εἰς γὰρ ἀνθρώπους μέλανας καὶ λευκοὺς ἐγένετο ἡ διαίρεσις, οἵτινες οὐσίαι εἰσίν. Ἀλλ' οὔτε δὲ ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα γίνεται διαίρεσις· ἢ γὰρ ἀπὸ γένους εἰς εἴδη γίνεται ἡ διαίρεσις, ὡς ὅταν εἴπωμεν ὅτι τὸ χρῶμα διαιρεῖται [εἰς εἴδη] εἰς λευκὸν καὶ μέλαν· τὸ δὲ τοιοῦτον ἀνάγεται ὑπὸ τὸν διαιρετικὸν τρόπον τὸν ἀπὸ γένους εἰς εἴδη, ἢ ἀπὸ οὐσίας εἰς οὐσίας, καὶ οὐκέτι ὡς ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα γίνεται ἡ διαίρεσις· τὸ γὰρ λέγειν ὅτι τῶν λευκῶν τὰ μὲν θερμά εἰσι, τὰ δὲ ψυχρά, ἀπὸ οὐσίας εἰς οὐσίας διαίρεσίς ἐστι· τὸ γὰρ σῶμα τὸ λευκόν, ὅπερ οὐσία ἐστί, διεῖλον εἰς σῶμα θερμὸν καὶ ψυχρόν, καὶ αὐτὰ δὲ οὐσίαι εἰσίν· οὐδὲ γὰρ δυνατὸν τὸ λευκὸν καθ' ἑαυτὸ θεωρούμενον, ἤγουν τὴν λευκότητα, διελεῖν εἰς σῶμα θερμὸν καὶ ψυχρόν, ἐπειδὴ τὸ λευκὸν καθ' ἑαυτὸ θεωρούμενον οὔτε θερμόν ἐστιν οὔτε ψυχρόν. Ἀλλ' οὔτε δὲ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν ἐστι διαίρεσις, ἀλλ' ἀπαρίθμησις· τὰ γὰρ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ἀόριστα καὶ ἀπερίληπτά εἰσι· δυνατὸν γὰρ εἰπεῖν ἰατρικὸν βιβλίον, ἰατρικὴ δίαιτα, ἰατρικὴ ἔμπλαστρος, ἰατρικὸς οἶνος, ἰατρικὸν ἔλαιον καὶ ἄλλα ἄπειρα· καὶ πάλιν ὑγιεινὸς οἶνος, ὑγιεινὴ δίαιτα, ὑγιεινὸν βιβλίον· ἄπειρα δὲ καὶ ἀπερίληπτα ὄντα πῶς δύνανται διαιρέσει καθυποβληθῆναι· Ὥστε οὖν κυρίως τρεῖς τρόποι εἰσὶ μόνοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαιρετικοί, ὁ ἀπὸ γένους εἰς εἴδη, ὁ ἀπὸ ὅλου εἰς μέρη, ὁ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα.

135 Τούτων οὕτως ἐχόντων, καὶ ὑπ' οὐδεμίαν διαίρεσιν ἀναγομένης τῆς προσῳδίας, λέγει ὁ Φιλόπονος, ὃς καὶ περὶ τῆς προσῳδίας διαλαμβάνει ἐν ἰδίῳ βιβλίῳ, ὡς οὐκ ἔστιν αὕτη διαίρεσις ἀλλ' ὑποδιαίρεσις· διαίρεσις γάρ ἐστι τῆς γραμματικῆς, ὡς ὅλου εἰς μέρη, εἰς ταῦτα τὰ τέσσαρα, τὸ ἀναγνωστικόν, τὸ ἐξηγητικόν, τὸ διορθωτικόν, τὸ κριτικόν· πάλιν τὸ ἀναγνωστικὸν ἐπιδιαιρεῖται εἰς ὑπόκρισιν, προσῳδίαν καὶ διαστολήν, ὡς αὐτὸς ὁ Διονύσιος διδάσκει, λέγων 〈p. 6, 6 Uhl〉 «ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν»· ἡ δὲ προσῳδία πάλιν ὑποδιαιρεῖται εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη. Χρὴ δὲ γινώσκειν ὅτι τὰ πάθη οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἀλλὰ καταχρηστικῶς. Πρῶτον μὲν γὰρ αἱ ἑπτὰ προσῳδίαι ἐπάνω φωνηέντων τίθενται, τῶν δὲ τριῶν τούτων ἡ μὲν μία, 〈ἡ〉 ἀπόστροφος, ἐπάνω συμφώνου τίθεται, οἷον ἐπ' ἐμοῦ, οὐχ' οὕτως· ἐπάνω γὰρ τίθεται τοῦ συμφώνου τοῦ ὄντος τελευταίου τῆς λέξεως, δηλοῦσα ὡς ὧδε πάθος τι γέγονε καὶ φωνῆεν ἦν μετὰ τούτου τοῦ συμφώνου καὶ ἀπεστράφη· ἡ δὲ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ ὑποκάτω τίθενται, οἷον φιλόθεος ἔστι, νοῦς· καὶ ἐπὶ μὲν τοῦ φιλόθεος τίθεται ἡ ὑφὲν ὑποκάτω δηλοῦσα τὴν ἕνωσιν, ἀρχομένη μὲν ἀπὸ τοῦ τελευταίου φωνήεντος τῆς πρώτης λέξεως καὶ τὴν μετὰ ταῦτα λέξιν ὁμοῦ συμπεριλαμβάνουσα· ἐπὶ δὲ τοῦ ΕΣΤΙΝΟΥΣ εἰ μὲν βούλει εἰπεῖν «ὑπάρχει ὠτίον», τίθης τὴν ὑποδιαστολὴν ὑποκάτω τοῦ ου , εἰ δὲ ἀντὶ τοῦ «ὑπάρχει νοῦς», ὑποκάτω τοῦ ἐστί· προϊόντες δὲ πλατύτερον περὶ τούτων ἐροῦμεν. Εἶτα τὰ μὲν τρία ταῦτα οὐκ ἐγένοντο ἀπὸ στοιχείων, αἱ δὲ ἑπτὰ προσῳδίαι ἀπὸ στοιχείων τὴν γένεσιν ἔχουσιν· ἡ μὲν γὰρ ὀξεῖα καὶ βαρεῖα ἀπὸ τοῦ Λ στοιχείου, ἡ δὲ περισπωμένη καὶ ἡ μακρὰ καὶ ἡ βραχεῖα ἀπὸ τοῦ Θ, ἡ δὲ δασεῖα καὶ ἡ ψιλὴ ἀπὸ τοῦ Η· ἔτι οὐδὲ ὁ ὅρος τῆς προσῳδίας ἐφαρμόζει τοῖς πάθεσι. Πῶς οὖν καλοῦνται προσῳδίαι τὰ πάθη; Ὁμωνύμως λέγονται, καὶ οὐ συνωνύμως· ὁμώνυμα γὰρ λέγονται ἐκεῖνα, ὧν τὸ ὄνομα μόνον κοινόν ἐστιν, ὁ δὲ ὁρισμὸς διάφορος, ὥσπερ ὁ ἄνθρωπος ὁ ζῶν καὶ ὁ γεγραμμένος· τὸ μὲν γὰρ ὄνομα τοῦ ζῶντος ἔχει 〈καὶ〉 ὁ ἐπὶ τοίχου γραφεὶς ἄνθρωπος, οὐ μέντοι καὶ ζῷόν ἐστι λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἐπεὶ γοῦν πρὸς τὰ πάθη ᾄδονται αἱ φωναί, ἤγουν κατὰ τὰ πάθη, διὰ τοῦτο καλοῦνται προσῳδίαι.

136 Οἷον τί φημι; οὐ λέγω «οὐχὶ οὕτως», ἀλλὰ βλέπων τὴν ἀπόστροφον λέγω «οὐχ' οὕτως»· καὶ πάλιν τὸ ΧΕΙΡΙΣΟΦΟΣ οὐ λέγω χειρὶ σοφός, ἀλλὰ βλέπων τὴν ὑφὲν ἀναγινώσκω Χειρίσοφος· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ΕΣΤΙΝ, ΑΞΙΟΣ πείθει με ἡ ὑποδιαστολὴ ὑποκάτω τοῦ ν κειμένη ἄξιος ἀναγινώσκειν καὶ μὴ Νάξιος. Ὥστε κατὰ τὴν ἐτυμολογίαν μόνον λέγονται τὰ πάθη προσῳδίαι, οὐχὶ κατὰ τὸν ὅρον· διὰ γὰρ τὸ πρὸς αὐτὰ ᾄδεσθαι τὰς φωνὰς εἴρηνται καὶ αὐτὰ προσῳδίαι. «Τόνοι μὲν οὖν εἰσι τρεῖς, ὀξύς, βαρύς, περισπώμενος». Τῆς προσῳδίας ὑποδιαιρέσεις εἰσὶ τέσσαρες· πάλιν ἕκαστον τῶν τεσσάρων ὑποδιαιρεῖται, οἱ μὲν τόνοι καὶ τὰ πάθη εἰς τρία, τὰ δὲ πνεύματα καὶ οἱ χρόνοι εἰς δύο. Τόνος οὖν ἐστιν ἐπίτασις ἢ ἄνεσις ἢ μεσότης συλλαβῶν, εὐφωνίαν ἔχουσα· τὸ μὲν οὖν ἐπίτασις ἐτέθη ἐν τῷ ὁρισμῷ διὰ τὴν ὀξεῖαν, τὸ δὲ ἄνεσις διὰ τὴν βαρεῖαν, τὸ δὲ μεσότης διὰ τὴν περισπωμένην. Καὶ ἔστι πάλιν ἡ μὲν ὀξεῖα ποιότης συλλαβῆς ἐπιτεταμένον ἔχουσα φθόγγον, ἡ δὲ βαρεῖα ποιότης συλλαβῆς ἀνειμένον ἔχουσα φθόγγον, ἡ δὲ περισπωμένη ποιότης συλλαβῆς συνημμένον ἢ κεκλασμένον ἔχουσα φθόγγον· εἶπε δὲ συνημμένον τὸν μετέχοντα καὶ ὀξείας καὶ βαρείας, κεκλασμένον δὲ τὸν ἀπὸ τοῦ ὀξέος ἐπὶ τὸ βαρὺ ῥέποντα. Ἔστιν οὖν ἐπὶ τῶν τριῶν τόνων τὸ μὲν ποιότης συλλαβῆς ἀντὶ γένους, τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν ἰδίων· ἀρκεῖν γάρ φησιν ὁ Ἀριστοτέλης 〈cfr 132 a, 10—21〉 καὶ μίαν διαφοράν, τὴν τῷ ὁριστῷ μόνῳ ἁρμόζουσαν· οἷον ἐὰν εἴπῃ τις «ἄνθρωπός ἐστι ζῷον νοῦ καὶ ἐπιστήμης δεκτικόν», ἀρκούντως ὡρίσατο. Διὰ τί; ὅτι ἡ διαφορὰ αὕτη, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἑνὶ μόνῳ ἁρμόζει τῷ ἀνθρώπῳ. Ὁ δὲ Κοϊντιλιανὸς Ἀριστείδης ἐν τῷ περὶ μουσικῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρώτῳ δύο εἶναί φησιν εἴδη τάσεως, ἄνεσίν τε καὶ ἐπίτασιν· καὶ ἄνεσιν μὲν εἶναι λέγει, ἡνίκα ἂν ἀπὸ ὀξυτέρου τόνου ἐπὶ βαρύτερον ἡ φωνὴ χωρῇ, ἐπίτασιν δέ, ὅταν ἐκ βαρυτέρου μεταβαίνῃ πρὸς ὀξύτερον. Ἐκ δὴ τούτων τὰ γινόμενα τὸ μὲν βαρύτονον, τὸ δὲ ὀξύτονον προσαγορεύομεν· γίνεται δὲ ἡ μὲν βαρύτης κάτωθεν ἀναφερομένου τοῦ πνεύματος, ἡ δ’ ὀξύτης ἐπιπολῆς προϊεμένου, ὡς οἱ μουσικοί φασιν.

137 «Ἡ ὀξεῖα τόπους ἔχει τρεῖς, ὀξύτονον, παροξύτονον καὶ προπαροξύτονον». Τὴν ὀξεῖάν φησι τίθεσθαι ἐπὶ τριῶν συλλαβῶν, ἐπὶ τῆς τελευταίας, ἐπὶ τῆς παρατελεύτου καὶ ἐπὶ τῆς πρὸ δύο συλλαβῶν. Καὶ ὅταν μὲν τιθῆται ἐπὶ τέλους, τότε λέγομεν ὀξύνεσθαι τὴν λέξιν· ὅταν δὲ ἐπὶ τῆς πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους, παροξύτονον ἅμα λέγομεν τὴν λέξιν καὶ βαρύτονον· καὶ παροξύτονον μὲν ὅτι ἐπὶ τῆς παραληγούσης τίθεται ἡ ὀξεῖα, βαρύτονον δὲ ὅτι ἐπὶ τέλους τίθεται ἡ βαρεῖα. Ὥσπερ γὰρ ὀξύτονον λέγομεν τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν, οὕτω καὶ βαρύτονον τὸ ἐπὶ τέλους ἔχον τὴν βαρεῖαν· καὶ γὰρ μετὰ τὴν ὀξεῖαν τὴν πρὸ τοῦ τέλους τιθεμένην ἐτίθετο 〈ἡ〉 βαρεῖα· οἷον τὸ Αἴας καλεῖται καὶ παροξύτονον καὶ βαρύτονον, παροξύτονον μέν, διότι πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους τίθεται ἡ ὀξεῖα, βαρύτονον δέ, διότι ἐπὶ τέλους τίθεται ἡ βαρεῖα. Εἰ δὲ πρὸ δύο συλλαβῶν τοῦ τέλους τεθείη ἡ ὀξεῖα, τότε ἡ λέξις λέγεται καὶ προπαροξύτονος καὶ βαρύτονος παρατέλευτος· καὶ προπαροξύτονος μέν, διότι ἐπὶ τῆς προπαραληγούσης ἐδέξατο τὸν τόνον, παρατέλευτος δὲ βαρύτονος, διότι οὐ μόνον εἰς τὴν τελευταίαν συλλαβὴν ἐτέθη ἡ βαρεῖα, ἀλλὰ καὶ εἰς τὴν παρατελευταίαν, οἷον Θεόδὼρὸς· οὐ μόνον γὰρ ἐνταῦθα τὸ ρος ἔσχε τὴν βαρεῖαν, ἀλλὰ καὶ τὸ δω , ὡς προϊόντες διδάξομεν· διὰ τοῦτο καὶ ἡ τοιαύτη λέξις βαρύτονος παρατέλευτος ἐκαλεῖτο, ὡς ἐπὶ τῆς παραληγούσης κειμένης τῆς βαρείας. Οὗτοι μὲν οὖν εἰσιν οἱ τρεῖς τῆς ὀξείας τόποι. Ἀπορήσειε δ’ ἄν τις, διὰ τί μὴ ἔστι τάσις πρὸ τριῶν συλλαβῶν. Λέγομεν οὖν πρῶτον μέν, ὅτι ἀδύνατόν ἐστιν ἐκταθῆναι τὴν φωνὴν πέραν τοῦ τοιούτου μέτρου, ἤτοι πρὸ τριῶν συλλαβῶν ὀξυνθῆναι· ἔπειτα οὐδὲ λέξις Ἑλληνικὴ θεματικὴ ἁπλῆ πρωτότυπος ὑπερβαίνει ποτὲ τὴν τρισυλλαβίαν. Καὶ «Ἑλληνική» μὲν εἴρηται διὰ τὰ Ἑβραϊκά, οἷον Ἰωάννης· «θεματική» δὲ διὰ τὸ ἐφίλησα· «ἁπλῆ» δὲ διὰ τὸ Μενέλαος Θεόδωρος· «πρωτότυπος» δὲ διὰ τὸ Γεώργιος· ἀπὸ γὰρ τοῦ γεωργῶ παράγεται· μηδέποτε γοῦν τετρασυλλάβου λέξεως εὑρισκομένης τοιαύτης, πῶς ἔμελλε γενέσθαι τάσις πρὸ τριῶν συλλαβῶν; Ζητητέον δὲ καὶ τοῦτο, διὰ τί μακρᾶς οὔσης ἐπὶ τέλους οὐ δύναται προπαροξυνθῆναι λέξις. Ὅτι ἡ μακρὰ φορτίου τάξιν ἔχει καὶ βάρους· ὁ γάρ τοι τῆς μακρᾶς φθόγγος δυσκίνητός ἐστιν, ὁ δὲ τῆς βραχείας εὐσταλής· ὥσπερ οὖν οἱ τὰ φορτία ἐν τοῖς ποσὶ περικείμενοι οὐ δύνανται ταθῆναι εἰς δρόμον, εἰ δὲ ἐπὶ τοῦ ὤμου βαστάζουσί τι δύνανται τρέχειν, οὕτω καὶ ἡ φωνὴ οὐ δύναται ταθῆναι ἐπὶ πολύ, τῆς μακρᾶς κειμένης ἐπὶ τέλους· εἰ δὲ ἐν ἄλλῃ συλλαβῇ κεῖται, τότε προπαροξύνεται.

138 «Ἡ περισπωμένη τόπους ἔχει δύο, περισπώμενον καὶ προπερισπώμενον». Δύο τόπους φησὶν εἶναι τῆς περισπωμένης· ζητητέον δέ, διὰ τί μὴ καὶ αὐτῆς τρεῖς εἰσι τόποι, ὥσπερ καὶ τῆς ὀξείας. Ἔστιν οὖν εἰπεῖν ὅτι τούτου χάριν οὐ δύναται ἡ περισπωμένη πρὸ δύο συλλαβῶν τεθῆναι, ἐπειδὴ ἀπὸ κράσεώς ἐστιν ὀξείας καὶ βαρείας· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα συνελθοῦσαι ἀπετέλεσαν τὴν περισπωμένην· ἐπεὶ οὖν οὐχ εὑρίσκεται ἡ ὀξεῖα πρὸ τριῶν, τούτου χάριν οὐδὲ αὐτὴ πρὸ δύο· οἷον Γεώργιος· εἰ καθ’ ὑπόθεσιν ἐτίθετο εἰς τὸ ωρ ἡ περισπωμένη, ἔμφασις ἂν ἦν ὅτι καὶ πρὸ τριῶν συλλαβῶν τίθεται ἡ ὀξεῖα· εἰ γὰρ καὶ μὴ πᾶσα συλλαβὴ ἔχουσα τὴν περισπωμένην ἀπὸ κράσεώς ἐστιν, ἀλλ’ οὖν αὐτὴ ἡ περισπωμένη δύναμιν ἔχει ὀξείας καὶ βαρείας, ὥστε εἰ ἐτίθετο πρὸ δύο συλλαβῶν, δυνάμει πάλιν ηὑρίσκετο ἡ ὀξεῖα πρὸ τριῶν. Ἰστέον δὲ ὅτι σύνθετον λέγουσι τὴν περισπωμένην, ἐπειδὴ ἡ συλλαβὴ ἡ ἔχουσα αὐτὴν πολλάκις διάλυσιν πάσχει, οἷον πυλῶν πυλάων, Ἑρμῆς Ἑρμέης, Θαλῆς Θαλέης. Κακῶς δὲ λέγουσι, πρῶτον μὲν ὅτι κατὰ τοῦτον τὸν λόγον ὀφείλει καὶ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα σύνθετος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλεῖσθαι, ἐπειδὴ πολλάκις καὶ τούτων ἐν συλλαβαῖς οὐσῶν γίνεται διαίρεσις, οἷον Ἀτρείδου Ἀτρεΐδεω, Πηλείδης Πηλεΐδης, χρήζω χρηΐζω· δεύτερον δὲ ὅτι οὐ πᾶσα συλλαβὴ ἔχουσα περισπωμένην διάλυσιν πάσχει· ἰδοὺ γὰρ τὸ κερῶ καὶ τὸ τιλῶ οὐ πάσχει διάλυσιν. Ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο ἡ περισπωμένη σύνθετος λέγεται, ἐπειδὴ ἐκ δύο τόνων σύγκειται, ἐξ ὀξείας καὶ βαρείας, ἢ διότι ἀεὶ ἐπάνω φύσει μακρᾶς τίθεται, ἥτις σύνθετος χρόνος λέγεται· πᾶσα γὰρ φύσει μακρὰ ἀντὶ δύο χρόνων παραλαμβάνεται· ὅθεν καὶ τὸ λέων τρίχρονον λέγομεν, τὴν βραχεῖαν ἀντὶ ἑνὸς χρόνου παραλαμβάνοντες, καὶ τὴν μακρὰν ἀντὶ δύο. Ζητητέον δέ, διὰ τί μὴ καὶ ἐπὶ βραχείας τίθεται ἡ περισπωμένη. Ῥητέον οὖν ὅτι ἐκ δύο τόνων ἡ περισπωμένη σύγκειται· πῶς οὖν ἡ βραχεῖα, ἀσθενὴς οὖσα, ἤνεγκεν ἂν τὴν τῶν δύο τόνων δύναμιν; Προσῆκον δέ ἐστι καὶ τοῦτο ζητῆσαι, πῶς μακρὰ μὲν πρὸ μακρᾶς οὐ περισπᾶται, μακρὰ δὲ πρὸ βραχείας περισπᾶται.

139 Ἔστιν οὖν εἰπεῖν ὅτι, ὥσπερ ἄν τις ἐφ' ὁμαλοῦ πεδίου σταθεὶς καὶ τὸ τόξον τείνας, κατ' εὐθεῖαν καὶ ἰσότητα τὸ βέλος ἀφίησιν, ἐὰν δὲ ἀπὸ ἀνωμάλου καὶ ὑψηλοῦ μέλλῃ τὸν ὀιστὸν ἀφιέναι ἐπὶ τὰ χθαμαλώτερα, περικεκλασμένην καὶ τὴν τάσιν ποιεῖται καὶ οἷον ὁρῶσαν ἐπὶ τὸ κάταντες, οὕτω καὶ ὅταν μὲν ἀπὸ μακρᾶς μακρὰ συλλαβὴ διαδέχηται, ἐν ὁμαλότητι οὔσης τῆς φωνῆς, καὶ ἡ τάσις ταύτης κατ' εὐθεῖαν γίνεται· ἐὰν δὲ μετὰ μακρὰν βραχεῖα ἕπηται συλλαβή, ἀνωμάλου τῆς φωνῆς εὑρισκομένης καὶ ὥσπερ ἐπὶ τὸ ταπεινότερον νευούσης, καὶ ὁ ταύτης φθόγγος περικεκλασμένος εὑρίσκεται. «Ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστί, τουτέστιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον τίθεται». Ἐξηγούμενος [ὥσπερ] ὁ περὶ τῶν προσῳδιῶν τὸν λόγον ποιούμενος, διὰ τί ἐλέγετο παρὰ τοῖς ἀρχαίοις συλλαβικὸς τόνος ἡ βαρεῖα, φησὶν ὅτι ἐπὶ πάσης συλλαβῆς ἐτίθετο τῆς μὴ ἐχούσης τὴν ὀξεῖαν. Ἦν γὰρ κανὼν ὁ λέγων ὅτι πᾶσα συλλαβὴ χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον βαρεῖαν ἐπιδέχεται· οἷον Θὲόδὼρὸς· τὸ θε καὶ τὸ δω καὶ τὸ ρος βαρεῖαν ἐπιδέχονται· τὸ γὰρ ο τὸν κύριον τόνον εἶχε· κύριος δὲ τόνος καλεῖται ἡ ὀξεῖα, ὅτι ἐπιτείνει τὴν φωνήν. Καὶ πόθεν δῆλον; ὅτι πᾶσαι αἱ ἄλλαι συλλαβαί, αἱ μὴ ἔχουσαι τὴν ὀξεῖαν, ἄνεσιν ἔχουσιν. Εἶτα τὴν αἰτίαν ἀποδιδούς, δι' ἣν οὐ τίθεται νῦν ἐπὶ πάσης συλλαβῆς ἡ βαρεῖα, φησὶν «ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία, τοῦτο νῦν οὐ γίνεται». Ἐπιλαμβάνονται δὲ πολλοὶ τοῦ τεχνικοῦ καί φασιν ὅτι οὐκ εὔλογα δοκεῖ λέγειν· κατὰ γὰρ τοῦτον τὸν λόγον καὶ ὁ εὑρὼν ἐσφαλμένον βιβλίον οὐκ ὀφείλει τοῦτο διορθοῦσθαι καὶ ξέειν τὰ κακῶς γραφέντα, ἀλλ' ἐᾶν ἀδιόρθωτον, ἵνα μὴ τὸ βιβλίον ἀκαλλές τε ὁρᾶται καί τινα τρόπον ἀμυχὰς ξεσμάτων ἐπιφερόμενον. Τί οὖν ἔστιν εἰπεῖν; Ὅτι ὥσπερ ὁμολογουμένως ὄντος τοῦ η μακροῦ καὶ τοῦ ω , οὐ τίθεται ἐπάνω αὐτῶν τὸ σημεῖον τῆς μακρᾶς, οὔτε μὴν ἐπάνω τοῦ ε καὶ τοῦ ο τὸ σημεῖον τῆς βραχείας—καὶ χωρὶς γὰρ τῶν σημείων ὡμολόγηται ὅτι μακρά εἰσι τὸ η καὶ τὸ ω , καὶ τὸ ε καὶ τὸ ο ὅτι βραχέα—, τίθεμεν δὲ ταῦτα ἐπὶ τῶν διχρόνων, ἐπὶ μὲν τοῦ ἰσχ υ ρότατος τὸ σημεῖον τῆς μακρᾶς, ἐπὶ δὲ τοῦ ὀχ͡υ͡ρώτατος τὸ σημεῖον τῆς βραχείας, διότι ἄδηλόν ἐστι χωρὶς τῆς θέσεως τῶν σημείων εἴτε μακρόν ἐστιν τὸ υ εἴτε βραχύ, οὕτω καὶ ὁμολογουμένου ὄντος ὅτι πᾶσα συλλαβὴ ἄνεσιν ἔχει καὶ βαρεῖαν ἐπιδέχεται χωρὶς τῆς συλλαβῆς τῆς ἐπιδεχομένης τὸν κύριον τόνον, παρεῖται τοῦτο, τὸ ἐπάνω κεῖσθαί φημι τὴν βαρεῖαν τῶν λοιπῶν συλλαβῶν.

140 Ἆρ' οὖν φησι «παντελῶς ἐκλείψει ἡ βαρεῖα»; Ἀλλ' «οὐκ ἔστι», φησί, «τοῦτο, ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ τίθεται». Δεῖ προσθεῖναι «τὸν τελευταῖον», ἵν' οὕτως ἀναγινώσκωμεν «ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας τὸν τελευταῖον ἐν τῇ συνεπείᾳ τίθεται». Ἐπειδὴ γὰρ τρεῖς εἰσι τόποι τῆς ὀξείας, ὁ ἐπὶ τῆς ληγούσης, ὃς καλεῖται τελευταῖος, ὁ ἐπὶ τῆς παραληγούσης, ὃν λέγουσι παρατέλευτον, καὶ ὁ ἐπὶ τῆς προπαραληγούσης, ὃν καλοῦσι προπαρατέλευτον, οὐχ ἁπλῶς τίθεται ἡ βαρεῖα εἰς τὸν τόπον τῆς ὀξείας, ἀλλ' εἰς ἐκεῖνον μόνον τὸν ἐπὶ τῆς ληγούσης εὑρισκόμενον, καὶ ταῦτα ὅτε οὐδὲ ἡ ἔννοια ἀναπαύεται, ἀλλ' ἔστι

συνέπεια, ἤτοι μετὰ τὴν ὀξύτονον λέξιν εὑρίσκεται καὶ ἑτέρα λέξις· οἷον ὡς ἐπὶ παραδείγματος ἐὰν εἴπῃς «ὁ δεῖνα καλὸς ἄνθρωπος», ἰδοὺ εἰς τὸ λος ἐτέθη ἡ βαρεῖα, ὅτι μετὰ τὸ καλός ἐρρέθη τὸ ἄνθρωπος· ἐὰν δὲ εἴπῃς «οὗτος ἄνθρωπος καλός», εἰς τὸ λος πεσεῖται ἡ ὀξεῖα, ὅτι οὐκ ἔστι συνέπεια, ἤγουν οὐχ εὑρίσκεται μετὰ τὸ καλός ἑτέρα λέξις· συνέπεια γάρ ἐστιν ἡ συναρμογὴ τῶν λέξεων καὶ συνεκφώνησις· οὐκ ἔστιν οὖν ἐν συνεπείᾳ τὸ «ὁ δεῖνα ἄνθρωπος καλός», ὅτι ἐπὶ τέλους εὑρέθη· οὐ γὰρ ἔσχε μεθ' ἑαυτὸ ἑτέραν τινὰ λέξιν. Ἰστέον δὲ ὅτι κυρίως συνέπεια τὸ ὅλον λέγεται ἔπος, διὰ τὸ ἀκολουθίαν τινὰ καὶ τάξιν ἔχειν καὶ μέτρον, λέγεται δὲ καταχρηστικῶς συνέπεια καὶ ὅταν μετὰ λέξεις τινὰς εὑρίσκηται καὶ ἑτέρα λέξις. Ζητήσειε δ' ἄν τις, διὰ τί μὴ καὶ ἐπὶ τέλους τῆς ὀξυτόνου λέξεως εὑρισκομένης τίθεται ἡ βαρεῖα. Ἔστιν οὖν εἰπεῖν ὅτι ἡ στιγμὴ καὶ ἡ ἀνάπαυσις τῆς φωνῆς οὐκ ἐᾷ βαρεῖαν τεθῆναι, ἀλλὰ κρουστικωτέραν, ἵν' οὕτως εἴπω, τὴν λέξιν ἀπεργαζομένη ὀξύνεσθαι ταύτην βιάζεται· οὐ γάρ ἐστιν ἑτέρα λέξις ἐπαγομένη, ἵνα συγκαλύψῃ τὸν ἦχον τῆς ὀξείας· διὰ τοῦτο καὶ ὀξύνεται τὸ καλός ἐπὶ τέλους εὑρισκόμενον, ἅτε μὴ ὑπό τινος ἐπιπροσθοῦντος εἰργόμενον, ἀλλ' οἷον ἐλεύθερόν που τυγχάνον καὶ ἄφετον. Δεῖ δὲ γινώσκειν ὅτι εὑρίσκεται καὶ συνεπείας οὔσης λέξις ὀξύτονος μὴ ἐπιδεχομένη βαρεῖαν, ἀλλὰ φυλάττουσα καὶ οὕτως τὴν ὀξεῖαν, οἷον «καλός ἐστιν ἄνθρωπος».

141 Τίνος χάριν; Ὅτι ἐγκλίνεται ἤτοι μετατίθεται ἡ ὀξεῖα τοῦ ἔστιν ἐπὶ τὸ καλός· περὶ δὲ ἐγκλίσεως καὶ ἐγκλιτικοῦ σὺν θεῷ διαλάβωμεν διεξοδικώτερον ὕστερον, ἐν τῇ περὶ ἀντωνυμιῶν διδασκαλίᾳ γενόμενοι. Ἔδει οὖν εἰπεῖν τὸν διδάσκοντα περὶ προσῳδίας οὕτως· «ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας τὸν τελευταῖον ἐν τῇ συνεπείᾳ τίθεται, εἰ μή που ἐγκλιτικὴ λέξις ἐπάγηται». [Ἰστέον δὲ ὅτι τετραχῶς λέγεται ἡ προσῳδία· προσῳδία γὰρ καὶ ἡ χειρονομία καὶ ἡ τοῦ ὀργάνου φωνή, προσῳδία καὶ ὁ τόνος καὶ αὐτὸς ὁ χαρακτήρ. Δέκα τοίνυν αἱ προσῳδίαι, διότι καὶ ὁ δέκατος ἀριθμὸς τέλειός ἐστι. —Διαιροῦνται δὲ αἱ δέκα προσῳδίαι εἰς τέσσαρα, διότι καὶ ὁ τέσσαρα ἀριθμὸς γεννητικός ἐστι τοῦ δεκάτου· τέσσαρες γὰρ καὶ δὶς τρεῖς ἀποτελοῦνται δέκα· ἢ καὶ κατὰ μίμησιν τῶν τεσσάρων στοιχείων, πυρός, ὕδατος, ἀέρος καὶ γῆς, ξηροῦ, ὑγροῦ, ψυχροῦ καὶ θερμοῦ, ὧν συντεθέντων ἀπετελέσθη τὰ ἐν ἡμῖν στοιχεῖα. Ἔστι δὲ καὶ παρὰ Πυθαγορείοις ὁ ἀριθμὸς ὁ τέσσαρα τίμιος, ὃν καὶ ὅρκιον τίθενται. Ζητήσωμεν δέ, διὰ τί ὥσπερ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα συνερχόμεναι ἀποτελοῦσιν ἕτερον τόνον, λέγω δὴ τὴν περισπωμένην, διὰ τί μὴ καὶ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα τὸ ἀνάπαλιν συνελθοῦσαι ἕτερον τόνον ἀπετέλεσαν. Ἔστιν οὖν εἰπεῖν, ὅτι προσῳδίαι κυρίως ἑπτά εἰσιν, ὡς ἐδείξαμεν· αὗται οὖν συναπτόμεναι ἀλλήλαις τύπον ἀποτελοῦσι στοιχείων, ὡς δέδεικται· ἐπεὶ οὖν 〈ἡ〉 βαρεῖα συναπτομένη τῇ ὀξείᾳ οὐκ ἀποτελεῖ τύπον στοιχείου—τὸ γὰρ Υ γράμμα κεραίαν ἔχει ἐπὶ τὰ κάτω νεύουσαν—τούτου χάριν οὐδὲ τόνον ἀποτελεῖ.] «Περὶ δὲ τῆς μακρᾶς καὶ τῆς βραχείας οὐκ ἔστι νῦν πολλὴ χρεία». Πληρώσας τὸν περὶ τῶν τόνων λόγον περὶ τῶν χρόνων διδάσκει· καί φησιν ὡς οὐκ ἔστι νῦν πολλὴ χρεία περὶ αὐτῶν εἰπεῖν· χρεία μὲν γάρ ἐστι καὶ περὶ αὐτῶν εἰπεῖν, ἀλλὰ νῦν, φησίν, οὐκ ἔστι καιρός, ὕστερον δὲ καὶ περὶ αὐτῶν λέξεται, ὅτε περὶ τῶν βραχέων φωνηέντων καὶ τῶν μακρῶν ἐροῦμεν. Ἄλλοι δὲ τὴν ἑρμηνείαν ταύτην οὐ προσηκάμενοί φασιν, ὡς οὐ περὶ τῶν μηκυνομένων ἢ συστελλομένων φωνηέντων ὁ λόγος τῷ τεχνικῷ, ἀλλὰ περὶ τῶν σημείων τῶν τιθεμένων ἐπάνω τῶν ἐκτεινομένων καὶ συστελλομένων φωνηέντων· δῆλον οὖν ἐστιν, φησίν, ὅτι ἐπὶ τῆς μηκυνομένης λέξεως τίθεται ἡ κεραία, ἥτις ἐστὶ σημεῖον τῆς μακρᾶς, ὡς ἐπὶ τοῦ ἰφθ ι μότατος καὶ ἰσχ υ ρότατος· ἐπὶ δὲ τῆς συστελλομένης, ὡς ἐπὶ τοῦ ὀχῠρ̆ώτατος, τὸ σημεῖον τῆς βραχείας τὸ Υ, τῆς κεραίας χωρίς· τὸ γὰρ Υ στοιχεῖον κεραίαν ἔχει ἐπὶ τὰ κάτω 〈νεύουσαν〉· διὰ γοῦν τὸ εἶναι πρόδηλον τίθεσθαι ταῦτα τὰ σημεῖα ἐπὶ τῶν βραχυνομένων καὶ ἐκτεινομένων φωνηέντων, ἐάσθω ταῦτα· οὐ γάρ ἐστι νῦν χρεία λέγειν περὶ αὐτῶν.

142 Διὰ τί δὲ ἡ κεραία σημεῖόν ἐστι τῆς μακρᾶς, ζητήσειεν ἄν τις. Ἔστιν οὖν εἰπεῖν ὅτι ἡ κεραία εὐθεῖά ἐστι πεπερασμένη, τὴν δὲ πεπερασμένην εὐθεῖαν ἔστι κατὰ τοὺς γεωμέτρας ἐπ' ἄπειρον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τὸ συνεχὲς ἐπ' εὐθείας ἐκβάλλειν, τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἔκτασις· διὰ τοῦτό ἐστι καὶ σημεῖον μακρᾶς ἡ τοιαύτη εὐθεῖα. Τὸ δὲ – συστολῆς ἐστι πάλιν σημεῖον, ἐπεὶ καὶ αὐτὸ τὸ υ τὰ χείλη συστέλλει κατὰ τὴν ἐκφώνησιν· φησὶ γὰρ Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ στοιχείων καὶ συλλαβῶν λόγῳ 〈de comp. verb. 77, 3 R〉 , ὅτι περὶ αὐτὰ τὰ χείλη συστολῆς γενομένης ἀξιολόγου, πνίγεται καὶ στενὸς ἐκπίπτει ὁ ἦχος. Ὁρίζονται δὲ τὴν μακρὰν οὕτως· μακρά ἐστι σημείωσις μηκυνομένου φωνήεντος, οἷον 〈Α 36〉 Ἀ̄πόλλωνι ἄνακτι καὶ πάλιν 〈Ο 554〉 ἀνεψ ι οῦ κταμένοι ο· τὸ γὰρ ψι ἐκτέταται, καὶ διὰ τοῦτο ἔχει καὶ τὸν χαρακτῆρα τῆς μακρᾶς. Βραχ ε ῖα δέ ἐστι σημείωσις βραχυνομένου φωνήεντος, οἷον 〈Ε 31. 455〉 Ἆ̄ρες Ἄ̆ρες βροτολοιγ έ· τὸ γὰρ δεύτερον Ἄρες συνεσταλμένον ὂν ἔσχε καὶ τὸν τύπον τῆς βραχείας. Ἀπορήσειε δ' ἄν τις, διὰ τί μή, ὥσπερ δύο τόνοι συνελθόντες ἀπετέλεσαν 〈ἕτερον〉 τόνον, οὕτω καὶ δύο χρόνοι συνελθόντες ἀπετέλεσαν χρόνον ἕτερον. Καὶ ἔστιν εἰπεῖν ὅτι τὰ στοιχεῖα ἢ μονόχρονά εἰσιν ἢ δίχρονα, οὐδέποτε δὲ ὑπερβαίνουσι τοὺς δύο χρόνους· εἰ δὲ συνῆλθον ἡ μακρὰ καὶ ἡ βραχεῖα καὶ ἀπετέλεσαν ἕτερον χρόνον, ἔμελλε τρίχρονος εἶναι χρόνος, καὶ εἰς οὐδὲν εἶχε συντελεῖν, ὅπου γε τὰ στοιχεῖα οὐχ ὑπερβαίνουσι τοὺς δύο χρόνους. «Ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον, οἷον ἡμέρα ὥρα καὶ εἰς τὰ ὅμοια· ἡ δὲ ψιλὴ εἰς γράμμα φωνῆεν ψιλούμενον, οἷον ἀσεβής». Τὸ μὲν ποῖα δεῖ δασύνεσθαι φωνήεντα καὶ ποῖα ψιλοῦσθαι, πλείστης πραγματείας δεόμενον, παρίησιν· ἄλλως τε καὶ πρὸς εἰσαγωγικοὺς ποιούμενος τὸν λόγον, τὴν περὶ τούτων διδασκαλίαν ἑώρα πολύ τι τῆς παρούσης χρείας ἀπᾴδουσαν. Τοῦτο δέ φησι μόνον, ὅτι τὸ σημεῖον τῆς δασείας, ἤτοι τὸ διχοτόμημα τοῦ Η τὸ ἐπὶ τὰ ἔξω ἀπεστραμμένον, τίθεται ἐπάνω φωνήεντος δασυνομένου, ἤγουν ἐκ τοῦ θώρακος μετὰ πολλῆς τῆς ὁρμῆς ἐκφερομένου· τὸ δὲ ἕτερον τοῦ αὐτοῦ στοιχείου διχοτόμημα, τὸ ἐπὶ τὰ ἔσω ἐστραμμένον, ἐπάνω φωνήεντος ψιλουμένου, ἤτοι ἐξ ἄκρων τῶν χειλέων προφερομένου.

143 Ἔστι γὰρ ἡ μὲν ψιλὴ ποιότης συλλαβῆς, καθ' ἣν ἄκροις τοῖς χείλεσι τὸ πνεῦμα ἐκφέρεται, οἷον Αἴας, ἡ δὲ δασεῖα ποιότης συλλαβῆς, καθ' ἣν ἀθρόον τὸ πνεῦμα ἐκφέρεται, οἷον ἥλιος. Τότε δὲ τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον 〈ἡ δασεῖα〉 , ὥσπερ 〈καὶ〉 ἡ ψιλὴ εἰς φωνῆεν ψιλούμενον, ὅτε τὸ φωνῆεν ἀρκτικόν ἐστι τῆς λέξεως· οὐ γὰρ ἁπλῶς τὰ φωνήεντα ἢ ψιλοῦνται ἢ δασύνονται, ἀλλ' ὅτε κατ' ἀρχὰς τῶν λέξεων τίθενται· ὥστε οὕτως ὤφειλεν εἰπεῖν «ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν ἀρκτικὸν δασυνόμενον, ὥσπερ καὶ ἡ ψιλὴ εἰς γράμμα φωνῆεν ἀρκτικὸν ψιλούμενον». Ἰστέον δὲ ὅτι καὶ ἐπὶ συμφώνου τίθεται ἑνὸς μόνου τοῦ ρ ἡ δασεῖα καὶ ἡ ψιλή· ἐπὶ μὲν τοῦ ῥώμη καὶ ῥέω τίθεται ἡ δασεῖα, ἐπὶ δὲ τοῦ ῤάρος, ὃ σημαίνει τὸ ἔμβρυον κατὰ τοὺς Αἰολεῖς, 〈ἡ〉 ψιλή. Καὶ διὰ τί τὸ ῤάρος ψιλοῦται; Ὅτι ἡ Αἰολὶς γλῶττα τὸ ψιλοῦν τὰ στοιχεῖα φιλεῖ, ὥσπερ καὶ τὸ υ πάσης λέξεως ἄρχον πάντες μὲν δασύνουσιν, οἱ δὲ Αἰολεῖς ψιλοῦσιν· αὐτίκα τὸ ὔρχας Αἰολικὸν ὂν ψιλοῦται· σημαίνει δὲ τὸ τεῦχος ἐπὶ τὴν ταρίχευσιν. Τοῦτο δὲ τὸ ρ οὐ μόνον κατ' ἀρχὰς καὶ ψιλοῦται καὶ δασύνεται, ἀλλὰ καὶ κατὰ τὸ μέσον, οἷον τὸ ἔῤῥαπτον· τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται· ὡσαύτως καὶ τὰ ὅμοια. Οἱ δὲ ἀρχαῖοι γραμματικοὶ τὸ μὲν μετὰ ψιλοῦ εὑρισκόμενον ρ ἐψίλουν, τὸ δὲ μετὰ δασέος ἐδάσυνον· οἷον τὸ Ἀτῤεύς καὶ κάπῤος ἐψίλουν, τὸ δὲ χῥόνος ἀφῥός θῥόνος ἐδάσυνον. Διὰ τί δὲ τὸ ρ ἐκ πάντων τῶν συμφώνων μόνον καὶ ψιλοῦται καὶ δασύνεται; Ὅτι φωνήεντος δύναμιν ἔχει· καὶ τοῦτο ἐλέγχεται ἐκ πολλῶν κανόνων, οἵτινές εἰσιν οὗτοι· τὰ εἰς α λήγοντα θηλυκὰ συνεσταλμένον ἔχοντα τὸ α , ἐὰν μὲν ἔχωσι πρὸ τοῦ α σύμφωνον, τρέπουσι τὸ α εἰς η ἐν τῇ γενικῇ, οἷον Μοῦσα Μούσης, δόξα δόξης, δίψα δίψης, ἐὰν δὲ φωνῆεν ἔχωσι πρὸ τοῦ α , φυλάττουσι τὸ α ἐν τῇ γενικῇ, οἷον 〈μαῖα μαίας, Ἀντιόχεια Ἀντιοχείας, Ἀλεξάνδρεια Ἀλεξανδρείας· ὁμοίως δὲ καὶ τὰ ἔχοντα πρὸ τοῦ α τὸ ρ φυλάττουσι τὸ α ἐν τῇ γενικῇ, οἷον〉 σφαῖρα σφαίρας, σώτειρα σωτείρας, γενέτειρα γενετείρας· δῆλον οὖν ὅτι οὐκ ἔστι σύμφωνον τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ρ , ἀλλὰ φωνῆεν, ὡς τὸ ἴδιον τῶν φωνηέντων ἀποτελοῦν· εἰ γὰρ ἦν σύμφωνον, οὐκ ὤφειλε τὸ α φυλαχθῆναι ἐν τῇ γενικῇ, ἀλλὰ τραπῆναι εἰς η .

144 Καὶ ἐξ ἄλλου δὲ κανόνος δείκνυται τὸ ρ φωνῆεν ὑπάρχον· τὰ εἰς ος λήγοντα ἀρσενικὰ ποιοῦντα κατ' ἰδίαν θηλυκόν, τουτέστι μὴ ὄντα κοινὰ τῷ γένει (διὰ τὸ ὁ φιλόσοφος καὶ ἡ φιλόσοφος) εἰ μὲν ἔχουσι πρὸ τοῦ ο φωνῆεν, εἰς α ποιοῦσι τὸ θηλυκόν, οἷον Βυζάντιος Βυζαντία, Ῥόδιος Ῥοδία, ἀλλότριος ἀλλοτρία· εἰ δὲ σύμφωνον ἔχουσι πρὸ τοῦ ο , εἰς η ποιοῦσι τὸ θηλυκόν, οἷον σοφός σοφή, 〈καλός καλή, ἀγαθός ἀγαθή· εἰ δὲ ἔχουσι πρὸ τοῦ ο τὸ ρ , εἰς α ποιοῦσι τὸ θηλυκόν, οἷον φοβερός φοβερά, χλιαρός χλιαρά, καθαρός καθαρά·〉 δῆλον οὖν ὅτι τὸ ρ οὐκ ἔστι σύμφωνον, ἀλλὰ φωνῆεν· εἰ γὰρ ἦν σύμφωνον, εἰς η ὤφειλε ποιῆσαι τὸ θηλυκόν, οὐκ εἰς α . Δείκνυται δὲ καὶ ἀπὸ τῆς Αἰολίδος διαλέκτου τὸ ρ φωνῆεν· εἰώθασι γὰρ οἱ Αἰολεῖς φωνήεντος ἐπιφερομένου προστιθέναι τὸ υ , ὡς ἐπὶ τοῦ 〈ἔαδεν〉 εὔαδε, καὶ πάλιν τὸ ἠώς ἀώς λεγόντων τῶν Δωριέων, οἱ Αἰολεῖς λέγουσιν αὔως, τὸ υ προστιθέντες, καὶ πάλιν 〈τὸ〉 ἀάτην αὐάτην λέγουσιν οἱ Αἰολεῖς· συμφώνου δὲ ἐπιφερομένου οὐδέποτε προστιθέασι τὸ υ οἱ Αἰολεῖς· τὸ γὰρ νόσος νοῦσος καὶ Ὄλυμπος Οὔλυμπος ποιητικά εἰσι καὶ οὐκ Αἰολικά· τοῦ δὲ ρ ἐπιφερομένου πολλάκις προστιθέασι 〈τὸ υ 〉 οἱ Αἰολεῖς, οἷον ἄρρηκτος 〈αὔρηκτοσ〉 · δῆλον οὖν ὅτι φωνῆέν ἐστι καὶ οὐ σύμφωνον τὸ ρ . Δείξομεν δὲ πάλιν, ὅτι τὸ ρ σύμφωνόν ἐστι καὶ οὐ φωνῆεν. Πῶς δέ; Ὅτι πᾶν φωνῆεν καθ' ἑαυτὸ φωνὴν 〈ἀποτελεῖ, οἷον α ε η ι ο υ ω , ὅθεν καὶ φωνήεντα λέγονται παρὰ τὸ φωνὴν ἀφ' ἑαυτῶν〉 ἀποτελεῖν· τὸ 〈δὲ〉 ρ οὐ δύναται καθ' ἑαυτὸ φωνὴν ἀποτελεῖν· μετὰ γὰρ τοῦ ω ἐκφωνεῖται· δῆλον οὖν ὅτι οὐκ ἔστι φωνῆεν, ἀλλὰ σύμφωνον. Ἄλλως τε οὐδέποτε ἐν μιᾷ συλλαβῇ τρία φωνήεντα εὑρίσκονται, ἀλλ' ἢ ἓν ἢ δύο φωνήεντα, ὡς ἐπὶ τῶν διφθόγγων, οἷον εὖχος οἶκος αὐλός· ἐὰν οὖν εἴπωμεν τὸ ρ φωνῆεν εἶναι, εὑρεθήσονται ἐν τῷ ῥεῦμα καὶ ῥοῦς τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ, ὅπερ ἀδύνατον. Ἔτι δὲ οὐδὲν ὄνομα ἀρσενικὸν εἰς φωνῆεν λήγει, οἷον Αἴας Πλάτων Φοῖνιξ· τὸ γὰρ 〈ex. gr. B 336〉 ἱππότα καὶ 〈ex. gr. A 175〉 μητίετα Ζεύς καὶ τὰ τοιαῦτα ποιητικά 〈εἰσι〉 κατὰ μεταπλασμὸν γενόμενα, καὶ τὸ τοιόσδε καὶ τοιουτοσί ἐπεκ〈τε〉ταμένα· πῶς οὖν τὰ ρ δύναται φωνῆεν εἶναι, ὅπου τὸ ῥήτωρ καὶ τὸ Νέστωρ καὶ τὰ τοιαῦτα εἰς ρ λήγουσιν; εὑρεθήσεται γὰρ ἀρσενικὸν ὄνομα εἰς φωνῆεν λῆγον, ὅπερ ἀδύνατον. Καὶ ταῦτα μὲν οὕτως. Ζητεῖται δέ, διὰ τί μὴ ἀπὸ τῶν δύο πνευμάτων γίνεται πνεῦμα. Φαμὲν οὖν ὅτι ἐπεὶ ἡ μὲν δασεῖα ἐκ τοῦ θώρακος ἐκπέμπεται, ἡ δὲ ψιλὴ ἐξ ἄκρων τῶν χειλέων, εὐλόγως οὐ δύνανται συναφθῆναι ἀλλήλαις· πῶς γὰρ τὸ ἐκ τοῦ θώρακος ἐξερχόμενον συναφθῆναι δύναται τῷ ἐκπεμπομένῳ ἐξ ἄκρων τῶν χειλέων; πολὺ γὰρ τὸ μέσον.

145 «Φωνήεντα δὲ γράμματά εἰσιν ἑπτά, α ε η ι ο υ ω ». Ἐπειδὴ γραμμάτων φωνηέντων ἐμνήσθη, εἰπὼν «ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον» καὶ πάλιν «ἡ δὲ ψιλὴ εἰς γράμμα φωνῆεν ψιλούμενον», πρὸς εἰσαγωγικοὺς δὲ τὸν λόγον ἐποιεῖτο καὶ μήπω εἰδότας τί ἐστι φωνῆεν, διὰ τοῦτο ἀπαριθμεῖται ταῦτα, τίνα τε καὶ πόσα εἰσὶ διδάσκων· ἡμεῖς δὲ τῷ περὶ στοιχείων λόγῳ τὴν περὶ τούτων διδασκαλίαν τηρήσαντες, ἐπὶ τὰ ἑξῆς τοῦ λόγου χωρήσωμεν. «Ἡ δὲ ἀπόστροφος τίθεται, ὅταν διὰ τὴν καλλιφωνίαν κουφίζηται τὸ ἓν φωνῆεν γράμμα, ὁπηνίκα δύο φωνήεντά εἰσιν ἐν μιᾷ λέξει, οἷον 〈psalm. 1, 4〉 οὐ χ ' οὕτως οἱ ἀσεβεῖ ς , οὐ χ ' οὕτω ς», καὶ τὰ ἑξῆς ἕως τοῦ «καὶ ἀντ' αὐτοῦ εἰσῆλθεν ἄνωθεν ἡ ἀπόστροφος». Ἐντεῦθεν περὶ παθῶν ἡμᾶς ἄρχεται διδάσκειν· ἔστι δὲ πάθος φωνῆς πεπονθυίας σημεῖον, τὰ ἡνωμένα καὶ διῃρημένα διακρῖνον. Τὸ μὲν οὖν «φωνῆς πεπονθυίας σημεῖον» κοινὸν τῶν τριῶν· καὶ γὰρ ἡ ἀπόστροφος ἐπὶ πεπονθυίας ἔκθλιψιν 〈φωνήεντοσ〉 λέξεως τίθεται, καὶ ἡ ὑφὲν ἐπὶ λέξεως ὡσαύτως ἀποκοπὴν συμφώνου παθούσης, οἷον Φιλόδημος· καὶ ἡ ὑποδιαστολὴ δὲ πεπονθυίας καὶ αὐτὴ διάστασιν λέξεως σημεῖόν ἐστιν, οἷον ἐπὶ τοῦ ΕΣΤΙΝ,ΑΞΙΟΣ· διακεχώρισται γὰρ ἀπὸ τοῦ ἄξιος τὸ ἔστιν. Τὸ δὲ «ἡνωμένα διακρῖνον» διὰ τὴν ὑφὲν ἐτέθη· ἵν α γὰρ μὴ τὸ Μενεκράτης

δύο μέρη λόγου ἀναγνῷς, ἐτέθη ἡ ὑφέν, διάγνωσιν παρέχουσα ὅτι ἡνωμένη ἐστὶν ἡ λέξις. Καὶ ἡ ἀπόστροφος δὲ σημεῖόν ἐστι τῆς ἡνωμένων διακρίσεως· τὸ γὰρ οὐχ' οὕτως, ἔχον ἐπὶ τοῦ χ τὴν ἀπόστροφον, ἑνοῖ τὸ χ μετὰ τοῦ ου , καὶ τὸ κατ' ἐμοῦ, ἔχον τὴν ἀπόστροφον ἐπὶ τοῦ τ , ἑνοῖ τὸ τ μετὰ τοῦε · κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι ὅταν ὦσι λέξεις δύο, πάθῃ δὲ ἡ πρώτη ἔκθλιψιν, τὸ πρὸ τῆς ἀποστρόφου σύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι συνάπτεται. Τὸ δὲ «διακρῖνον τὰ διῃρημένα» διὰ τὴν ὑποδιαστολήν ἐστι τεθειμένον· αὕτη γὰρ μόνη διαιρεῖ τὰ δοκοῦντα ἡνῶσθαι. Τίθεται δὲ ἡ ἀπόστροφος ἐπάνω τοῦ ἐσχάτου γράμματος τῆς πρώτης λέξεως· οἷον τὸ οὔτ' ἐγώ δύο λέξεις εἰσί, καὶ ἐκθλιβέντος τοῦ ε ἐτέθη ἄνωθεν τοῦ τ , ὅ ἐστιν ἔσχατον σύμφωνον τῆς πρώτης λέξεως, ἡ ἀπόστροφος, ἥτις πάθος μὲν λέγεται γενικῷ ὀνόματι διὰ τὸ ἐν ταῖς παθητικαῖς λέξεσι τίθεσθαι, ὥσπερ καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολή, ἀπόστροφος δὲ ἀπ' αὐτῆς τῆς θέσεως· ἐπὶ γὰρ τὰ ἔσω νεύει, καὶ ἐπὶ τὰς λέξεις τὰς ἀποστρεφομένας τίθεται. Ὁρίζονται δὲ τὴν ἀπόστροφον οὕτως· ἀπόστροφος σημεῖόν ἐστιν ἐκθλίψεως φωνήεντος ἢ φωνηέντων, φωνήεντος μέν, 〈ex.

146 gr. A 43〉 ὣς ἔφα τ ' εὐχόμενο ς· ἓν γὰρ φωνῆεν ἐξεβλήθη, τὸο · φωνηέντων δέ, οἷον 〈A 117〉 βούλο μ ' ἐγὼ λαὸν σῶν ἔμμεναι καὶ γὰρ ἡ αι δίφθογγος ἐνταῦθα ἔκθλιψιν πέπονθεν. Ἐκθλίβονται δὲ τέσσαρα μόνα φωνήεντα, τὸ α , 〈M 433〉 ἀλ λ ' ἔχον ὥστε τάλαντ α· τὸ ε , 〈A 4〉 αὐτοὺς δ ' ἑλλώρι α· τὸ ι , ὡς τὸ 〈Γ 300〉 ὧδέ σ φ ' ἐγκέφαλος χαμάδις ῥέο ι· τὸ ο , ὡς τὸ 〈A 48〉 ἕζε τ ' ἔπει τ ' ἀπάνευθε νεῶ ν. Καὶ ταῦτα μὲν τὰ φωνήεντα μόνα παρὰ τοῖς συγγραφεῦσι καὶ πεζῇ τῇ λέξει λογογραφοῦσιν ἐκθλίβονται, παρὰ δὲ τοῖς ποιηταῖς καὶ ἡ αι δίφθογγος καὶ τὸ ι μετὰ τοῦ ν , 〈E 877〉 ἄλλοι μὲν γὰρ πάντε ς , ὅσοι θεοί εἰ ς ' ἐν Ὀλύμπ ῳ· τοῦτο δὲ γίνεται παρ' αὐτοῖς διὰ τὸ μέτρον. Ἐπινενοῆσθαι δέ φησι τὴν ἀπόστροφον διὰ τὴν εὐφωνίαν· ἵνα γὰρ μὴ γένηται σύγκρουσις φωνηέντων, διὰ τοῦτο, φησί, τὸ ἓν φωνῆεν γράμμα ἐκθλίβεται. Ἰστέον δὲ ὅτι οὐ καλῶς οὐδ' ὑγιῶς ἔχει τὰ περὶ τῆς ἐκθλίψεως ἐνταῦθα τῷ τεχνικῷ ῥηθέντα. Ὀφείλει γὰρ εἰπεῖν «ὁπηνίκα δύο τινῶν λέξεων ἡ μὲν λήγει εἰς φωνῆεν, ἡ δὲ ἄρχεται ἀπὸ φωνήεντος» ὁ δὲ «ὁπηνίκα» φησὶ «δύο φωνήεντά εἰσιν ἐν μιᾷ λέξει»· οὐ γάρ ἐστι μία λέξις ἀλλὰ δύο τὸ οὐχ' οὕτως· τὸ μὲν γὰρ οὐχί ἐπίρρημά ἐστιν ἀρνήσεως, τὸ δὲ οὕτως ἐπίρρημα μὲν καὶ αὐτό, ἀλλὰ παραβολῆς ἢ ὁμοιώσεως. Ζητητέον δέ, διὰ τί ἀντὶ τοῦ εἰπεῖν «ὅταν διὰ τὴν καλλιφωνίαν ἐκθλίβηται τὸ ἓν φωνῆεν γράμμα» εἶπεν «ὅταν διὰ τὴν καλλιφωνίαν κουφίζηται»· τίνος γὰρ ἕνεκα κουφισμὸν τὴν ἀπόστροφον ἐκάλεσεν; Ὅτι βαρεῖα τρόπον τινὰ γίνεται ἡ ἐκφώνησις καὶ φορτικὴ ἐκ τῆς τῶν φωνηέντων συγκρούσεως (διὰ τοῦτο καὶ χασμῳδία τὸ τοιοῦτον καλεῖται πάθος), κούφη δὲ γίνεται καὶ ὡσανεὶ εὐκίνητός ἐστιν ἡ φωνή, ὅταν ἐκθλιβῇ τὸ ἓν φωνῆεν γράμμα. Ἐπειδὴ δὲ ἐκθλίψεως ἐμνήσθημεν, δεῖ γινώσκειν ὅτι ἡ μὲν συναλοιφὴ γένος ἐστίν, ἔχει δ' 〈εἴδη〉 ἑπτά, τρία μὲν ἁπλᾶ, τέσσαρα δὲ σύνθετα· καὶ τὰ μὲν ἁπλᾶ εἰσι ταῦτα, ἔκθλιψις, κρᾶσις, συναίρεσις. Καὶ ἔκθλιψις μέν ἐστιν, ἡνίκα εὑρεθῇ λέξις εἰς φωνῆεν ἢ φωνήεντα καταλήγουσα, τῆς ἐπιφερομένης λέξεως ἀπὸ φωνήεντος ἢ ἀπὸ φωνηέντων ἀρχομένης· τότε γὰρ 〈διὰ〉 τὸ χασμῶδες καὶ κεχηνῶδες ἐκθλίβεται τὸ τέλος τῆς προηγουμένης λέξεως.

147 Καὶ ἡνίκα 〈μὲν〉 ὦσιν ἐν παραθέσει, δέχονται ἀπόστροφον, 〈οἷον κατὰ ἐμοῦ κατ' ἐμοῦ· ἡνίκα δὲ ὦσιν ἐν συνθέσει, οὐ δέχονται ἀπόστροφον〉 , οἷον κατὰ ἔγραφον κατέγραφον, κατὰ ἔβην κατέβην. Ταῦτα μὲν περὶ τῆς ἐκθλίψεως. Διαφέρει δὲ συναίρεσις κράσεως κατὰ τούτους τοὺς τρόπους· ἡ συναίρεσις περὶ τὸ ι καὶ τὸ υ καταγίνεται προηγουμένου προτακτικοῦ φωνήεντος, οἷον πάϊς παῖς, ἀΰω αὔω, Δημοσθένεϊ Δημοσθένει· διαστέλλεται δὲ τὸ συνῃρημένον ἀπὸ τοῦ ἐντελοῦς ἐκ τοῦ μὴ περιστίζεσθαι τὸ ι καὶ 〈τὸ〉 υ ἐν τῇ συναιρέσει. Δεῖ δὲ γινώσκειν ὅτι τὸ ι καὶ τὸ υ δεῖ περιστίζειν, ἡνίκα προηγεῖται προτακτικὸν φωνῆεν κατὰ διάστασιν· ἐπεὶ ὅταν προηγῆται 〈τὸ ι ἢ τὸ υ καὶ ἐπιφέρηται〉 ὑποτακτικὸν φωνῆεν, οὐ δεῖ

περιστίζειν αὐτά, οἷον ἰαχή ἰωή. Ἡ δὲ κρᾶσις περὶ πάντα τὰ φωνήεντα καταγίνεται, οἷον Δημοσθένεος Δημοσθένους, ἱέραξ ἵραξ, τὸ ἐμόν τοὐμόν· καὶ ἡνίκα μὲν γένηται κρᾶσις ἐν ἁρμογῇ δύο λέξεων, τίθεται κορωνίς, 〈οἷον τὸ ἐμόν τοὐμόν, ὅταν δὲ γένηται κρᾶσις μὴ ἐν ἁρμογῇ δύο λέξεων, οὐ τίθεται κορωνίσ〉, οἷον νόος νοῦς. Ἄλλως τε δὲ ἡ συναίρεσις φυλακτική ἐστι τῶν αὐτῶν φωνηέντων, οἷον πάϊς παῖς, ἡ δὲ κρᾶσις πάντως ἀλλοίωσιν ἀπεργάζεται, οἷον Δημοσθένεος Δημοσθένους. Ταῦτα μέν εἰσι τὰ ἁπλᾶ εἴδη τῆς συναλοιφῆς. Τὰ δὲ σύνθετα ταῦτα· ἔκθλιψις καὶ κρᾶσις, ἔκθλιψις καὶ συναίρεσις, κρᾶσις καὶ συναίρεσις, ἔκθλιψις καὶ κρᾶσις καὶ συναίρεσις. Καὶ ἔκθλιψις μὲν καὶ κρᾶσίς ἐστιν, ὡς ἐπὶ τοῦ 〈καὶ〉 ἐγώ κἀγώ· ἐκθλίβεται γὰρ τὸ ι τοῦ καί συνδέσμου, καὶ κιρνᾶται τὸ α καὶ ε εἰς α μακρόν· ἔκθλιψις δὲ καὶ συναίρεσις, ὡς τὸ ἐμοὶ ὑποδύνει ἐμοὐποδύνει· ἐκθλίβεται γὰρ τὸ ι τῆς ἐμοί ἀντωνυμίας, καὶ συναιρεῖται τὸ ο καὶ υ εἰς τὴν ου δίφθογγον· κρᾶσις δὲ καὶ συναίρεσις, ὡς ἐπὶ τοῦ ὁ αἰπόλος ᾡπόλος· κιρνᾶται γὰρ τὸ ο καὶ α εἰς ω , καὶ συναιρεῖται τὸ ω καὶ τὸ ι εἰς τὴν ῳ δίφθογγον· ἔκθλιψις δὲ 〈καὶ〉 κρᾶσις καὶ συναίρεσις, ὡς ἐπὶ τοῦ οἱ αἰπόλοι ᾡπόλοι· ἐκθλίβεται γὰρ τὸ ι τοῦ οἱ ἄρθρου, καὶ κιρνᾶται τὸ ο καὶ α εἰς ω , καὶ συναιρεῖται τὸ ω καὶ ι εἰς τὴν ῳ δίφθογγον. «Ἡ δὲ ὑφὲν τίθεται, ὅταν δύο λέξεις ἅμα ὀφείλωσι λέγεσθαι». Οἱ παλαιοὶ τὴν ὑφὲν οὕτως ὡρίσαντο· «ὑφέν ἐστι σημεῖον συναφείας συνθέτων λέξεων» ἢ «σημεῖον ἑνώσεως δύο λέξεων, οἷον Νικ͜όλα͜ος»· διὰ τοῦτο γὰρ καὶ ὠνόμασται ὑφέν, ὡς ἑνοῦσα τὰς λέξεις καὶ ὑφ’ ἓν ποιοῦσα ἀναγινώσκεσθαι. Τίθεται δὲ ὑποκάτω τῶν δύο λέξεων, ἐπὶ τῆς προτέρας λέξεως τοῦ ἐσχάτου γράμματος ἔχουσα τὴν ἀρχήν, ἐπὶ δὲ τῆς δευτέρας τοῦ ἀρκτικοῦ ἔχουσα τὸ τέλος τοῦ σχήματος. Διαφέρει δὲ ἡ διαστολὴ τῆς ὑφέν, ὅτι τῆς ὑφὲν συναπτούσης τὰ δοκοῦντα διαιρεῖσθαι, αὕτη πάλιν τὰ δοκοῦντα ἡνῶσθαι διαιρεῖ, οἷον ΗΛΘΕ, ΝΗΠΙΟΣ. Εἰδέναι δὲ χρὴ ὅτι αἱ σύνθετοι λέξεις ἀπὸ τῶν τεσσάρων γίνονται πτώσεων· αὗται δὲ αἱ πτώσεις ἢ κατὰ τὸ τέλος συντίθενται, οἷον Περικλῆς, ἢ κατὰ τὴν ἄρχουσαν, οἷον φιλομαθής, ἢ καὶ κατὰ τὴν ἀρχὴν καὶ κατὰ τὸ τέλος, οἷον Φιλόδημος.

148 Κατὰ μὲν οὖν τὸ τέλος οὐ πᾶσα πτῶσις συντίθεται, ἀλλ’ εὐθεῖα μόνη, οἷον Πλάτων φιλοπλάτων, Ἕλλην φιλέλλην, καὶ γενική· γενικὴ δὲ οὐ πᾶσα, ἀλλὰ μόνη ἡ εἰς ας λήγουσα καὶ ἡ εἰς ης καὶ ἡ εἰς ος , οἷον φαρέτρα φαρέτρας 〈ὁ〉 εὐφαρέτρας, τέχνη τέχνης ὁ κλυτοτέχνης, γράμμα γράμματος ὁ φιλογράμματος, καὶ τοῦτο εἰκότως· ἐπειδὴ γὰρ αὗται αἱ γενικαὶ ἔχουσι κατάληξιν ἁρμόζουσαν εὐθείᾳ—ἡ γὰρ εἰς ας κατάληξις καὶ ἡ εἰς ης καὶ ἡ εἰς ος καὶ τῆς εὐθείας εἰσίν, οἷον σοφός Πέρσης κοχλίας—, πᾶσα δὲ σύνθεσις ἀναδρομὴν πάσχει εἰς τὴν εὐθεῖαν, οἷον γράμμα γράμματος ὁ φιλογράμματος, εἰκότως αὗται αἱ γενικαὶ συντίθενται κατὰ τὸ τέλος· ἡ γὰρ εἰς ου λήγουσα γενικὴ οὐ δύναται συντεθῆναι κατὰ τὸ τέλος, ἐπειδὴ οὐκ ἔχει κατάληξιν ἁρμόζουσαν εὐθείᾳ· οὐκ ἔχομεν γὰρ εὐθεῖαν εἰς ου δίφθογγον λήγουσαν. Διὰ τοῦτο γὰρ οὔτε ἐκ δοτικῆς οὔτε ἐξ αἰτιατικῆς κατὰ τὸ τέλος γίνεται σύνθεσις, ἐπειδὴ οὐκ ἔχουσι κατάληξιν ἁρμόζουσαν εὐθείᾳ· τὸ γὰρ ι καὶ τὸ ᾳ καὶ τὸ ῃ καὶ τὸ ῳ , οἷον Αἴαντι κοχλίᾳ Πέρσῃ Μενελάῳ, καταλήξεις εἰσὶ τῆς δοτικῆς, ἅτινα οὐκ εἰσὶ καταλήξεις τῆς εὐθείας τοῦ ἀρσενικοῦ γένους· καὶ τὸ α καὶ τὸ η καὶ τὸ ουν , τῆς αἰτιατικῆς ὄντα καταλήξεις, οἷον Αἴαντα εὐγενῆ βοῦν, οὐκ εἰσὶ τῆς εὐθείας. Εἰ δέ τις λέγει ὅτι καὶ ἡ αἰτιατικὴ κατάληξιν ἔχει ἁρμόζουσαν τῇ εὐθείᾳ—τὸ γὰρ ην , οἷον Πέρσην, καὶ τὸ αν , οἷον κοχλίαν, καὶ τῆς εὐθείας ἐστίν, οἷον Παιάν Ἀλκμάν φιλέλλην—, ἴστω ὡς ἐπειδὴ πλείους εἰσὶν αἱ καταλήξεις τῆς αἰτιατικῆς, αἳ μή εἰσι καὶ τῆς εὐθείας τῶν ἀρσενικῶν, διὰ τοῦτο οὐ γίνεται σύνθεσις ἐκ τῆς αἰτιατικῆς. Καὶ ταῦτα μὲν περὶ τῶν συντεθειμένων κατὰ τὸ τέλος. Κατὰ δὲ τὸ ἄρχον συντίθεται καὶ εὐθεῖα, οἷον Ἀστυάναξ, καὶ γενική, οἷον Ἑλλήσποντος, καὶ δοτική, οἷον ἀρηΐφιλος, καὶ αἰτιατική, οἷον νουνεχής. Κλητικὴ δὲ οὐδέποτε συντίθεται διὰ τοιαύτην αἰτίαν. Ἡ κλητικὴ καὶ αὐτοτελής ἐστι, καὶ δευτέρου προσώπου ἐστί, καὶ πρός τινά ἐστι, καὶ τὸ ἐπιφερόμενον πάντως ἢ ὁμοιόπτωτον ἀπαιτεῖ, οἷον

〈ex. gr. Α 122〉 Ἀτρείδη κύδιστ ε· ἀμφότεραι γὰρ κλητικαί εἰσιν· ἢ ἐὰν μὴ ὁμοιόπτωτον εὑρεθῇ τὸ ἐπιφερόμενον, γενικὴ εὑρίσκεται, γενικὴ δὲ ἢ κτητικὴ ἢ συγκριτική· καὶ κτητικὴ μέν, οἷον 〈ex. gr. Β 434〉 ἄναξ ἀνδρῶν, συγκριτικὴ δέ, οἷον 〈ex. gr. Θ 31〉 ὕπατε κρειόντω ν. Ἡ δὲ εὐθεῖα οὔτε αὐτοτελής ἐστιν, οὔτε πρός τινά ἐστι (περί τινος γάρ ἐστιν), οὔτε δευτέρου προσώπου ἐστί (τρίτου γὰρ προσώπου ἐστίν), οὔτε δὲ πάντως τὸ ἐπιφερόμενον ὁμοιόπτωτον ἀπαιτεῖ, ἀλλ' ἀνομοιόπτωτον, οἷον «Σωκράτης Πλάτωνα τύπτει, Ἀλκιβιάδης Δημοσθένει διαλέγεται».

149 Εἰ συνετίθετο οὖν ἡ κλητική, ἠναγκάζετο ἀναδρομὴν ποιήσασθαι εἰς τὴν εὐθεῖαν, καθὸ αἱ συνθέσεις ἀναδρομὴν ποιοῦνται εἰς τὴν εὐθεῖαν, οἷον γράμμα γράμματος ὁ φιλογράμματος, βοῦς βοός 〈ὁ〉 πολύβοος· ἀναδρομὴν δὲ ποιοῦσα εἰς τὴν εὐθεῖαν, καθὸ μὲν εὐθεῖα ἐγίνετο, ἠναγκάζετο μὴ εἶναι αὐτοτελής, μὴ εἶναι πρός τινα, μὴ εἶναι δευτέρου προσώπου, μὴ ἔχειν τὸ ἐπιφερόμενον πάντως ὁμοιόπτωτον· καθὸ δὲ ἀπὸ κλητικῆς συνετέθη, αἱ δὲ συνθέσεις θέλουσι φυλάττειν λείψανόν τι τοῦ ἁπλοῦ (οἷον τὸ φιλάνθρωπος, ἀπὸ τοῦ ἁπλοῦ συντεθὲν τοῦ ἄνθρωπος, ἐφύλαξέ τι λείψανον τὸ ἄνθρωπος), ἠναγκάζετο καὶ αὐτοτελὴς εἶναι, καὶ πρός τινα, καὶ δευτέρου προσώπου, καὶ τὸ ἐπιφερόμενον ἔχειν 〈πάντωσ〉 ἢ ὁμοιόπτωτον ἢ γενικήν, γενικὴν δὲ ἢ κτητικὴν ἢ συγκριτικήν. Ἐπειδὴ δὲ οὐ δύναται κατὰ ταὐτὸν καὶ αὐτοτελὴς εἶναι καὶ μὴ αὐτοτελής, καὶ πρός τινα καὶ περί τινος, καὶ δευτέρου προσώπου καὶ τρίτου, καὶ τὸ ἐπιφερόμενον μὴ ἔχειν πάντως ὁμοιόπτωτον καὶ ἔχειν τὸ ἐπιφερόμενον πάντως ἢ ὁμοιόπτωτον ἢ γενικὴν κτητικὴν ἢ συγκριτικήν, τούτου χάριν οὐ συντίθεται. Γίνονται δὲ αἱ συνθέσεις ἢ τῶν δύο λέξεων οὐσῶν ἰδίᾳ ῥητῶν, ἢ τῆς μὲν μιᾶς ἰδίᾳ ῥητῆς, τῆς δὲ ἑτέρας ἰδίᾳ νοητῆς. Καὶ τὰς δύο μὲν λέξεις ἰδίᾳ ῥητὰς ἔχει ἡ σύνθεσις αὕτη, Φιλόδημος ἀρχιστράτηγος· λέγεται γὰρ καὶ τὸ φίλος ἰδίᾳ καὶ τὸ δῆμος, καὶ τὸ ἀρχή καὶ τὸ στρατηγός· τὴν δὲ μίαν ῥητὴν καὶ τὴν μίαν νοητὴν τὸ ζάκοτος καὶ τὸ ἄλοχος καὶ τὸ ἐρίτιμος καὶ τὰ ὅμοια· τούτων γὰρ αἱ πρότεραι λέξεις οὐδέποτε κατ' ἰδίαν ῥηταί, ἀλλὰ καθ' αὑτὰς νοούμεναι καὶ σημαίνουσαί τι· καὶ γὰρ τὸ μὲν ζα καὶ τὸ ερι ἐπίτασιν 〈σημαίνει〉, τὸ δὲ α τὸ ὁμοῦ. Καὶ ἔστιν ὡς ἐπὶ τὸ πλεῖστον ἡ σύνθεσις ἐκ δύο λέξεων, γίνεται δὲ καὶ ἐκ τριῶν, ὡς 〈Σ 54〉 δυσαριστοτόκεια, παρὰ δὲ τοῖς κωμικοῖς καὶ ἐκ πλειόνων, ὡς παρὰ Ἀριστοφάνει 〈Nub. 333〉 σφραγιδονυχαργοκομῆται οἱ φιλόσοφοι διὰ τὸ ἀργοὶ διατελεῖν 〈καὶ τῶν ὀνύχων ἐπιμελεῖσθαι〉 καὶ κομῆται εἶναι, ἔτι καὶ σφραγῖδας ἐν τοῖς δακτυλίοις φορεῖν. Καὶ παρ' Εὐπόλιδι 〈fr. 393 K〉 ἀμφιπτολεμοπηδησίστρατος. Ἐπὶ δὲ τῶν ἐκ τελείου ἀρχομένων συνθέτων μάλιστα χρὴ τιθέναι τὴν ὑφέν, ἐπειδὴ διφορεῖσθαι συμβαίνει τὰ τοιαῦτα. Περιττὸν γὰρ οἶμαι ἐπεντιθέναι τοῖς ἐξ ἀπολείποντος, ὥσπερ καὶ τοῖς παρασυνθέτοις, ἅπερ ἐστὶν ὡς εἰπεῖν ἁπλᾶ· παράγεσθαι γὰρ ἀρξάμενα γενέσεως ἑτέρας ἐπιλαμβάνεται· οἷον 〈ἐπὶ τοῦ〉 Φιλιππίδης οὐ χρὴ τιθέναι τὴν ὑφέν, διότι παρασύνθετόν ἐστι.

150 Τὸ δὲ αὐτὸ κἀν ταῖς ἐπεκτάσεσι καὶ ταῖς ἀχωρίστοις συντάξεσι νοείσθω, Παλλήναδε Μεγάραδε δηλαδή τοίνυν τοιγάρτοι τοιγαροῦν· οὕτω δὲ οἶμαι ἔχειν καὶ τὸ οὐδείς ἐκ τριῶν μερῶν λόγου χωρὶς ἀποστρόφου καὶ ὑφέν. Ὑποτακτέον δὲ τῇ ὑφὲν καὶ τὰ ἐν συναλοιφῇ λεγόμενα, οἷον κἀγώ, καὶ τὰ ἐν δύο λέξεσι συνημμένην διάνοιαν ἐπαγγελλόμενα, οἷον 〈Λ 385〉 τοξότα λωβητή ρ· ἓν γὰρ νοεῖται διὰ τῶν δύο, ἀντὶ τοῦ διὰ τῶν τόξων λωβώμενε· καὶ 〈ex. gr. Σ 608〉 πύκα ποιητοῖο, 〈ἀντὶ τοῦ〉 ἐπιμελῶς κατεσκευασμένου· καὶ 〈Ν 415. λ 277〉 πυλάρταο κρατεροῖ ο· μία γὰρ ἐκ τῶν δύο λέξεών ἐστιν ἡ διάνοια, καὶ βούλεται λέγειν τοῦ τὰς πύλας ἐπαρτῶντος ἰσχυρῶς· καὶ 〈Ζ 97. 278〉 ἄγριον αἰχμητή ν· μίαν γὰρ πάλιν διάνοιαν ληπτέον ἐπὶ τῶν ἐπιθέτων ἀμφοτέρων· θέλει γὰρ λέγειν ἄγριον ἐν τῷ αἰχμάζειν, ὅ ἐστι μάχεσθαι. «Διαστολὴ δέ ἐστιν, ὅταν διαστεῖλαι καὶ διαχωρίσαι ὀφείλωμέν τινας λέξεις ἀπ' ἀλλήλων, οἷον ΕΣΤΙΝ, ΑΞΙΟΣ». Διαστολὴ μέν ἐστι διάστασις γράμματος περὶ τὴν σύνταξιν ἀμφιβαλλομένου·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ δὲ τῶν διαστολῶν ἐν τῷ περὶ ἀναγνώσεως ἐροῦμεν πλατύτερον, ὅταν διεξερχώμεθα τοὺς τρόπους, καθ’ οὓς δεῖ ἀναγινώσκειν. Πλὴν τοῦτο πρὸς τὸ παρὸν ἰστέον, ὡς τῶν διαστολῶν αἱ μέν εἰσι βελτιοῦσαι τὴν διάνοιαν, ὡς τὸ 〈α 184〉 Ε Σ , ΤΕΜΕΣΗΝ μετὰ χαλκό ν· οὐ γὰρ Μέση ἀλλὰ Τεμέση πόλις Ἰταλίας ἱστορεῖται· αἱ δὲ μηδὲν λυποῦσαι, ὡς ἐν τῷ 〈Γ 318. Η 177〉 λαοὶ δ ’ ἠρήσαντο ΘΕΟΙΣΙΔΕ χεῖρας ἀνέσχο ν· δύναται γὰρ 〈θεοῖσι, εἶτα δέ, καὶ〉 θεοῖς, εἶτα ἰδέ· αἱ δὲ 〈γινόμεναι〉 ἐπὶ τὸ χεῖρον, ὡς τὸ 〈Ξ 221〉 ἄπρηκτον ΓΕΝΕΕΣΘΑ Ι· τινὲς γὰρ τὸ γενέεσθαι ἀντὶ τοῦ γενέσθαι φασίν, ὡς τὸ 〈Ι 626〉 κρανέεσθαι καὶ 〈Ξ 481〉 κατακτανέεσθε· καὶ εἴχετο λόγου τὸ γενέεσθαι, εἰ καὶ ἡ διάνοια ἐπὶ τῇ λέξει ταύτῃ ἀκόλουθος ἦν. Ὁρᾶται δὲ ἡ ὑποδιαστολὴ ἐν παραθέσει, ἥτις ἐστὶ λέξεων παράλληλος σύνταξις κατὰ τὸν ὑπάρχοντα ἑκάστῃ τόνον. Περὶ προσῳδιῶν καὶ ἄλλως. Προσῳδίαι λέγονται οἱ τόνοι καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα καὶ τὰ πάθη, ὅτι λεγομένων τῶν ᾠδῶν ἤτοι τῶν λέξεων συνεκφωνοῦνται αὗται· αὐταὶ γὰρ καθ’ αὑτάς, μὴ λαληθείσης λέξεως, οὐκ ἔχουσι φύσιν τυποῦσθαι· προσῳδίαι οὖν ἤτοι συνῳδίαι, 〈τῆσ〉 πρός ἀντὶ τῆς σύν προθέσεως λαμβανομένης.

151 Ἢ προσῳδίας εἴποις ταύτας ὡς τυπουμένας πρὸς τὰς ᾠδάς, τῆς πρός ταὐτὸν τῇ 〈ἐπί〉 σημαινούσης· εἰ μὴ γὰρ προϋποθήσομεν τὴν λέξιν, πῶς ἂν τὴν ἐπικειμένην αὐτῇ προσῳδίαν τυπώσομεν; πρῶτον τίθεται τὸ ἅγιος, καὶ οὕτω τυποῦται ἡ ἐν τῷ α δασεῖα καὶ ὀξεῖα· πρῶτον τίθεται τὸ ἀγᾰθός εἴτε τὸ ἀγᾰθώτατος, καὶ οὕτω τυποῦται ἡ ἐν τῷ α ψιλὴ καὶ ἡ ἐν τῷ γα βραχεῖα καὶ ἡ ἐν τῷ 〈 θο καὶ τῷ〉 θω ὀξεῖα. Ὠιδαὶ λέγονται αἱ λέξεις ἐντεῦθεν· τὰ φωνήεντα ἀπὸ τῶν στοιχείων εἰσὶ τὰς φωνὰς ἀποτελοῦντα· τῶν δὲ φωνηέντων πρῶτον μὲν τὸ α , τελευταῖον δὲ τὸυ · τὸ γὰρ ω τὸ μέγα συντεθειμένον ἐστὶν ἐκ δύο υυ ἢ ἐκ δύο οο · διὰ γοῦν τοῦ α τοῦ πρώτου γράμματος καὶ τοῦ υ , συνεκδοχικῶς καὶ τῶν ἄλλων φωνηέντων λαμβανομένων, ὤφειλε δηλοῦσθαι τὰ πράγματα· ἐπεὶ δὲ ἀδύνατον ἦν ταῦτα λαληθῆναι ἄλλως ἢ διὰ φωνῆς, αὐδὴ ἐκλήθη ἡ φωνή, συναιρεθέντος τοῦ αυ , ἤτοι ἡ συνδέουσα τὰ γράμματα τὰ δηλωτικὰ τῶν πραγμάτων. Ἦν οὖν τὸ ἀρχαϊκώτερον ἀϋδή, ὅθεν τὸ ἀοιδή, ἐπειδὴ οἱ μεταγενέστεροι καὶ διὰ ῥήματος ἐτύπωσαν τοῦ ἀείδω τὸ λέγω· ἐντεῦθεν γέγονε τὸ ἀοιδή ἡ φωνή, κατὰ τὸν κανόνα τὸν λέγοντα· τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ο ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασι· κραθέντων δὲ τοῦ α καὶ τοῦ ο ᾠδή ἐξεφωνήθη. Καὶ τούτῳ τῷ τρόπῳ αἱ φωναὶ ᾠδαὶ λέγονται, ἤγουν αἱ δέουσαι τὰ φωνήεντα, δι’ ὧν αἱ ἐκφωνήσεις γίνονται. Δέκα εἰσὶν αἱ προσῳδίαι, καὶ οὐ πλείους ἢ ἐλάσσους, διὰ τοῦ ἀριθμοῦ τὸ τελειότατον· ἀπὸ γὰρ τοῦ ἑνὸς μέχρι τοῦ δέκα ἀριθμοῦντες, ὥσπερ ἐξ ἄλλης ἀρχῆς τοῦ δέκα τοὺς ἄλλους λέγομεν ἀριθμούς· διὰ τοῦτο καὶ δέκα λέγεται τρόπῳ Ἰωνικῷ, δέχα τι ὄν· ἡ γὰρ δεκὰς δεχὰς ἂν κοινοτέρως ῥηθείη, ὅτι τοὺς πρὸ αὐτῆς ῥηθέντας ἀριθμοὺς μεθ’ ἑαυτὴν λεγομένους δέχεται καὶ συνλαλεῖται αὐτοῖς. Καὶ ἡ εἰκὰς γὰρ διπλῆ ἐστι δεκάς, ἑκὰς δεκὰς λεγομένη, ἤτοι μετὰ τὴν δεκάδα καὶ τοὺς μοναδικοὺς ἀριθμοὺς ἑτέρα δεκάς, πόρρω τοσοῦτον ἀπέχουσα τῆς πρώτης δεκάδος, ὅσον ἐκείνη τῆς μονάδος. Ὤφειλεν οὖν λέγεσθαι ἡ εἰκὰς ἰεκάς· ἐπεὶ δὲ ἦν ἀναγκαῖον συναίρεσιν γενέσθαι περιέχουσαν ὅλον τὸ ἐπίρρημα καὶ τὸν ἀριθμόν, τὸ ι δὲ καὶ ε εἰς ι μακρὸν κιρνᾶται καὶ οὐκ εἰς 〈τὴν〉 ει δίφθογγον, γέγονεν ὑπερβιβασμός, καὶ προετέθη τὸ ε τοῦ ἑκάς τοῦ ι τοῦ σημαίνοντος τὸν ἀριθμὸν τὸν δέκα, καὶ οὕτω γέγονεν εἰκάς ἤτοι διπλῆ δεκάς. Ὥσπερ καὶ τὸ τριάκοντα τριπλῆ δεκάς, ἤτοι τρία κοντά, διὰ τὸ κοντοῦ σχῆμα ἔχειν τὸ ι τὸ δηλωτικὸν τοῦ δέκα· καθεξῆς δὲ τὸν τρόπον τοῦτον καὶ τὸν τεσσαράκοντα εἴποις καὶ τὸν πεντήκοντα καὶ τοὺς λοιπούς. Καὶ οὕτω τὸν δέκα δέχα εἴποις κοινοτέρως, ὡς δεκτικὸν τῶν ἄλλων ἔν τε ἁπλότητι καὶ διπλασιασμῷ καὶ πολυπλασιασμῷ. Τὸ δὲ ἑκατόν οὕτως ἐτυμολογοῦσι, τὸ ἑκὰς τοῦ δέκα ὂν τοσοῦτον ὅσον τὸ δέκα τοῦ ἑνός· ἢ τὸ ἕκατι ἤτοι ἕνεκεν τοῦ δέκα ὄν, ἑκατιόν καὶ ἑκατόν· διὰ γὰρ τὸ πολυπλασιάσαι ἐκεῖνο ἐπενοήθη. Καὶ ἔστι τὸ μὲν ἑκατὸν ἕνεκά του, ἕνεκα γάρ ἐστι τοῦ δέκα· τὸ δὲ δέκα οὗ ἕνεκα, δι’ αὐτὸ γὰρ ἐτέθη τὸ ἑκατόν. Οὕτως οὖν ὁ δέκα ἀριθμὸς τέλειος, καὶ

διὰ τοῦτο δέκα αἱ προσῳδίαι. Ἑπτὰ γὰρ ἦσαν τὸ πρῶτον, διότι καὶ φωνήεντα ἑπτά εἰσιν· ἐπενοήθησαν δὲ τὰ πάθη καὶ προσετέθησαν ταύταις διὰ τὸ τέλειον τοῦ ἀριθμοῦ, ἵν’ ἐντεῦθεν τὸ τέλειον καὶ ἐπωφελὲς διαγινώσκοιτο τοῦ μαθήματος τῶν προσῳδιῶν· τέλεια γὰρ λέγονται τὰ τέλος καὶ ἀποτέλεσμα ἔχοντα. Ἀποτέλεσμα δὲ τῶν προσῳδιῶν πάνυ χρησιμώτατον καὶ ἀναγκαιότατον τὸ τυποῦσθαι δι’ αὐτῶν τὰ σημαινόμενα ἤτοι τὰ πράγματα· ἰδοὺ γὰρ διὰ τοῦ ὅρος τοῦ δασυνομένου ἄλλο δηλοῦται, ὁ λόγος, καὶ διὰ τοῦ ὄρος τοῦ ψιλουμένου ἕτερον, ὁ πετρώδης καὶ τῆς γῆς πολὺ ἀπέχων λόφος· καὶ διὰ τοῦ ἄγνος τοῦ ψιλουμένου καὶ παροξυνομένου δηλοῦται φυτὸν ἄκαρπον, διὰ δὲ τοῦ ἁγνός τοῦ δασυνομένου 〈καὶ ὀξυνομένου〉 ὁ καθαρὸς καὶ ἄρρυπος καὶ ἀμίαντος.

152 Ἄλλως τε δὲ καὶ κατὰ μέθοδον αἱ προσῳδίαι δέκα εἰσίν· ἡ γραμμὴ γὰρ ἄλλως καὶ ἄλλως τυπουμένη καὶ τόποις ἄλλοτε ἄλλοις τιθεμένη τὰς δέκα προσῳδίας ἀποτελεῖ. Τυπωθεῖσα γὰρ πρὸς τὸ ὀξὺ τὴν ὀξεῖαν ποιεῖ, πρὸς δὲ τὸ κατωφερὲς καὶ βαρὺ τραπεῖσα τὴν βαρεῖαν, καμφθεῖσα δὲ τόξου δίκην τὴν περισπωμένην· τυπωθεῖσα δὲ πρὸς τὸ ὀρθότατον καὶ στιγμὴν ἔμπροσθε λαβοῦσα τὴν δασεῖαν ποιεῖ, ἡ αὐτὴ δηλαδὴ πρὸς τὸ ὀρθότατον τυπωθεῖσα καὶ κατόπιν τὴν στιγμὴν δεξαμένη ψιλὴ γίνεται· πλαγίως δὲ τυπωθεῖσα τὴν μακρὰν ποιεῖ, καὶ καμφθεῖσα ἐναντίως τῇ περισπωμένῃ βραχεῖα γίνεται· πάλιν καμφθεῖσα πρὸς τὸ κατόπιν ἀπόστροφός ἐστι τὴν ἄνωθεν τῆς φωνῆς θέσιν ἔχουσα, καὶ τῷ αὐτῷ τύπῳ τὴν κάτωθεν τῆς φωνῆς θέσιν ἔχουσα ὑποδιαστολὴ καλεῖται· ὑφὲν δὲ λέγεται κατὰ τὴν βραχεῖαν τυπωθεῖσα, ὑποκάτω δὲ τῆς φωνῆς τιθεμένη, τῆς βραχείας τὸν ἄνω τόπον ἐχούσης. Δέκα οὖν εἰσὶ παρὰ τὸ μὴ ἄλλως δύνασθαι τὴν τοιαύτην γραμμὴν ἢ τυποῦσθαι ἢ τόπῳ τίθεσθαι. Οἱ δὲ λέγοντες ἀπὸ κεραιῶν τινων τὰς προσῳδίας γίνεσθαι, αἵτινες ἐκ στοιχείων τινῶν τομῆς προβαίνουσιν, οὐκ ἰσχυρῶς λέγουσι· τούτῳ γὰρ τῷ τρόπῳ πάντα τὰ στοιχεῖα ὤφειλον τμηθῆναι καὶ προσῳδίας ποιεῖσθαι, καὶ οὐχὶ μόνον τὸ Λ καὶ τὸ Η καὶ τὸ Ο καὶ τὸ ς . Φασὶν 〈γὰρ〉 ὅτι τὸ Λ κοπτόμενον ποιεῖ ὀξεῖαν καὶ βαρεῖαν, τὸ δὲ Η δασεῖαν καὶ ψιλήν, τὸ 〈δὲ〉 ς μακρὰν καὶ βραχεῖαν, τὸ δὲ Ο τετραχῇ κοπτόμενον τὴν περισπωμένην, τὴν ἀπόστροφον, τὴν ὑφὲν καὶ τὴν ὑποδιαστολὴν ποιεῖ. Τοιαῦτά φημι οὕτω περιττὰ καὶ ἀμέθοδα ταῦτ’ ἄρα, καὶ οὐ προσεκτέον αὐτοῖς. Εἰς πόσα διαιροῦνται αἱ δέκα προσῳδίαι; Εἰς τέσσαρα. Καὶ διὰ τί εἰς τέσσαρα, καὶ οὐκ εἰς πλείονα ἢ ἐλάσσονα; Ὅτι, φημί, ὁ σχηματισμὸς τῶν τεσσάρων στοιχείων, τοῦ α β γ δ , ἀριθμούμενος τὸν δέκα ἀποτελεῖ· ὅτι γοῦν τέσσαρα τὰ γράμματα καὶ ὅτι ἀριθμούμενα τὸν δέκα ἀριθμὸν ἀποτελοῦσιν, εἰκότως ὁ δέκα εἰς τέσσαρα διῄρηται, καὶ οὐκ εἰς ἐλάσσονα ἢ πλείονα. 〈 Τόνοι μὲν οὖν εἰσι τρεῖ ς.〉 ] Οὕτω δὲ καλοῦνται παρὰ τὸ πρὸς αὐτοὺς τείνεσθαι τὰς φωνάς· ἡ τάσις δὲ ἢ πρὸς τὸ ὀξύ ἐστιν ἢ πρὸς τὸ βαρὺ ἢ πρὸς περίκλασιν. 〈Οἱ δὲ χρόνοι οὕτω λέγονται〉 τοῦ χρόνου τοῦ καθ’ ἡμᾶς λαχόντες τὸ ὄνομα· ὥσπερ γὰρ ὁ χρόνος τῷ μὲν τῶν ἀνθρώπων 〈ἐκ〉 τείνεται, τῷ δὲ συστέλλεται, οὕτω δὲ καὶ αἱ προσῳδίαι αὗται ἐπὶ τοῖς 〈δι〉 χρόνοις ποιοῦσιν· ὅτε γὰρ τὰ δίχρονα ἐκτείνονται, ἡ μακρὰ τούτοις ἐπιτίθεται, ὅτε δὲ συστέλλονται, ἡ βραχεῖα. Ἐπειδὴ τῇ φωνῇ πνεῦμα ἐξέρχεται ἑπόμενον τοῖς φωνήεσιν, ὅτε ἀπὸ φωνήεντος ἡ φωνὴ ἄρχεται, ἢ δασύνεται ἢ ψιλοῦται· καὶ ἐπεὶ τὸ πνεῦμα ἢ ἀπὸ τοῦ θώρακος ἐξέρχεται ἢ ἐξ ἄκρων τῶν χειλέων, δύο τὰ πνεύματά εἰσι, τὸ μὲν ἐκ τοῦ θώρακος ἐξερχόμενον δασύ, τὸ δὲ ἐκ τῶν χειλέων ψιλόν. Ἔλαβε δὲ ταῦτα τὰ ὀνόματα ἐκ μεταφορᾶς τῶν ἀνεμιαίων πνευμάτων, ἃ πνέοντα ἐν τοῖς ὄρεσι δάσει μὲν ὕλης προσκρούοντα μέγαν ἦχον ἀποτελοῦσιν, ὑποψιθυρίζουσι δὲ ἐν τοῖς ψιλοτέροις ὄρεσιν ἤγουν ἀδένδροις ἢ ὀλιγοδένδροις. Πάθη δὲ λέγονται παρ’ ὅσον ἐν ταῖς παθαινούσαις τῶν λέξεων τίθενται, ἡ μὲν ἀπόστροφος ἐπ’ ἐκθλίψει φωνήεντος, ἡ 〈δὲ〉 ὑφὲν ἐπὶ συνθέσει δύο λέξεων μίαν ἀποτελουσῶν, ἡ 〈δὲ〉 ὑποδιαστολὴ ἐπὶ διαιρέσει καὶ τομῇ τοῦ λόγου.

153

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σημείωσαι ἐπὶ τῶν πνευμάτων, τῆς δασείας καὶ τῆς ψιλῆς, ὅτι οἱ μουσικοὶ ταῦτα ἐφεῦρον, καὶ πρὸς τὰς ἐκφωνήσεις ἐτίθεσαν τοῖς φωνήεσιν· καὶ εἰ μὲν ἡ φωνὴ εἴη τραχεῖα καὶ ὥσπερ ἐκ τοῦ θώρακος ἐξερχομένη, ἐὰν ἀπὸ φωνήεντος ἤρχετο, ἐδάσυνον· εἰ δὲ λιγυρά τις καὶ χαλαρὰ καὶ ὑφειμένη, ψιλὴν ἐτίθεσαν ἐπὶ τὸ φωνῆεν. Ἐπειδὴ δὲ ὕστερον οἱ λόγοι τῶν μουσικῶν ἦσαν δυσκατάληπτοι, ἐξ ἐμπειρίας καὶ οὗτοι τεχνωθέντες ἡμῖν παρεδόθησαν, 〈καὶ〉 κατὰ τὴν παρατήρησιν καὶ παράδοσιν τῶν πρὸ ἡμῶν καὶ τοὺς ἐκείνων κανόνας τὰ πνεύματα 〈ἐπι〉 τιθέαμεν τοῖς φωνήεσιν. 〈 Ἡ ὀξεῖα τόπους ἔχει τρεῖ ς.〉 ] Καὶ διὰ τί τρεῖς; Ὅτι οὐκ ἐγχωρεῖ πλείους, παρὰ τὸ μὴ εἶναι τάσιν πρὸ τριῶν συλλαβῶν. Ὀξύτονον ὄνομα καλεῖται τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν, παροξύτονον τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, προπαροξύτονον, ὃ καὶ βαρύτονον, τὸ πρὸ δύο συλλαβῶν τοῦ τέλους ἔχον τὴν ὀξεῖαν· βαρύτονον δὲ λέγεται διὰ τὸ πᾶσαν λέξιν μὴ ἔχουσαν ἐπὶ τέλους τὸν τόνον βαρύνειν τοὺς παλαιούς, ἤγουν τιθέναι βαρεῖαν ἐπὶ τέλους, ὡς ἂν ἐγκλινομένου μέρους λόγου τῷ λόγῳ προστιθεμένου ἡ βαρεῖα εἰς ὀξεῖαν ἀνίσταιτο. Καλεῖται δὲ οὕτω παρὰ 〈τὸ〉 τὴν συλλαβὴν τὴν μέσην τῆς ὀξείας καὶ τῆς βαρείας μηδένα τόνον ἐπιδέχεσθαι, οἷον Νικόλαος, ἰδοὺ γὰρ εἰς τὸ κο μὲν ὀξεῖα, εἰς τὸ ος δὲ βαρεῖα, ἡ δὲ μέση συλλαβὴ ἡ λα τόνον οὐκ ἐπιδέχεται, ὥσπερ καὶ ἡ ὄπισθεν, ἡ νι . 〈 Ἡ περισπωμένη τόπους ἔχει δύ ο.〉 ] Διὰ τί δύο; Ὅτι πρὸ δύο συλλαβῶν περισπωμένη οὐ τίθεται. Ἰστέον δὲ καθόλου ὅτι ἡ περισπωμένη ἐν λέξει συναιρεθείσῃ τίθεται· ἰδοὺ γὰρ τὸ κῆπος οὐκ ἀπὸ τοῦ κάπος, ὥς τινες λέγουσιν, ἀλλ' ἀπὸ τοῦ χέειν, ἤτοι διαχεῖν καὶ ἡδονὴν ἐμποιεῖν, χέεπος, καὶ συναιρέσει τῶν δύο εε καὶ τροπῇ τοῦ δασέος εἰς τὸ ἀντιστοιχοῦν αὐτῷ ψιλὸν κῆπος· ὡσαύτως καὶ τὸ δῆμος ἀπὸ τοῦ δέω (τὸ δεσμεύω) δέεμος καὶ δῆμος, καὶ δεῖμος (ὁ φόβος) ἀπὸ τοῦ δέω (τὸ φοβοῦμαι), δέϊμος καὶ δεῖμος· ὥσπερ καὶ τὸ Δημᾶς κύριον ἀπὸ τοῦ Δημέας, Νομᾶς 〈ἀπὸ τοῦ Νομέασ〉 καὶ τὰ ὅμοια. 〈 Ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστί ν.〉 ] Ἐν τῇ [τελευταίᾳ] συλλαβῇ τῇ μὴ ἐχούσῃ τὸν κύριον τόνον τὸ παλαιὸν [ἐπὶ τέλους] ἐτίθετο· νῦν δὲ 〈ἐπὶ τέλουσ〉 εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ τίθεται· εἰ μὲν γὰρ εἴποις «εἴρηται λόγος σοφός», ὀξεῖαν εἰς τὸ φος θήσεις, εἰ δ' ἀναστρέψας εἴποις «σοφὸς εἴρηται λόγος», βαρεῖαν εἰς τὸ φος θήσεις. Ἔδοξε δὲ οὕτω τοῖς νεωτέροις τῶν γραμματικῶν, ὥστε μήτε τὰ βιβλία καταχαράσσεσθαι ταῖς καθ' ἑκάστην συλλαβὴν βαρείαις, μήτε τὴν βαρεῖαν παντελῶς τοῦ τυποῦσθαι ἀποπεσεῖν παρὰ τὸ μηδ' ὅλως ὁπουδήποτε τίθεσθαι. Περὶ δὲ τῆς μακρᾶς καὶ τῆς βραχείας οὐκ ἔστι νῦν πολλὴ χρεί α.] Ἡ μακρὰ καὶ ἡ βραχεῖα τίθεται ἐν τοῖς ἀμφιβόλοις ἤγουν διχρόνοις· οὔτε γὰρ ἐν τοῖς μακροῖς στοιχείοις, τῷ η καὶ τῷ ω , ἡ μακρὰ τίθεται, οὔτε ἐν τοῖς βραχέσι, τῷ ε καὶ τῷ ο , ἡ βραχεῖα· δῆλα γὰρ τὰ μακρὰ καὶ τὰ βραχέα αὐτόθεν εἰσίν. Λοιπὸν ἐν τοῖς διχρόνοις τίθενται, ἡ μακρὰ μὲν ἐν τοῖς ἀμφιβόλοις ὡς μακροῖς, ἡ βραχεῖα δὲ ἐν τοῖς ὁμοίοις ὡς βραχέσι. Νῦν δὲ καὶ τοῦ ἐν τοῖς διχρόνοις τιθέναι ταύτας ἀμελοῦς πάντες σχεδόν· διὰ τοῦτο εἶπεν «οὐκ ἔστι νῦν πολλὴ χρεία». 〈 Ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον καὶ ἑξῆ ς.

154 〉 Τὸ παλαιόν, ὡς καὶ ἄνωθεν εἴπομεν, κατὰ λόγους μουσικοὺς καὶ ἡ δασεῖα καὶ ἡ ψιλὴ τοῖς φωνήεσιν ἐπετίθεντο· ἐπεὶ δὲ ἡ μουσικὴ ὀλίγοις ἔμελε, τινὲς τῶν γραμματικῶν ἐξ ἐμπειρίας κανόνας ἐποιήσαντο, κατὰ τὰς εὑρημένας παραδόσεις λέξιν ἑκάστην μεταχειρισάμενοι καὶ τὰ ἐν ταῖς λέξεσι φωνήεντα ἀκριβωσάμενοι, πότε καὶ ὁπόσα δασύνονται, καὶ 〈πότε καὶ〉 ὁπόσα ψιλοῦνται. Καὶ ἔστι τεχνολόγημα περὶ τούτων, πότε τὸ α πρὸ τοῦ β καὶ πρὸ τοῦ γ καὶ τῶν λοιπῶν στοιχείων δασύνεται ἢ ψιλοῦται, ὁμοίως καὶ τὸ ε καὶ τὰ λοιπὰ φωνήεντα πρὸ τῶν αὐτῶν στοιχείων πότε δασύνονται καὶ πότε ψιλοῦνται. Διὰ τοῦτο νῦν στενῶς εἶπεν «ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον, καὶ ἡ ψιλὴ εἰς γράμμα φωνῆεν ψιλούμενον». Ἡμέρ α· διὰ τί δασύνεται; Τὸ η πρὸ τοῦ μ , εἰ μὴ ἐκ κλίσεως εἴη, ἢ ἰωνικῶς κατὰ τὴν προσθήκην τεθείη, ἢ ἑτέρῳ κανόνι κωλύεται, δασύνεται, οἷον ἡμέρα ἥμερος ἡμερίς (ἡ ἄμπελος) ἡμῖν ἡμᾶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τὰ ὅμοια. «Εἰ μὴ ἐκ κλίσεως εἴη» εἶπε διὰ τὸ ἤμελλον, ὅπερ τοῦ ε τὴν ψιλὴν ἔχει, ἤμβροτες ἤμυνε καὶ τὰ ὅμοια· τὰ τοιαῦτα γὰρ τῶν ἐνεστώτων τὰ πνεύματα ἔχει· «ἢ ἰωνικῶς κατὰ προσθήκην τεθείη» εἶπε διὰ τὸ μύω ἠμύω (τὸ ἐπικλίνω), ὅπερ ψιλοῦται, ὡς δῆλον ἀπὸ τῆς χρήσεως 〈Β 148〉 ἐπί τ ’ ἠμύει ἀσταχύεσσι ν· «ἢ ἑτέρῳ κανόνι κωλύεται» εἶπε διὰ τὸ ἦμος καὶ ἦμαρ· ἐν τούτοις γὰρ κανών ἐστιν ὁ λέγων· τὸ η ἐν τροχαϊκῇ λέξει ψιλοῦται, ἦμαρ ἦμος ἦπαρ ἦδος, πλὴν τοῦ ἧλος· ὤφειλε γὰρ τρισ〈υλλ〉άβως λέγεσθαι ἵηλος· καὶ διὰ τὸ ἤμην Αἰολικόν· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οἱ Αἰολεῖς ἐν ταῖς ἰδίαις λέξεσι τὴν δασεῖαν ὅλως ἀγνοοῦσιν. 〈 Ὥρ α·〉 εἰς τὸ ω δασεῖαν· διὰ τί; Τὸ ω πρὸ τοῦ ρ ἐπιφερομένης μακρᾶς δασύνεται, ὥρα ὡραῖος, εἰ μὴ ἐκ κλίσεως εἴη, ἧς τὸ φωνῆεν ἐν τῷ ἐνεστῶτι ψιλοῦται, οἷον ὀρειβατῶ ὠρειβάτουν. Ἀσεβή ς· εἰς τὸ α ψιλήν· διὰ τί; Τὸ στερητικὸν α ψιλοῦται καθόλου, τὸ δὲ ἀθροιστικὸν δασύνεται· ὅθεν καὶ τὸ ἅλυσις καὶ τὸ Ἅιδης δασύνονται· οὐ γὰρ στερητικά εἰσιν, ἀλλ’ ἀθροιστικά· τὸ γὰρ ἅλυσις πολύλυσίς ἐστι, καὶ τὸ Ἅιδης ὁ ὁμοῦ δεσμῶν καὶ συνέχων πάντας. Τινὲς δὲ ἐπὶ τοῦ Ἅιδης τοιοῦτον ἀποδιδόασι λόγον, οὕτω λέγοντες ὅτι, ἐὰν ἡ δασεῖα ἐκ τοῦ θώρακος ἐξέρχηται, εἰκότως δασύνεται· τί γὰρ Ἅιδου θωρακωδέστερον; Ὄνομ α· 〈εἰσ〉 τὸ ο ψιλήν· διὰ τί; Τὸ ο πρὸ τοῦ ν ψιλοῦται, ὄνυξ ὄναρ ὄνομα· ἄλλως 〈τε〉 πᾶν φωνῆεν ταῖς λέξεσιν ἔξωθεν προστιθέμενον ψιλοῦται, νόμα ὄνομα, δύνη ὀδύνη, στάχυς ἄσταχυς· τὸ ὁπότε καὶ ὁπηνίκα οὐ λυμαίνονται τῷ κανόνι· ἄλλη 〈γὰρ〉 σημασία τοῦ πότε καὶ ἄλλη τοῦ ὁπότε· τὸ μὲν γὰρ πότε ἐπὶ ἀπορίας λαμβάνεται, οἷον «πότε γέγονε τόδε»; «πότε γενήσεται»; τὸ δὲ ὁπότε ἐπὶ ἐγνωσμένων πραγμάτων, οἷον «ὁπότε ἐγένετο τόδε», «ὁπότε γενήσεται»· ὁμοίως καὶ τὸ πηνίκα ἐπὶ ἀπορίας, «πηνίκα πέπρακται τόδε»; «πηνίκα πραχθήσεται»; τὸ δὲ ὁπηνίκα ἐπὶ τῶν δήλων, «ὁπηνίκα πέπρακται τόδε», ἀντὶ 〈τοῦ〉 τότε· ὁμοίως καὶ τὸ ὁποῖος ὁπόσος ὁπηλίκος τοῦ ποῖος πόσος πηλίκος διαφέρουσιν. Διὰ τοῦτο τὰ μὲν λέγονται [ἐπιρρήματα] ἀναφορικά· ἀναφέρουσι γὰρ πρὸς τὰ ἐγνωσμένα· εἰ γάρ τις ἀπορῶν ἔροιτο «πόσον ἂν συνάξωμεν σῖτον ἐκ τῆς ἀρούρης»; «ὁπόσον», εἴποι τις, «κατὰ τὸν παρῳχημένον καιρὸν συνηγάγομεν»· καὶ «ποῖον τὴν ποιότητα»; «ὁποῖον καὶ τότε»· τὰ δὲ ἐπαπορη〈τι〉κά, ποῖος πόσος πηλίκος. Ἀμφότερα γάρ, καὶ τὸ πόσος καὶ τὸ ὁπόσος, ἀρχαί εἰσιν, ἡ μὲν δηλοῦσα ἀπορίαν, ἡ δὲ γνῶσιν, ὥστε οὐκ ἔξωθεν τὸ ο ἐπέρχεται, ἀλλὰ κυρίως λέγεται, ἐπεὶ σημασίαν ἔχει ἰδίαν. 〈 Ἡ δὲ ἀπόστροφος τίθεται,〉 ὅταν διὰ τὴν καλλιφωνίαν κουφίζηται, δύο φωνηέντων συμπεσόντων 〈ἐν〉 συνθέτῳ λέξει, τὸ ἓν φωνῆεν, ὡς ἐντεῦθεν εἴη δῆλον, ὅτι τὸ φωνῆεν ἐξεβλήθη καὶ ἀπεστράφη διὰ τὴν τῆς φωνῆς ὡραιότητα· χάσκει γὰρ ὁ λόγος ἐν ταῖς τῶν φωνηέντων συγκρούσεσι, καὶ δοκεῖ ἀηδής τις καὶ ἀκαλλώπιστος.

155 Τὰ πνεύματα, φασί, διὰ τρόπον ἐπενοήθησαν ἐπιτίθεσθαι ταῖς ἀπὸ φωνήεντος ἀρχομέναις λέξεσιν, ὃν εἰπεῖν μέλλομεν. Ἑπτά φασιν εἶναι φωνήεντα κατὰ μίμησιν τῶν ἑπτὰ πλανητῶν, τῶν ἀστέρων τοῦ οὐρανοῦ, ὧν τὰ ὀνόματα Ζεύς, Ἄρης, Ἥλιος, Ἑρμῆς, Σελήνη, Ἀφροδίτη καὶ [ὁ] Κρόνος· οὗτοι γὰρ μόνοι τῶν ἀστέρων κινοῦνται, καὶ τὰ δώδεκα περιέρχονται ζῴδια, καὶ 〈διὰ〉 ταῦτα ἄλλοτε ἄλλους οἴκους ἔχουσιν. Ὅτε μὲν οὖν οἱ ἀστέρες οὗτοι ἔξω τῶν οἴκων θέοντες προσβάλλουσι ταῖς ἡμετέραις ὄψεσι, κόμην τινὰ δοκοῦσιν ἔχειν· ἐν τοῖς οἴκοις δὲ εἰσελθόντες χωρὶς τῆς κόμης ὁρῶνται. Ἐπεὶ οὖν καὶ τὰ φωνήεντα ἐντεῦθεν ἐμεθοδεύθησαν, ὅτε μέν εἰσιν ἔξω τῶν οἴκων αὐτῶν, ἤτοι τῶν συμφώνων, ἐν ταῖς λέξεσι γενόμενα, τὰ σημεῖα ταῦτα τὰ καλούμενα πνεύματα, τὴν δασεῖαν καὶ τὴν ψιλήν, ὡς κόμην ἐπιφέρονται· ὅτε δὲ ὑπὸ συμφώνων γένωνται, ταῦτα οὐκ ἔχουσιν, ὡς δῆλον ἐκ τοῦ ἔτι οὐκέτι· καὶ οὕτως ἔοικεν ὅτι ἔγραφον οἱ ἀρχαῖοι καὶ τὰς ἄλλας τῶν λέξεων, αἷς συνέβαινεν ἐν ταῖς συνθήκαις τοῖς φωνήεσιν ἐπέρχεσθαι σύμφωνα. Τοῦ λόγου δὲ ἀγνοηθέντος, οὐκ ἐπὶ πᾶσι τὰ νῦν οὕτως, ἀλλ’ ἐν τισὶ γίνεται· καὶ τὸ οὐκέτι μὲν καὶ τὸ οὐκοῦν καὶ τὸ οὐχήκιστα καὶ [τὰ] πολλὰ τοιαῦτα χωρὶς πνευμάτων εὑρήσεις· τὸ δὲ οὐκ ἔστιν, οὐκ ἄξιος, οὐκ ἐγώ καὶ ἁπλῶς τὰ πλείονα μετὰ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκείων πνευμάτων γράφονται· καὶ τῇ μακρᾷ συνηθείᾳ οὐ δυνάμεθα ἀντιτάξασθαι· ὀφθαλμοῖς γὰρ καὶ πράξει [μᾶλλον] πεφύκασι συντίθεσθαι ἄνθρωποι μᾶλλον ἢ λόγῳ καὶ ἀκοῇ. Εἴποι δ' ἄν τις· «οὐχ ἡ ψιλή ἐστιν αὕτη, ἀλλ' ἡ ἀπόστροφος ἡ ἀντὶ τοῦ 〈 ι 〉 · οὐκιάξιος γὰρ ὤφειλεν, οὐκιεγώ, οὐκιέστιν· ἐπεὶ δὲ κουφίζεται τὸ ι , ἀντ' αὐτοῦ τίθεται ἡ ἀπόστροφος». Ἀκούσει δὲ ὅτι τὰς τῶν διαλέκτων φωνάς, ὅσας οἱ Ἕλληνες οὐχ ὡς 〈κοινάς, ἀλλ' ὡσ〉 ἰδίας ἐδέξαντο, οὐδὲ τῷ κανονίῳ ὑπέθεσαν· ἡ οὐκί δὲ λέξις Ἰωνική ἐστιν, ὅθεν οὐδὲ φροντιστέον ἐν ταῖς συνθέσεσιν αὐτῆς, ἀλλὰ τὸ κ ἐνταῦθα προσληπτέον ὡς ἐφελκυστικόν· δύο γὰρ τῶν συμφώνων ἐφελκυστικά, τὸ ν καὶ τὸ κ . Εὔδηλον οὖν ὅτι ἐφελκυστικοῦ προστιθεμένου τὸ πνεῦμα ἀποβάλλεται, ὅτι καὶ πᾶν φωνῆεν σύμφωνον προσλαβὸν τὸ ἑαυτοῦ πνεῦμα ἀποβάλλει, οἷον ἧμος τῆμος· ἀάξιος οὖν, καὶ μετὰ τοῦ ἐφελκυστικοῦ 〈 ν 〉 ἀνάξιος· ὁμοίως καὶ τὸ οὐκ ἄξιος, ἐπειδὴ ἐφελκυστικὸν τὸ κ , τὴν ψιλὴν οὐκ ὤφειλεν ἔχειν· οὔτε δὲ τὴν τοῦ κι ἀπόστροφον ὤφειλεν ἔχειν, ἐπεί, ὡς εἴπομεν, ἡ οὐκί λέξις Ἰωνική ἐστιν, οὐ κοινή, ὥστε τῇ συνηθείᾳ ἑπόμενοι τὸ οὐκ ἐγώ καὶ τὰ τοιαῦτα ψιλοῦμεν. Ἐν δὲ τῷ παρ' αὐτά καὶ κατ' αὐτά μόνη ὤφειλεν ἀπόστροφος τίθεσθαι· ἡ γὰρ πάρ πρόθεσις καὶ ἡ κάτ μονοσύλλαβοι καὶ ἡ ἄν, καὶ ἁπλῶς πᾶσαι μονοσυλλάβως λεγόμεναι χωρὶς τῆς περί, ἀεὶ ταύτης γε δισυλλάβως λεγομένης, ἵνα μὴ συνεμπέσῃ τῷ πέρ συνδέσμῳ, Ἰωνικαί εἰσι, κοιναὶ δὲ γεγόνασι ταῖς προσθήκαις τῶν φωνηέντων· οἱ Ἴωνες γὰρ πάρθεσαν καὶ κάτθεσαν καὶ ἄνθεσαν λέγουσιν, ἡμεῖς δὲ παρέθεσαν καὶ κατέθεσαν καὶ ἀνέθεσαν. Διὸ ἐν τῷ παρ' αὐτά καὶ κατ' αὐτά καὶ τοῖς ὁμοίοις ἀπόστροφος μόνη τίθεσθαι ὤφειλε διὰ τὴν τοῦ φωνήεντος ἔκθλιψιν· τὸ γὰρ πνεῦμα ἀπώλετο τῇ τοῦ συμφώνου πρὸς τὸ φωνῆεν συνθέσει, παρὰ τὸν λόγον, ὅτι τὰ φωνήεντα ἀναλογεῖ τοῖς πλανήταις, τὰ δὲ σύμφωνα τοῖς οἴκοις· ἀλλ' ἡ συνήθεια οὐδὲ τοῦτο ἐφύλαξεν. 〈 Ἡ δὲ ὑφὲν τίθετα ι , ὅταν δύο λέξεις ἐν τῷ ἅμα ὀφείλωσι λέγεσθαι,〉 τῆς βραχείας ἔχουσα τὸ σχῆμα 〈καὶ〉 κατὰ τοῦτο μόνον διαφέρουσα, καθότι ἐκείνη μὲν ἄνωθεν τῆς λέξεως τίθεται, αὕτη δὲ κάτωθεν· ὑφὲν δὲ λεγομένη, ὅτι ἑνοῖ τὰς λέξεις τὰς καθ' ἑαυτὰς σημαινούσας ἄλλο, οἷον εὔ͜νους· καθ' αὑτὸ γὰρ σημαίνει τὸ εὖ τὸ καλῶς καὶ ὁ νοῦς τὸ λογιστικόν, ἡ δὲ σύνθεσις ἄλλην ἔχει σημασίαν· εὔνους γάρ ἐστιν ὁ πρός τινα φιλικῶς διακείμενος καὶ τοῦ νοὸς ἔχων εὖ καὶ καλῶς πρὸς ἐκεῖνον.

156 Ἰστέον δὲ ὅτι αἱ ἁπλαῖ τῶν λέξεων καθολικωτέρας ἔχουσι τὰς σημασίας, ἁπλῶς λεγόμεναι παρὸ συντιθέμεναι· ἰδοὺ γὰρ τὸ εὖ τὸ καθόλου καλὸν σημαίνει, καὶ τὸ νοῦς τὸν καθόλου νοῦν· ὁμοῦ δὲ συντεθεῖσαι αἱ δύο αὗται λέξεις τὸ φίλον σημαίνουσιν, ὅπερ ἐστὶν ὄνομα μερικώτατον. 〈 Ἡ δὲ ὑποδιαστολὴ τίθετα ι , ὅταν διαστεῖλαι καὶ διαχωρίσαι ὀφείλωμέν τινα λέξι ν.〉 ] Διαστολὴ γὰρ λέγεται ἡ διαίρεσις τῶν λέξεων· διαστέλλειν γὰρ λέγεται τὸ διαχωρίζειν. Ὑποδιαστολὴ δέ ἐστιν ἡ προσῳδία ἡ τιθεμένη ὑπὸ τὴν διαστολήν, οἷον ΕΣΤΙΝ, ΑΞΙΟΣ, ἵνα μὴ 〈ὁ〉 συνημμένως ἀναγνοὺς ἀμφιβολίαν τῷ ἀκούοντι ἐμποιήσῃ, τοῦ ν πῇ μὲν δοκοῦντος τέλος εἶναι τοῦ ἔστιν, πῇ δὲ ὑπολαμβανομένου ἀρχὴ τοῦ Νάξιος. Εἰ δέ τις εἴποι ὅτι ἀρκεῖ τὸ πνεῦμα τοῦ φωνήεντος εἰς διάγνωσιν τοῦ «ἔστιν ἄξιος», ἀκούσεται ὅτι ἀρκεῖ μέν, ἀλλὰ πρὸς τὸν ἀναγινώσκοντα, οὐ μέντοι γε δὴ συμβάλλεται τῷ ἀκούοντι· ὁ γὰρ ἀκούων οὐχ ὁρᾷ τὸ πνεῦμα τοῦ ἄξιος· καὶ λοιπὸν εἰ κατὰ συνάφειαν ἀναγνωσθείη τὸ «ἔστιν ἄξιος», ἐμποδίσει αὐτῷ πνεύματος τὸ ἀμετάβολον· εἰ δὲ μεθ' ὑποδιαστολῆς ἀναγνωσθείη τὸ ἄξιος, δέξεται ἀπαρεμπόδιστόν τε καὶ ἀναμφίβολον. Περὶ τέχνης. Ἐπειδήπερ τῷ τεχνικῷ περὶ γραμματικῆς ἡμᾶς πρόκειται διδάξαι, ἡ δὲ γραμματικὴ τέχνη ἐστί, διέξεισι πρῶτον περὶ τέχνης, τί τέ ἐστι τέχνη ὁριζόμενος, καὶ πόσα ταύτης τὰ εἴδη διεξιών. Ἀλλὰ γὰρ πᾶσα ἐπειδὴ τεχνικὴ διδασκαλία ἐξ ὅρου καὶ παρεπομένων θέλει λαμβάνεσθαι, ἔλθωμεν καὶ εἴπωμεν, τί ἐστιν ὅρος· μηδ' ὅλως δὲ μέμψεως ἄξιοι φανησόμεθα, εἰ περὶ τῶν αὐτῶν πάλιν εἴπωμεν, διὸ καὶ τρὶς τὰ καλὰ λέγειν ἐπαινετέον τοῖς γε νοῦν ἔχουσιν. Ὅρος οὖν ἐστιν ὁ τὸ ὂν τί εἶναι δηλῶν, ἤγουν ὁ πάντα τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄντα δηλῶν τί ἐστιν· τὸ γὰρ τί εἶναι ἀντὶ τοῦ τί ἐστι παραλαμβάνεται, καὶ ἔστιν Ἀττικὸν τὸ σχῆμα. Ἢ λόγος ἐκ τῶν καθόλου καὶ κοινῶν 〈καὶ ἰδίου〉 ἴδιόν τι ἀποτελῶν, οἷον «ἄνθρωπός ἐστι ζῷον λογικὸν 〈θνητὸν〉 νοῦ καὶ ἐπιστήμης δεκτικόν»· ἰδού, οὗτος ὁ ὅρος ἐκ τῶν καθόλου καὶ κοινῶν 〈καὶ ἰδίου〉 ἴδιόν τι ἀπετέλεσε, τουτέστι τὸν ἄνθρωπον. Καὶ ἐκ μὲν τῶν καθόλου ἐστὶ τὸ ζῷον· τοῦτο γὰρ καθολικόν ἐστι, φέρεται γὰρ κατά τε τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου καὶ τῶν λοιπῶν εἰδῶν· ἐκ δὲ τῶν κοινῶν τὸ λογικὸν καὶ τὸ θνητόν· οὐ μόνον γὰρ οἱ ἄνθρωποί εἰσι λογικοί, ἀλλὰ καὶ οἱ ἄγγελοι καὶ δαίμονες καὶ νύμφαι τινὲς μακραίωνες· αὗται γὰρ ἔτι ζῶσι καὶ εἰσὶ ζῷα λογικὰ 〈καὶ〉 θνητά· ἀλλ' οὐκ εἰσὶ καὶ ἐπιστήμης δεκτικαί· οὐ γὰρ μανθάνουσιν, ἀλλ' οἴκοθεν τὴν γνῶσιν ἔχουσι, καὶ φύσει πᾶσαν ἐπιστήμην κέκτηνται.

157 Τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν μόνου τοῦ ἀνθρώπου ἐστὶν ἴδιον, μόνος γὰρ ὁ ἄνθρωπος πέφυκε νοῦ καὶ ἐπιστήμης εἶναι δεκτικός· καὶ γὰρ μανθάνει τὴν κατ' ἐνέργειαν γνῶσιν. Ὁρίζονται δ' ἄλλοι τὸν ὅρον οὕτως· «ὅρος ἐστὶ λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος»· καὶ «λόγος» μὲν πρόσκειται διὰ τὸ ἄνθρωπος· δηλοῖ γὰρ τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος· ἐὰν γὰρ εἴπω ἄνθρωπος, ἐδήλωσα τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος· ἀλλ' οὐκ ἔστι λόγος· «σύντομος» δὲ πρόσκειται, ἐπειδὴ εἰσὶ λόγοι διηγηματικοί, ἤγουν ἐν πλάτει θεωρούμενοι, ὡς ὁ κατὰ Μειδίου λόγος Δημοσθένους· ὁ δὲ ὅρος σύντομος θέλει εἶναι πρόσκειται 〈δὲ〉 «δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος» διὰ τὰ ἀποφθέγματα, τὸ «μηδὲν ἄγαν», τὸ «γνῶθι σαυτόν»· οὗτοι γὰρ καὶ λόγοι εἰσὶ καὶ σύντομοι, ἀλλ' οὐκ εἰσὶν ὅροι, ἐπειδὴ οὐκ εἰσὶ δηλωτικοὶ τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος. Ταῦτα μὲν ἐν τούτοις. Ἰστέον δὲ ὅτι τὴν τέχνην τινὲς μὲν οὕτως ὡρίσαντο, «μέθοδος ἐνεργοῦσα τῷ βίῳ τὸ συμφέρον»· ὁ δὲ Ἀριστοτέλης, «ἕξις ὁδοῦ τοῦ συμφέροντος ποιητική»· ἕξις δέ ἐστι πρᾶγμα μόνιμον καὶ δυσκατάληπτον. Ὁ δὲ τεχνικὸς οὕτως· «τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ»· καὶ ἔστι τὸ μὲν «σύστημα» ἀντὶ γένους· καὶ γὰρ ἐπὶ δήμου λαμβάνεται, καὶ σημαίνει τὸ ἄθροισμα, καὶ ἐπὶ ἄλλων πολλῶν· τὰ δὲ λοιπὰ συστατικαὶ διαφοραί· τὸ δὲ «[ἐγ]καταλήψεων» ἀντὶ τοῦ ἐνθυμημάτων καὶ ἐφευρημάτων τέθειται. Ἐπεὶ δὲ καὶ ὁ πεῖραν ἔχων πλῆθος μὲν ἔχει ἐφευρημάτων, οὐ μὴν ἠκριβωμένων καὶ δεδοκιμασμένων πολλάκις, διὰ τοῦτο τέθειται τὸ «ἐγγεγυμνασμένων», ἵνα διαστέλληται ἡ τέχνη ἀπὸ τῆς πείρας. Τὸ δὲ «πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ» εἴρηται διὰ τὴν ματαιοτεχνίαν καὶ κακοτεχνίαν, περὶ ὧν ἐν τῇ προθεωρίᾳ εἰρήκαμεν. Τῆς δὲ καθόλου τέχνης διαφοραί εἰσι τέσσαρες, θεωρητική, πρακτική, ποιητική, μικτή, ἵνα καὶ πάλιν περὶ αὐτῶν εἴπωμεν. Καὶ θεωρητικαὶ μέν, ὅσαι λόγῳ μόνῳ παραδίδονται, καθάπερ 〈ἡ〉 ἀστρονομία· ὁ γὰρ ἀστρονόμος λόγῳ μόνῳ παραδίδωσι τὸν ἥλιον εἶναι σήμερον, εἰ τύχοι, ἐν τῷ ὑδροχόῳ. Πρακτικαὶ δέ, ὅσαι δι' ὀργάνων ἐνεργοῦσιν, ὡς ἡ στρατηγική· ἐν γὰρ ταῖς παρατάξεσι δέονται κριῶν καὶ ἄλλων τῶν πρὸς τειχομαχίαν πεποιημένων· ἢ ὅσαι μέχρι τοῦ γενέσθαι ὁρῶνται τέχναι, ὡς ἡ αὐλητικὴ καὶ ἡ ὀρχηστική· ἐφ' ὅσον γὰρ οὗτοι ἐνεργοῦσιν, ὁρῶνται καὶ γνωρίζονται ὄντες αὐληταὶ καὶ ὀρχησταί· Ποιητικαὶ δὲ τέχναι λέγονται, ὅσαι ὕλην λαβοῦσαι ἀδιατύπωτον ἐποίησάν τι εἰς μνήμην τοῦ δημιουργήσαντος, οἷον 〈ἡ〉 ἀνδριαντοπλαστική· χαλκὸν γὰρ καὶ ὕλην λαβοῦσα ἀδιατύπωτον ὁμοίωμά τι ἀπετέλεσε· καὶ ἡ σκυτομική σκῦτος γὰρ λαβοῦσα ἀδιατύπωτον ἐχάραξε κάττυμα.

158 Αἱ δ' ἐκ τούτων μικταί, αἳ θεωρητικοῦ καὶ πρακτικοῦ καὶ ποιητικοῦ μετέχουσιν, οἷον ἡ ἰατρική· κοινωνεῖ γὰρ τῷ θεωρητικῷ, ὅταν διατάττηται τοῖς νοσοῦσι δίαιτάν τινα· τῷ δὲ πρακτικῷ, ὅταν σμίλην λαβοῦσα διορθῶταί τι τῶν μελῶν τοῦ σώματος τῶν ἀσθενούντων· πάλιν δὲ τῷ ποιητικῷ, ὅταν τῇ ὕλῃ τῶν βοτανῶν χρησαμένη ἀποτελέσῃ φάρμακον. Ἧς ἀδελφή ἐστιν ἡ γραμματική, περὶ ἧς τὰ νῦν πρόκειται λέγειν· καὶ αὐτὴ γὰρ τοῦ μικτοῦ ἐστιν εἴδους. Ὅταν 〈μὲν〉 γὰρ κανόνας ἀποδιδῷ τοῖς νέοις, κοινωνεῖ τῷ θεωρητικῷ· ὅταν δὲ κάλαμον λαβοῦσα

στίζῃ καὶ ὀρθῶται τὰς μὴ εὖ ἐχούσας τῶν λέξεων, τῷ πρακτικῷ· τῷ δὲ ποιητικῷ, ὅταν τὴν ὕλην τῶν διαλελυμένων λέξεων τέχνῃ καὶ μέτρῳ συναρμόσῃ καὶ τέλειον στίχον ἀπεργάσηται. Τὰ δὲ παρεπόμενα τῇ καθόλου τέχνῃ ἐν τῇ προθεωρίᾳ εἰρήκαμεν· οὐκοῦν εἴπωμεν περὶ γραμματικῆς, καὶ πρῶτον τὸν βίον τοῦ τεχνικοῦ διεξέλθωμεν. Ἰστέον δὲ ὅτι Διονύσιος ὁ Θρᾷξ ὁ τὴν τέχνην συγγραψάμενος τὴν γραμματικὴν τὸ μὲν γένος ἦν Βυζάντιος, ἐκαλεῖτο δὲ Θρᾷξ, τῷ μείζονι κοσμούμενος τῆς χώρας ὀνόματι. Ἐγένετο δὲ ἄγαν σπουδαῖος καὶ φιλομαθής, ὥστε πάντας ὑπερβάλλεσθαι τοὺς κατ' αὐτόν· σφόδρα δὲ κατορθώσας τὴν τέχνην τὴν γραμματικήν, οὐ μόνος ἔχειν ἠθέλησε τῆς γνώσεως τὴν ἀπόλαυσιν, οὔτε μέχρι τῆς οἰκείας ψυχῆς ἔστησε τὴν ὠφέλειαν, ἀλλὰ φιλάνθρωπος ὢν καὶ ἄφθονος καθ' ὑπερβολήν, ἐσπούδασεν εὐεργέτης γενέσθαι τῶν σπευδόντων, θεμέλιον τοῖς νέοις εἰσαγωγικὴν συγγραψάμενος τέχνην, πᾶσάν τε αὐτὴν δυσκολίας ἐκτὸς ποιησάμενος, ἵνα μὴ τῇ αὐτῆς δυσκολίᾳ φευκτέα νομίζηται, ποθεινὴ δὲ μᾶλλον ὑπάρχῃ τοῖς ἐντυγχάνουσιν. Πεποίηκε δὲ αὐτὴν πολλῇ χρησάμενος ἀκολουθίᾳ καὶ τάξει· καὶ πρῶτον μὲν ὁρίζεται, τί ἐστι γραμματική, ἐπεὶ καὶ περὶ αὐτῆς λέγειν προέθετο· ἔπειτα διεξέρχεται περὶ τῆς ἀναγνώσεως, καταλαμβάνεται δὲ αὕτη διά τε τῶν τόνων καὶ τῶν στιγμῶν· πρόεισι δὲ λοιπὸν καὶ ἐπὶ τὰς συλλαβάς, αἵτινες καὶ αὐταὶ ἐκ τῶν στοιχείων συνίστανται· εἶτά τε καὶ περὶ αὐτῶν διεξελθών, πόσα τέ ἐστι καὶ ποσαχῶς διαιρεῖται, μετέρχεται διδασκαλικῶς καὶ ἐπὶ τὰ ὀκτὼ μέρη τοῦ λόγου, δι' ὧν ἡ πᾶσα καταλαμβάνεται τέχνη, μετὰ πολλῆς σαφηνείας ἑκάστου τὸν ὅρον ἐκθέμενος, καὶ ὅπως δεῖ ταῦτα συντόμως μαθεῖν.

159 Ἔστι γὰρ πρέπον ἐν ταῖς εἰσαγωγαῖς τὰ δύσκολα καὶ ὑπερβαίνοντα τὴν δύναμιν τῶν εἰσαγομένων σιωπᾶν καὶ καταλιμπάνειν, ἵνα οὕτω κατ' ὀλίγον οἱ τῆς τέχνης ἁπτόμενοι τὰ ὁδηγοῦντα προοίμια τῶν κανόνων μανθάνωσιν. Ἀλλὰ γὰρ ἐπεὶ περὶ τοῦ τεχνικοῦ ταῦτα διεξήλθομεν, φέρε δὴ καὶ ἐνταῦθα τὰ εἰωθότα πανταχοῦ ζητεῖσθαι τοῖς ἐξηγηταῖς ὀκτὼ κεφάλαια θεωρήσωμεν. Ἰστέον οὖν ὅτι σκοπὸν ἔχει ὁ Διονύσιος ὡς ἐν εἰσαγωγῇ παραδοῦναι πάντα τῆς γραμματικῆς τὰ θεωρήματα, μάλιστα δὲ τὰ ὀκτὼ μέρη τοῦ λόγου. —Τὸ δὲ χρήσιμον τοῦ παρόντος συγγράμματος ὁ σκοπὸς φανεροῖ. Οἶμαι δὲ ὅτι οὐ μόνον [τὸ] χρήσιμον, ἀλλὰ καὶ ἀναγκαῖόν ἐστι τὸ παιδεύεσθαι γράμματα, ὧν χωρὶς οὔτε ἴδιαι τάξεις οὔτε πολιτικαὶ δύνανται συστῆναι· εἰ γοῦν τὰ γράμματα ἀναγκαιότατά εἰσι, περὶ δὲ γραμμάτων ἡ γραμματικὴ διαλαμβάνεται, τῶν ἀναγκαιοτάτων ἄρα τῷ βίῳ καὶ χρησιμωτάτων τὸ τῆς γραμματικῆς καθέστηκε μάθημα. Μάθοι δ' ἄν τις ἐντεῦθεν ἀκριβέστερον· μουσικὴν μὲν γάρ τις ἀγνοῶν ἢ ἀστρονομίαν ἤ τινα τῶν ἄλλων λογικῶν τεχνῶν, οὐκ ἂν αἰσχύνοιτο, ὡς ἂν οὐ μεγάλα πρὸς τὰς χρείας τοῦ βίου βλαπτόμενος· ἐὰν δὲ γραμμάτων τις ἐστερημένος εὑρεθῇ, ἀμαθὴς ὑπάρχει. Ὅθεν οὐδὲ τοὺς οἰκέτας ἀπεστέρουν οἱ χαρίεντες τῆς τοιαύτης παιδεύσεως· ὁ γοῦν παρὰ τῷ Θεοφίλῳ τῷ κωμικῷ θεράπων ἐν τοῖς Ἀποδήμοις 〈fr. 1 K〉 λέγει· καί τοι τί φημι καὶ τί δρᾶν βουλεύομαι; προδοὺς ἀπιέναι τὸν ἀγαπητὸν δεσπότην, τὸν τροφέα, τὸν σωτῆρα, δι' ὃν εἶδον νόμους Ἕλληνας, ἔμαθον γράμματ', ἐμυήθην θεοῖς· ὥσπερ γὰρ τῶν ἱερῶν μεταδιδόασι τοῖς οἰκέταις καὶ τῶν νόμων, οὕτω μαθήσεως γραμμάτων μεταδιδόασιν αὐτοῖς, ἵνα τοῖς γράμμασιν ἡμεροῖντο καὶ πρὸς τὰς τοῦ βίου χρήσεις ὦσι πεπαιδευμένοι. Ἔχει δὲ ἡ γραμματικὴ καὶ ψυχαγωγίαν ἐμμελῆ, διδάσκουσα κάλλος ποιημάτων, ἱστορίαις τε καὶ μύθοις κατᾴδουσα· φιλόμυθος γὰρ ὁ ἄνθρωπος. Καὶ ἁπλῶς πρὸς ἑκάστου βίον συντελεῖ· ὁ μὲν γὰρ πολεμικὸς παρατάξεσι χαίρει ταῖς πεζαῖς τε καὶ ναυτικαῖς, ὁ δὲ εἰρηνικὸς ὑποθήκαις καὶ παραινέσεσιν, 〈ὁ δ' ἀγωνιστὴς〉 ἱππικῶν τε ἀγώνων ἀκροάσεσι καὶ μουσικῶν.

160 Λυσιτελεῖ δὲ καὶ τῷ ἑλληνισμῷ, ὀρθότητα διδάσκουσα λέξεων καθ' ἑκάστην διάλεκτον, οὗ κάλλιον οὐδέν ἐστι τῷ γένει τῶν ἀνθρώπων· τὸν γὰρ δοθέντα πρὸς τοῦ θεοῦ λόγον θειότερον ὡς ἀληθῶς ἐποίησεν, ἐπανορθοῦσα πᾶν τὸ ἄτακτον καὶ πλημμελές. Προτροπαὶ δὲ καὶ διδασκαλίαι καὶ ἀποτροπαὶ καὶ νουθεσίαι πόθεν οὕτω καλαὶ καὶ πολύτροποι πλὴν παρὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητῶν, οὓς διασῴζει καὶ συνίστησι γραμματική; πόθεν δ’ ἄν τις ἀρύσαιτο μαθήματα μᾶλλον σπουδαῖα καὶ πολιτεύματα; τίς δὲ ἄμεινον δικαιώματα πόλεων καὶ ἐθνῶν εὑρεῖν δύναται καὶ διοικῆσαι κτίσεις κατ’ ἀκρίβειαν, γράμματα μηδαμῶς ἐπιστάμενος; Ὅθεν οὐκ ἀπὸ σκοποῦ καὶ Ἐρατοσθένης ἔφη, ὅτι γραμματική ἐστιν ἕξις παντελὴς ἐν γράμμασι, γράμματα καλῶν τὰ συγγράμματα. Ὅτι δὲ γράμματα τὰ συγγράμματα, δηλοῖ ὁ Καλλίμαχος εἰπὼν 〈epigr. 7 Sch〉 Ὁμήρειον δὲ καλεῦμαι Γράμμα, ἀντὶ τοῦ σύγγραμμα· καὶ πάλιν παρὰ τῷ αὐτῷ 〈epigr. 25 Sch〉 περὶ Κλεομβρότου· εἴπας «ἥλιε χαῖρε» [φαεινὲ] Κλεόμβροτος Ἀμβρακιώτης ἥλατ’ ἀφ’ ὑψηλοῦ τείχεος εἰς Ἀΐδην, ἄξιον οὔ τι παθὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος ἓν τὸ περὶ ψυχῆς γράμμ’ ἀναλεξάμενος· πρὸς τοῦτο δὲ εἶπεν Ὀλυμπιόδωρος ὁ φιλόσοφος 〈Cougny III 177〉 εἰ μὴ γράμμα Πλάτωνος ἐμὴν ἐπέδησεν ἐρωήν, ἤδη λυγρὸν ἔλυσα βίου πολυκηδέα δεσμόν, τουτέστιν εἰ μὴ ὠφελήθην ἐκ Πλάτωνος τρόπον εὐζωΐας, προέκρινα ἂν μὴ εἶναι ἢ κακῶς εἶναι. Περὶ δὲ τοῦ εἰ ἔστι γνήσιον τὸ παρὸν σύγγραμμα Διονυσίου τοῦ Θρᾳκὸς ἠμφισβήτηται· ἐπεχείρησαν γάρ τινες οὕτως εἰπόντες, ὡς οἱ τεχνικοὶ μέμνηνται Διονυσίου τοῦ Θρᾳκὸς καὶ λέγουσιν, ὅτι διεχώριζε τὴν προσηγορίαν ἐκεῖνος ἀπὸ τοῦ ὀνόματος καὶ συνῆπτε τῷ ἄρθρῳ τὴν ἀντωνυμίαν· ὁ δὲ παρὼν τεχνικὸς τὴν προσηγορίαν καὶ τὸ ὄνομα ἓν μέρος λόγου οἶδεν ἐν οἷς φησιν 〈p. 23, 2 Uhl〉 «ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται», καὶ τὸ ἄρθρον καὶ τὴν ἀντωνυμίαν δύο μέρη λόγου γινώσκει, καὶ οὐχὶ ἕν. Ἔστιν οὖν εἰπεῖν, ὡς ἐκεῖνος ὁ Διονύσιος ἄλλος ἦν· ἐκεῖνος μὲν γὰρ μαθητὴς ἦν Ἀριστάρχου, ὃς καὶ τὸν ἑαυτοῦ διδάσκαλον ζωγραφήσας ἐν τῷ στήθει αὐτοῦ τὴν τραγῳδίαν ἐζωγράφησε διὰ τὸ ἀποστηθίζειν αὐτὸν πᾶσαν τὴν τραγῳδίαν· οὗτος δέ ἐστιν ὁ λεγόμενος ὁ τοῦ Πηροῦ· ἐλέγετο δὲ καὶ οὗτος Θρᾷξ, ἢ διὰ τὸ τραχὺ ἴσως τῆς φωνῆς, ἢ διότι καὶ τῇ ἀληθείᾳ Θρᾷξ ἦν· εἰκὸς δὲ καὶ κατὰ πλάνην κληθῆναι αὐτὸν Θρᾷκα.

161 Ὅτι δὲ ἄλλος ἐστὶν ἐκεῖνος καὶ ἄλλος οὗτος, δηλοῖ καὶ ὁ παρ’ ἀμφοτέρων ὁρισμὸς τοῦ ῥήματος· οὗτος μὲν γὰρ οὕτως τὸ ῥῆμα ὁρίζεται, 〈p. 46, 4 Uhl〉 «ῥῆμά ἐστι λέξις ἄπτωτος, ἐπιδεκτικὴ χρόνων τε καὶ προσώπων καὶ ἀριθμῶν, ἐνέργειαν ἢ πάθος παριστῶσα»· ὁ δὲ Διονύσιος ὁ Θρᾷξ, ὥς φησιν Ἀπολλώνιος ἐν τῷ Ῥηματικῷ, οὕτως ὁρίζεται τὸ ῥῆμα, «ῥῆμά ἐστι λέξις κατηγόρημα σημαίνουσα». Τὸ δὲ παρὸν σύγγραμμα πρὸ πάντων ἀναγινώσκεται ὡς ἐν εἰσαγωγῆς τάξει, περιέχον πάντα τὰ ὀκτὼ μέρη τοῦ λόγου, καὶ ἔτι περὶ στοιχείων καὶ συλλαβῶν διδάσκον, καὶ λέγον ἃ πρὸ παντὸς ἄλλου δέον ἀναγινώσκεσθαι. —Ἐπιγέγραπται δὲ τὸ παρὸν σύγγραμμα κατὰ μέν τινας «περὶ γραμματικῆς», κατὰ δὲ ἑτέρους «περὶ κριτικῆς τέχνης»· κριτικὴ δὲ λέγεται τέχνη ἐκ τοῦ καλλίστου μέρους, 〈p. 6, 2 Uhl〉 «ἕκτον» γάρ ἐστι «κρίσις ποιημάτων, ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ»· 〈ἢ〉 κριτικὴ λέγεται, ἐπειδὴ ἐν αὐτῇ 〈ἔχει〉 τὴν κρίσιν καὶ τὴν ἐξέτασιν τῆς ποιότητος τῶν μερῶν τοῦ λόγου. —Διαιρεῖται δὲ εἴς τε τὴν τοῦ ἀναγνωστικοῦ διδασκαλίαν καὶ εἰς τὴν περὶ ῥαψῳδίας, ἔτι εἰς τὴν τῶν ὀκτὼ μερῶν τοῦ λόγου παράδοσιν. Τεσσάρων δ’ ὄντων τῶν διδασκαλικῶν τρόπων, διαιρετικοῦ, ὁριστικοῦ, ἀποδεικτικοῦ καὶ ἀναλυτικοῦ, τῷ διαιρετικῷ χρῆται μόνῳ καὶ τῷ ὁριστικῷ· πάντα τε γὰρ τὰ μέρη τοῦ λόγου ὁρίζεται, καὶ ἓν ἕκαστον αὐτῶν διαιρεῖ, τὸ μὲν ὄνομα εἰς κύριον καὶ προσηγορικὸν καὶ ἐπίθετον καὶ τὰ λοιπά, τὸ δὲ ῥῆμα εἰς ὁριστικόν, εἰς προστακτικὸν καὶ τἄλλα. Ἀνάγεται δὲ τὸ προκείμενον βιβλίον ὑπὸ τὸ λογικὸν ὄργανον· πᾶσα γὰρ τεχνικὴ διδασκαλία ὑπὸ τὸ λογικὸν ὄργανον ἀνάγεται. Ἰστέον ὅτι οἱ Στωϊκοὶ οὕτως ὁρίζονται τὴν τέχνην· «τέχνη ἐστὶ σύστημα [περὶ ψυχὴν γινόμενον] ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ». «Σύστημα» μὲν σημαίνει τὸ ἄθροισμα, «ἐκ καταλήψεων» δὲ τὸ ἐξ ἐφευρέσεων, «ἐγγεγυμνασμένων» δὲ τὸ δεδοκιμασμένων, τὸ δὲ «πρός τι τέλος» πρὸς ἀόριστον τέλος· τὸ γὰρ τί σημαίνει τέσσαρα, ἀόριστόν τι πρᾶγμα, καὶ ὡρισμένον, καὶ τὸ ἑνιαῖον, καὶ προσδιορισμόν· ἀλλὰ καὶ τὸ τέλος δηλοῖ ἕξ, τὴν πρόσοδον, τὸ ἀξίωμα, τὸ δαπάνημα, τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑορτήν, τὸ πεπληρωμένον ἔργον καὶ τὸ δημόσιον· ἀλλὰ καὶ ὁ βίος σημαίνει τέσσαρα, τὸν πλοῦτον, τὴν ἑκάστου [κοινὴν] ζωήν, τὸ ἑκάστου ἐπιτήδευμα καὶ τὸν ἐπιτήδειον χρόνον εἰς μάθησιν.

162 Ὃ οὖν λέγει τοιοῦτόν ἐστι [πρός τι τέλος]· τέχνη ἐστὶν ἄθροισμα ἐξ ἐφευρέσεων δεδοκιμασμένων πρὸς ἀόριστον τέλος χρησιμώτατον πρὸς τὴν ἑκάστου τῶν ὄντων ζωήν. Τῶν δὲ τεχνῶν διαφοραί εἰσι δύ ο.] Δύο μὲν οὗτος εἶπε διὰ τὸ φιλοσύντομον, τρεῖς δὲ ὅμως εἰσί, λογικαί, πρακτικαί, μικταί· καὶ λογικαὶ μὲν λέγονται, ὅσαι λόγῳ μόνῳ κατορθοῦνται, ὡς ἀστρονομία καὶ γεωμετρία· πρακτικαὶ δέ, ὅσαι πράξει, ὡς ἡ τεκτονικὴ καὶ ἡ σκυτοτομική· μικταὶ δέ, ὅσαι μετέχουσι λόγου καὶ πράξεως, ὡς ἡ γραμματικὴ καὶ 〈ἡ〉 ἰατρική. Κατὰ πόσους τρόπους διαφέρει τέχνη ἐπιστήμης; Κατὰ δύο, κατὰ τὸ καθολικώτερον καὶ μερικώτερον, καὶ 〈κατὰ τὸ〉 πταιστὸν καὶ ἄπταιστον· 〈προσήκει δὲ τῷ μὲν καθολικῷ τὸ ἄπταιστον〉, τῷ δὲ μερικῷ τὸ πταιστόν. Ἐπιστήμη δέ ἐστιν ἕξις ἀμετάπτωτος ἐν ψυχῇ ἐπιγινομένη λογική, ὡς ἀστρονομία καὶ μουσική· προστιθέασι δὲ τὸ περὶ ψυχήν, χωρίζοντες αὐτὸ ἀπὸ τῶν ἄλλων συστημάτων, οἱονεὶ στρατιωτικῶν, πολιτικῶν καὶ τῶν τοιούτων, ἅτινα οὐ περὶ ψυχὴν γίνονται, ἀλλὰ περὶ τρόπον τινά. Ἐπεὶ τὰ εἰωθότα ζητεῖσθαι κεφάλαια τοῖς ἐξηγηταῖς προειρήκαμεν καὶ τὴν τέχνην ἀξίως ὡρισάμεθα, φέρε εἴπωμεν καὶ τί ἐστιν ἐπιστήμη καὶ ἐμπειρία καὶ πεῖρα, ἵνα καὶ ταῦτα μαθόντες ἑνὶ τούτων τὴν γραμματικὴν οἰκειώσωμεν. Ἐπιστήμη τοίνυν ἐστὶν ἕξις ἀμετάπτωτος ἤγουν ἄπταιστος, λογικὴ ἤγουν διὰ λόγου θεωρουμένη, ὡς ἀστρονομία καὶ γεωμετρία· ἐμπειρία δὲ ἡ τῶν ὡσαύτως ἐχόντων πραγμάτων τήρησίς τε καὶ μνήμη μερική, ὡς εἴ τις ἀνὴρ ἰδιώτης τραύματί τινι βοτάνην προσαγαγὼν καὶ τυχαίως τὸ πάθος ἰασάμενος ἔκτοτε κατὰ τῶν ὁμοίων τραυμάτων τῇ τοιαύτῃ βοτάνῃ χρήσαιτο, μὴ λόγον τῆς θεραπείας ἀποδιδούς· διὸ καὶ τοὺς ἰατροὺς τοὺς εἰδότας μὲν ἐκ τῆς συνεχοῦς τριβῆς 〈περιοδεύειν, μὴ δυναμένους δὲ λόγον ἀποδοῦναι τῆς περιοδείας,〉 ἐμπειρικοὺς ὀνομάζομεν· πεῖρα δέ ἐστιν ἡ ἅπαξ τινὸς πράγματος δοκιμασία ἄλογος, ὡς ὅταν τις ἅπαξ ἢ δίς που πλεύσας εἴπῃ «πεῖραν ἔλαβον τοῦ πλεῖν». Ἐπεὶ οὖν τῶν τεσσάρων τὴν διαφορὰν μεμαθήκαμεν, φημὶ δὲ τῆς τέχνης, τῆς ἐπιστήμης, τῆς ἐμπειρίας 〈καὶ〉 τῆς πείρας, σκεψώμεθα ποίᾳ μᾶλλον οἰκειώσωμεν τὴν γραμματικήν. Καὶ ὅτι μὲν οὐκ ἔστιν ἐπιστήμη, ἔστι δῆλον· οὐ γὰρ ἄπταιστος, ἀλλ' ἐν πολλοῖς ἀτελὴς εὑρίσκεται ἐκ τοῦ πολλὰ μὴ κατορθοῦν, ἀλλ' ἐν τοῖς 〈σε〉 σημειωμένοις ἐᾶν· ὅτι δὲ οὐδὲ ἐμπειρία κατὰ Διονύσιον, φανερόν· οὐ γὰρ ἀμοιρεῖ λόγου τοῦ κυροῦντος αὐτήν· εἰ δ' οὐκ ἐμπειρία, πολλῷ μᾶλλον οὐδὲ πεῖρα.

163 Τέχνην τοίνυν αὐτὴν ὑποληπτέον· συνέστηκε γὰρ ἐκ διαφόρων μεθόδων καὶ καταλήψεων ἠκριβωμένων ἐν τέχνῃ καὶ ἱστορίᾳ· τὸ δὲ τέλος ἔχει βιωφελές· ποιημάτων γὰρ μήτηρ ἐστίν, ἐξ ὧν μεγίστη τῷ βίῳ συμβουλὴ καὶ ἀσφάλεια καὶ τῶν δικαίων ἀπόλαυσις. Ὅτι γὰρ συμβουλεύειν οἶδε τὸ χρειῶδες ἡ ποιητική, ἄκουε καὶ Ὁμήρου λέγοντος 〈γ 267—272〉 · πὰρ γὰρ ἔην καὶ ἀοιδὸς ἀνήρ, ᾧ πόλλ' ἐπέτελλεν Ἀτρείδης, Τροίηνδε κιών, εἴρυσθαι ἄκοιτιν· ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι, δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι· τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε. Τοῦτο δὲ καὶ Σόλων εἰδώς, ὡς ἐμψυχότεραί εἰσι μᾶλλον αἱ ἔμμετροι τῶν παραινέσεων καὶ τῇ χάριτι τοῦ ῥυθμοῦ ψυχαγωγοῦσι τὸν ἀκροατήν, ἐμμέτρως παρῄνεσεν· ὁμοίως καὶ ὁ Ἡσίοδος καὶ ἄλλοι πολλοὶ τῶν σοφῶν. Ἄλλως τε καὶ τὸν ἑλληνισμὸν ἀκριβοῖ πάσῃ λογικῇ μεθόδῳ περισπούδαστον ὄντα, προσῳδιῶν καὶ χρόνων ἔτι δὲ καὶ 〈ὀνοματικῶν καὶ〉 ῥηματικῶν κινήσεων ἕνεκεν [πρεσβεύει τῶν ἄλλων τεχνῶν], ὧν ἡ ἄγνοια πολλὰ τοὺς ἀμετόχους ἔβλαψε· καὶ γὰρ Ἡγέλοχος ὁ τῆς τραγῳδίας ὑποκριτὴς οὐκ ἂν τοσοῦτον ὠφλήκει παρ' Ἀθηναίοις τὸν γέλωτα, εἰ τὴν ἐν τῷ ἰάμβῳ ἀπόστροφον ἐγνώκει· Ξενοκράτην δὲ τὸν φιλόσοφον λέγουσι, βουλομένου τινὸς ἀγραμματικεύτου φιλοσοφεῖν, εἰπεῖν «ἄπιθι, λαβὰς γὰρ

φιλοσοφίας οὐκ ἔχεις». Ἀλλ’ εἴ μοι ἐρεῖς, ὡς πολλοὶ δίχα γραμματικῆς ἐφιλοσόφησαν, ὡς Σίμων ὁ σκυτεὺς παρὰ Σωκράτει καὶ Κλειτόμαχος ὁ βάρβαρος, πόσῳ μᾶλλον ἀμείνους ἦσαν, φαίην ἄν, εἰ μετειλήφεισαν καὶ γραμματικῆς. 〈Καὶ〉 εὑρήσομεν ὡς μόνον οὐ τέχνη τεχνῶν ἡ γραμματική. Ὠνομάσθη δὲ γραμματικὴ παρὰ τὸ γράμμα, ὃ δηλοῖ πολλά, τοὺς τῶν στοιχείων τύπους, 〈καὶ〉 τὰ τῶν σοφῶν ἀπομνημονεύματα, καὶ τὸ ἐπίγραμμα, καὶ τὸ ποίημα· Ὁμήρειον δὲ καλεῦμαι Γράμμα, ὁ Καλλίμαχος· καὶ ἀλλαχοῦ ὁ αὐτὸς ποτὲ μὲν τὸ ποίημα καλεῖ γράμμα, ποτὲ δὲ τὸ καταλογάδην σύγγραμμα, ὡς ἐκεῖ 〈epigr. 7 Sch〉 : Κρεωφύλου πόνος εἰμί, δόμῳ ποτὲ θεῖον ἀοιδὸν δεξαμένου· κλείω δ’ Εὔρυτον, ὅσ〈σ〉’ ἔπαθε, καὶ ξανθὴν Ἰόλειαν.

164 Ὁμήρειον δὲ καλεῦμαι γράμμα Κρεωφύλου. Ἀπὸ τοῦδε τοίνυν τοῦ δηλοῦντος τὸ ποίημα ὠνομάσθη γραμματικός, ὡς πρᾶγμα πράγματος πραγματικός, ὁ πολλῶν ποιημάτων ἐπιστήμων. Ὁρίζονται δὲ τὴν γραμματικὴν οὕτως· γραμματική ἐστιν ἕξις θεωρητική τε καὶ καταληπτικὴ τῶν κατὰ πλεῖστον παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων, δι’ ἧς ἑκάστην λέξιν τῷ οἰκείῳ κόσμῳ ἀποδιδόντες εὐκατάληπτον ἐξ ἀπείρου κατασκευάζουσιν. Μέρη δὲ αὐτῆς τέσσαρα, ἀναγνωστικόν, ἐξηγητικόν, διορθωτικὸν καὶ κριτικόν· ὄργανα 〈δὲ〉 τέσσαρα, γλωσσηματικόν, ἱστορικόν, τεχνικόν, μετρικόν. Πολλὴ δέ ἐστιν ἡ διαφορὰ μέρους καὶ ὀργάνου καὶ εἴδους· εἶδος γάρ ἐστιν ὃ διῄρηται μὲν ἐκ τοῦ γένους, αὐτοτελὲς δέ ἐστι καὶ μηδενὸς εἰς συμπλήρωσιν δεόμενον, οἷον εἰ λέγοιμεν γένος τὸ φυτόν, εἶδος δὲ τὴν ἐλαίαν, καὶ γένος τὴν τέχνην, εἶδος δὲ τὴν γραμματικήν· τὸ δὲ μέρος ἀτελὲς καὶ ἀπόσπασμα ἑνὸς μόνου, ὡς λέγομεν πρύμναν, μόνης γὰρ νηός, καὶ στέλεχος, μόνου γὰρ φυτοῦ. Καὶ τὸ μὲν εἶδος ἔχει ἐν ἑαυτῷ τὸ γένος· εἴ τι γὰρ ἐλαία, τοῦτο καὶ φυτόν, καὶ εἴ τι ἵππος, τοῦτο καὶ ζῷον· τό γε μὴν μέρος οὐχ οὕτως ἔχει· οὔτε γὰρ αὐτοτελές τί ἐστιν, ὡς τὸ εἶδος, οὔτε ἐν ἑαυτῷ περιέχει τὸ ὅλον. Καὶ ταῦτα μὲν περὶ 〈εἴδους καὶ περὶ〉 μέρους. Τὸ δὲ ὄργανον διαφόροις ὑποπίπτει τέχναις, ὡς τρύπανον, σκέπαρνον καὶ τὰ τοιαῦτα· ὑποπίπτουσι γὰρ τῇ τε λεπτουργικῇ καὶ ναυπηγικῇ καὶ ἄλλαις τισὶ τῶν τεχνῶν. Διττὴ δέ ἐστιν ἡ γραμματική· ἡ μὲν γὰρ περὶ τοὺς χαρακτῆρας καὶ τὰς τῶν στοιχείων ἐκφωνήσεις καταγίνεται, ἥτις καὶ γραμματικὴ λέγεται παλαιά, οὖσα καὶ πρὸ τῶν Τρωϊκῶν, σχεδὸν δὲ καὶ ἅμα τῇ φύσει προελθοῦσα· ἡ δὲ περὶ τὸν ἑλληνισμόν, ἥτις καὶ νεωτέρα ἐστίν, ἀρξαμένη μὲν ἀπὸ Θεαγένους, τελεσθεῖσα 〈δὲ〉 παρὰ τῶν Περιπατητικῶν Πραξιφάνους τε καὶ Ἀριστοτέλου ς· καὶ τῆς μὲν γραμματικῆς τέλος τὸ εὖ ἀναγινώσκειν, τῆς δὲ γραμματικῆς τὸ εὖ γράφειν. § 1.

165 (1t) Περὶ γραμματικῆς. Τῶν τεχνογράφων οἱ μὲν ἀπὸ λόγου ἤρξαντο, οἱ δὲ ἀπὸ ὅρου, ἔνιοι δὲ ἀπὸ λέξεως, ἄλλοι δὲ ἀπὸ συλλαβῆς, τινὲς δὲ ἀπὸ στοιχείων· εἰσὶ δὲ καὶ ἀπὸ φωνῆς ἀρξάμενοι, ὅπερ καὶ ἄμεινον· εἰ γὰρ ὕλη γραμματικῆς λέξις, αὕτη δὲ συνέστηκεν ἐκ συλλαβῶν, αἱ δὲ συλλαβαὶ ἀπὸ στοιχείων, τὰ δὲ στοιχεῖα ἡ πρώτη καὶ ἄτομος τοῦ ἀνθρώπου φωνὴ ὑπάρχει, δῆλον ὡς ἀπὸ τοῦ ἀρχετύπου καὶ πρώτου αἰτίου ἄρχεσθαι δεῖ, τῆς φωνῆς. Ὁ δὲ Διονύσιος νέοις ἐκδιδοὺς τὸ πόνημα καὶ κατ’ ἀρχὰς διαλαβεῖν τὸν περὶ ἀναγνώσεως βουλόμενος λόγον, ὅς ἐστι πάντων τοῖς νέοις προὐργιαίτερος, ἐπίτηδες τὸν περὶ γραμματικῆς προέκρινε λόγον. Δυοῖν γὰρ ἕτερον ἐχρῆν· ἢ τὸ ποιοῦν τοῦ γενομένου προτάσσειν καὶ τὸ πρῶτον τῇ τάξει πρωτεύειν καὶ τῇ θέσει, τουτέστι τὸν τῶν λέξεων κατάλογον, ἐξ ὧν ἡ γραμματικὴ συνέστηκεν, ἢ προθέμενον εἰπεῖν περὶ γραμματικῆς ἀκριβῶσαι αὐτῆς πάντα τὰ μέρη καὶ μὴ μόνον τὸ ἀναγνωστικόν. Γραμματική ἐστιν ἐμπειρί α.] Ἐνταῦθα γενόμενος Πτολεμαῖος ὁ Περιπατητικὸς καὶ ἄλλοι τινὲς ἐγκαλοῦσι Διονυσίῳ ἐμπειρία〈ν〉 εἰρηκότι τὴν λογικωτάτην γραμματικήν, ἥτις—ἐμπειρία φημί—τῶν ὡσαύτως ἐχόντων πραγμάτων ἐστὶ τήρησίς τε καὶ μνήμη ἄλογος. Καὶ οἱ μὲν οὕτως ἐπιλύονται τὴν κατηγορίαν· ἐπειδὴ γὰρ οὐ λόγῳ πάντοτε κατορθοῦται ἡ γραμματική, ἀλλὰ πολλάκις καὶ ψιλῇ παραδόσει, ὡς ἐπὶ τοῦ Σκείρων καὶ εἰμί καὶ μεγάλως καὶ ὀλίγος, καὶ πολλάκις εὑρίσκομεν τὴν γραμματικὴν ἄλογον, φασὶν οὕτως ἔχειν τὸν ὅρον· «γραμματική ἐστιν ὡς ἐπὶ πολὺ τῶν

λέξεων ἐμπειρία, κατὰ δὲ τὸ πλεῖστον τέχνη». Οὗτοι δὲ τὸ μὲν ὑποκείμενον ἐπιθανεύσαντο, τόν γε μὴν ὅρον ἐλυμήναντο· πάντων 〈γὰρ〉 δεῖ εἶναι τὸν ὅρον περιεκτικόν, τὸ δὲ «ὡς ἐπὶ πολύ» ἀνοίκειον τοῦ ὅρου. Ἕτεροι δὲ οὕτω φασίν, ὅτι τὸ τῆς ἐμπειρίας ὄνομα τέτακται καὶ ἐπὶ τῆς τέχνης ἀδιαφόρως 〈ὑπὸ〉 τοῦ βίου, τῶν αὐτῶν ἐμπείρων τε καὶ τεχνικῶν ὀνομαζομένων, ὥς φησί που καὶ Μητρόδωρος μηδεμίαν ἄλλην πραγμάτων ἐμπειρίαν τὸ ἑαυτῆς τέλος συνορᾶν ἢ φιλοσοφίαν, τουτέστι μηδεμίαν τέχνην. Τάττεται δὲ τὸ τῆς ἐμπειρίας ὄνομα ἐξόχως καὶ ἐπὶ τῆς τῶν πολλῶν καὶ ποικίλων πραγμάτων γνώσεως, καθὸ καὶ τοὺς πρεσβύτας πολλὰ μὲν ἰδόντας πολλὰ δὲ καὶ ἀκούσαντας ἐμπείρους τοῦ βίου φαμέν, ὡς Εὐριπίδης ἐν Φοινίσσαις, παρεισάγων τὴν Ἰοκάστην πρὸς τὸν Ἐτεοκλῆν λέγουσαν 〈531 seqq〉: ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά, Ἐτεόκλεες, πρόσεστιν, ἀλλ᾽ ἡμπειρία ἔχει τι λέξαι τῶν νέων σοφώτερον.

166 Ἄμεινον οὖν λέγειν ἐμπειρίαν τὴν πολυπειρίαν. Ὅτι 〈δὲ〉 οὐ διαφέρεται πρὸς τὸ ὄνομα τῆς ἐμπειρίας καὶ τῆς τέχνης ὁ τεχνικός, δῆλον ἀφ᾽ ὧν ὑποκατιὼν τὴν ἐμπειρίαν τέχνην φησίν, λέγων 〈p. 6, 3 Uhl〉 «ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ». Ἄλλοι 〈δέ〉 φασι, βουλόμενος ἐφελκύσασθαι τοὺς νέους τέως ἐμπειρίαν καλεῖ τὴν γραμματικήν, ὕστερον δὲ τέχνην. Τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσ ι.] Οὐκ ἔστι ποιητὴς ὁ μέτρῳ μόνῳ χρώμενος· οὐδὲ γὰρ Ἐμπεδοκλῆς ὁ τὰ φυσικὰ γράψας, οὐδ᾽ οἱ περὶ ἀστρολογίας εἰπόντες, οὐδὲ ὁ Πύθιος ἐμμέτρως χρησμῳδῶν. Χρὴ γὰρ εἰδέναι, ὅτι ταῦτα χαρακτηρίζει ποιητήν, μέτρον, πλάσμα, ἱστορία, ποιὰ λέξις· οὐδὲ γὰρ συγγραφεὺς λέγεται ὁ καταλογάδην εἰρηκώς, ἀλλ᾽ εἰδικῶς συγγραφεὺς ἐκεῖνος ὀνομάζεται ὁ τὰ ἐπὶ τῶν αὐτοῦ καιρῶν γεγονότα συγγραψάμενος, ὡς Θουκυδίδης, ῥήτωρ δὲ ὁ περὶ τὰ πολιτικά. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. Περὶ γραμματικῆς. — Μελάμποδο ς. — Γραμματική ἐστιν ἐμπειρί α.] Πρότερον etc. = Σ d 10, 24—16, 2. Περὶ γραμματικῆς. — Γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένω ν.] Ἐμπειρίαν εἰπὼν ἐξεφαύλισε τὴν τέχνην· ἐμπειρία γάρ ἐστιν ἡ ἄλογος τριβή, ὡς καὶ ἐμπειρικοὺς λέγομεν ἰατροὺς τοὺς ἄνευ λόγου τὰς θεραπείας τοῖς πάσχουσι προσάγοντας· ὅτι μὲν γὰρ θεραπεύειν οἷόν τέ ἐστι τὸ φάρμακον πρὸς τὸ ἕλκος, ἐπίστανται· εἰ δέ τις ἔροιτο, τίνος ἕνεκα πρὸς τόδε τὸ πάθος ἐπιτηδείως ἔχει, ἀποροῦσιν. Ἡ δὲ γραμματικὴ πάντα μετὰ λόγου καὶ τῆς δεούσης ἀναλογίας κανονίζει. Πῶς οὖν ὁ τεχνικὸς εἴρηκεν ἐμπειρίαν τὴν γραμματικήν; ἆρα ὡς ἄλογον οὖσαν, ἢ ὡς αὐτὸς ἄγνωστος ὢν τοῦ καλῶς ἔχοντος; Φαμὲν ὅτι οὔ, ἀλλ᾽ ἐπειδὴ ὁ σκοπὸς αὐτῷ πρὸς εἰσαγομένους γράφειν, δεῖ δὲ τὰς εἰσαγωγικὰς τέχνας ἀπέχεσθαι τῶν δυσχερῶν προβλημάτων, τῶν δὲ εὐλήπτων ἀντέχεσθαι, εἰδὼς δὲ ὅτι καὶ ἡ ἐμπειρία πολλαχῶς παρὰ τοῖς ἀρχαίοις φράζεται· ἔστι γὰρ ἡ ἄλογος τριβὴ καὶ ἡ λογικὴ γνῶσις, ἔστι δὲ καὶ ἡ ἀκριβὴς μάθησις.

167 Ἁπλούστερον δὲ τὸν λόγον ἐποιήσατο ὡς πρὸς εἰσαγομένους, σημαίνων ἀπὸ ἐμπειρίας τὴν γνῶσιν· ὥστε ἡ γραμματικὴ γνῶσίς ἐστι· τίνων; ὧν παρατίθησιν αὐτός. Stephani. —Εἰς τὸ αὐτὸ καὶ ἄλλω ς . —Γραμματική ἐστιν ἐμπειρί α.] Πολλοὶ τῷ Διονυσίῳ ψόγον προσάπτουσι, λέγοντες κακῶς αὐτὸν εἰρηκέναι τὴν γραμματικὴν ἐμπειρίαν· «οὐδὲν γὰρ ἄλλο ἐστὶν ἐμπειρία ἀλλ᾽ ἢ ἀλόγου τριβῆς κατόρθωσις, ὥσπερ πεῖρα ἡ ἅπαξ δοκιμασία τινὸς ἀλόγου τριβῆς, ἡ δὲ γραμματικὴ οὐκ ἄλογός ἐστι τριβὴ» [ἀλλὰ μικτή]· ἀγνοοῦντες ὅτι, ἐπεὶ μικτή ἐστιν ἡ γραμματική, λογική τε καὶ πρακτική, διὰ τοῦ ἐμπειρία τὸ πρακτικὸν μέρος αὐτῆς ἀφορίζεταί τε καὶ ὁρίζεται, ἀπὸ δὲ μέρους τὸ ὅλον διαλαμβάνει. «Καὶ εἰ ἀπὸ μέρους τὸ ὅλον ὁρίζεται, τί μὴ ἀπὸ τοῦ κρείττονος ὁρισάμενος τὸ χεῖρον συνδιέλαβε; κρεῖττον γάρ ἐστι τὸ λογικὸν τοῦ πρακτικοῦ.» Πρὸς οὕς φαμεν, ὅτι κακῶς, ὦ οὗτοι, φατέ, ἀγνοοῦντες ὅτι πάντα τοῦ εἶναι ἐφίεται· εἰ δὲ ὡρίσατο τὸ κρεῖττον, ἐλάνθανεν ἄρα τὸ χεῖρον ὡς μὴ ὄν· διὰ τοῦτο τὸ χεῖρον ὁρισάμενος τὸ κρεῖττον συνέλαβεν· ὅθεν καὶ ἡμίονος ἀπὸ τοῦ χείρονος ὠνομάσθη, καὶ οὐχ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμίιππος, ἵνα μὴ λάθῃ τὸ χεῖρον ὄν. Τινὲς δὲ λέγουσιν, ὅτι ἐμπειρία ἐπὶ ἀμφοτέρων τῶν σημαινομένων λαμβάνεται, ἐπί τε τοῦ λογικοῦ καὶ τοῦ πρακτικοῦ· λέγουσι γάρ, ὅτι ἐμπειρία ἐστὶν ἡ ἄλογος τριβὴ καὶ ἡ λογικὴ γνῶσις, ἀγνοοῦντες ὅτι τὸ προκατάρχον αἴτιον τῆς λέξεως, τὸ πεῖρα, οὐδὲν ἄλλο δηλοῖ ἀλλ' ἢ τὴν ἅπαξ δοκιμασίαν ἀλόγου τριβῆς, ὡς εἴπομεν· παρὰ γὰρ τὸ πείρα ἐν μετασχηματισμῷ καὶ συνθέσει τῆς ἔν προθέσεως τροπῇ τε τοῦ ν εἰς μ ἐγένετο ἔμπειρος, καὶ τὸ θηλυκὸν ἐμπειρία παρενθέσει τοῦ ι . Τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι ν.] Οὐκ ἔστι μόνον παρὰ τοῖς ποιηταῖς τε καὶ συγγραφεῦσι χρειώδης ἡ γραμματική, ἀλλὰ καὶ παρὰ τοῖς ῥήτορσι καὶ ἱστοριογράφοις. Τέσσαρα γάρ εἰσι ταῦτα ἀλλήλοις ἀντιπαρακείμενα, ἐξ ἑκατέρας δὲ ἀντιθέσεως ἓν εἰπὼν καὶ τὸ ἕτερον παρεδήλωσεν. Ἀντίκειται δὲ τῇ μὲν ποιητικῇ ἡ ἱστοριογραφική· ἡ μὲν γὰρ ποιητικὴ τέχνη, ἡ δὲ ἱστοριογραφικὴ οὐ τέχνη, τὸ δὲ τέχνη καὶ οὐ τέχνη ἀντίθεσις· ὡσαύτως καὶ ἡ ῥητορικὴ ἀντίκειται τῇ συγγραφικῇ· ἡ μὲν γὰρ ῥητορικὴ τέχνη ἐστίν, ἡ δὲ συγγραφικὴ οὐ τέχνη ἐστίν.

168 Συγγραφεὺς δὲ καὶ ῥήτωρ καὶ ἱστοριογράφος καὶ ποιητὴς ταύτῃ διαφέρουσι· συγγραφεὺς μὲν γὰρ ὁ τὰ ἐφ' ἑαυτοῦ γενόμενα συγγραψάμενος, ὡς Θουκυδίδης ὁ Ἀθηναῖος τὸν Πελοποννησιακὸν πόλεμον συνέγραψεν ἐπὶ αὐτοῦ γεγονότα· ἱστοριογράφος δὲ ὁ τὰ πρὸ αὐτοῦ ἅπαντα συγγράφων, ὡς Ἡρόδοτος· ῥήτωρ δὲ ὁ περὶ τὰ πολιτικὰ ζητήματα ἠσχολημένος, ὡς Δημοσθένης καὶ οἱ κατ' αὐτόν. Ποιητὴς δὲ κεκόσμηται τοῖς τέσσαρσι τούτοις, μέτρῳ, μύθῳ, ἱστορίᾳ καὶ ποιᾷ λέξει, καὶ πᾶν ποίημα μὴ μετέχον τῶν τεσσάρων τούτων οὐκ ἔστι ποίημα· ἀμέλει τὸν Ἐμπεδοκλέα καὶ τὸν Πύθιον καὶ τοὺς περὶ ἀστρολογίας εἰπόντας οὐ καλοῦμεν ποιητάς, εἰ καὶ μέτρῳ ἐχρήσαντο, διὰ τὸ μὴ χρήσασθαι αὐτοὺς τοῖς τῶν ποιητῶν χαρακτηριστικοῖς. Ὡς ἐπὶ τὸ πολὺ λεγομένω ν·] τουτέστι τῶν ὑπὸ πολλῶν ἀρχαίων διὰ μνήμης ἀξίως ἐνεχθέντων. Λείπει δὲ τὸ «λέξεων», ἵνα ᾖ τοιοῦτον 〈τὸ〉 ὅλον σημαινόμενον· χρειώδης ἐστὶν ἡ γραμματική, ἐμπειρία οὖσα τῶν ὡς ἐπὶ τὸ πολὺ λεγομένων λέξεων παρά τε τοῖς ποιηταῖς καὶ συγγραφεῦσιν. Μέρη δὲ αὐτῆς ἕ ξ.] Τί δή ποτε τῆς γραμματικῆς μέρη λέγομεν, τῆς δὲ ῥητορικῆς εἴδη; καὶ τίνι διαφέρει μέρος εἴδους καὶ ὀργάνου· Εἶδος μὲν γὰρ τέλειόν τί ἐστιν, ὡς λέγομεν «εἶδος ζῴου ὁ ἄνθρωπος»· μέρος δέ ἐστιν ὃ μεθ' ἑτέρων συναγωγῆς τέλειόν τι ἀπεργάζεται· ὄργανον δὲ τὸ καὶ ἑτέραις τέχναις πεποιημένον, ἀντιπεπονθότως τῷ μέρει· τὸ γὰρ μέρος αὐτῷ μόνῳ πεποίηται, οὗ ἐστι μέρος, οἷον ὀφθαλμὸς ἐκείνῳ μόνῳ πεποίηται, οὗ ἐστι μέρος· τὸ δὲ ὄργανον καὶ ἑτέροις ἁρμόζει, οἷον τὸ σμιλίον οὐκ ἐπὶ ἑνὶ ἔργῳ χρήσιμον, ἀλλ' ἐν πολλοῖς ἔργοις. Ἰστέον δὲ ὅτι ἡ γραμματικὴ εἴδη οὐκ ἔχει· οὐ γὰρ τὸ ἀναγνωστικὸν ἢ τὸ ἐξηγητικὸν τέλειον ἀποτελεῖ γραμματικόν, ὥσπερ τὸ συμβουλευτικὸν ῥήτορα τέλειον. Διὰ τί δὲ τῶν ἓξ τούτων μὴ ὄντων μόνως μερῶν, ἀλλὰ καὶ ὀργάνων, τὰ πάντα μέρη ἐκάλεσεν; Καὶ λέγομεν ὅτι πρὸς εἰσαγομένους γράφων οὐκ ἀκριβολογεῖται. Ἰστέον δὲ ὅτι μέρος ἐστὶ τῆς γραμματικῆς τὸ ἀναγνωστικὸν μετὰ τῆς δεούσης προσῳδίας, καὶ τὸ ἐξηγητικόν, ὥς φησιν αὐτός, κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους, τουτέστι τοὺς ἐγκειμένους τρόπους· ὄργανα δὲ τὰ λοιπά· καὶ γὰρ καὶ ἄλλαις τέχναις ταῦτα ἁρμόζει, οἷον τὸ γλωσσηματικὸν καὶ ῥήτορσι καὶ ἰατροῖς.

169 Πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδία ν.] Πρῶτον λέγει τὴν ἀνάγνωσιν ἀναγκαίως, πρῶτον γὰρ φοιτῶντες εἰς γραμματικοὺς τὸ εὖ ἀναγινώσκειν μανθάνομεν· «ἐντριβής» δὲ ἡ τετριμμένη καὶ ἐκ παλαιῶν διδασκάλων παραδεδομένη ἀνάγνωσις. Δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας 〈ποιητικοὺς τρόπουσ〉 .] Μετὰ τὸ διδαχθῆναι τὸν εἰσαγόμενον τὸ καλῶς ἀναγινώσκειν ἀναγκαῖον ἐκλέγεσθαι καὶ τῆς καλῶς ἀνεγνωσμένης λέξεως τὴν σημασίαν, ἥτις ἐστὶν ἐξήγησις, ἡ εἰς τὸ ἑξῆς ἡμᾶς ἄγουσα τοῦ νοῦ. Τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσι ς.] Πρῶτον μανθάνει ὁ εἰσαγόμενος, ὅτι μῆνιν βαρυτόνως δεῖ ἀναγινώσκειν· διδαχθεὶς δὲ καὶ τοῦτο ἀναγνοὺς ἀπαιτεῖ τὴν ἐξήγησιν· μαθὼν δὲ ὅτι ὀργὴν ἐπίμονον σημαίνει, ἀπαιτεῖ

τὴν διάλεκτον, τίνες λέγουσι μῆνιν τὴν ὀργήν, καὶ ἀκούει ὅτι οἱ Ἴωνες. «Πρόχειρος» δὲ ἀντὶ τοῦ ἕτοιμος· «ἀπόδοσις» ἡ ἀπολογία. Δεῖ οὖν τὸν γραμματικόν, φησίν, ἐρωτώμενον ἢ περὶ σημασίας ἢ περὶ γλώττης ἢ ἱστορίας προχείρως ἀποδιδόναι τὴν αἰτίαν. Τέταρτον ἐτυμολογίας εὕρεσι ς.] Μετὰ τὸ γνῶναι ἡμᾶς τὴν ἱστορίαν ἀναγκαίως τρέχομεν εἰς τὴν ἐτυμολογίαν. Ἐτυμολογία δέ ἐστιν ἀνάπτυξις λέξεως κατὰ τὸ δυνατόν· εἴρηται δὲ παρὰ τὸ ἔτυμον, ὅ ἐστιν ἀληθὲς καὶ πιθανόν. Πέμπτον ἀναλογίας ἐκλογισμό ς.] Μαθὼν ὁ εἰσαγόμενος τὰ προειρημένα καὶ ἔμφρων γενόμενος, ἄρχεται καὶ περὶ τεχνικὰ καταγίνεσθαι καὶ πυνθάνεσθαι, τί δήποτε μῆνιν λέγομεν καὶ οὐχὶ μήνιδα. Ἀναλογία δέ ἐστι λόγος ἀποδεικτικὸς καθ’ ὁμοίου παράθεσιν τῆς ἐν ἑκάστῳ μέρει λόγου φυσικῆς ἀκολουθίας· εἴρηται δὲ ἀναλογία ἡ τὸν λόγον τὸν αὐτὸν συλλέγουσα καὶ τὰς λέξεις, καὶ ἰδίῳ κανόνι ἀπονέμουσα. Ἕκτον κρίσις ποιημάτω ν.] Ὅταν γάρ τις ἀκριβῶς μαθὼν τὸ κατὰ προσῳδίαν ἀναγινώσκειν καὶ τοὺς ποιητικοὺς τρόπους καὶ τὴν γλῶτταν 〈καὶ〉 τὴν ἱστορίαν 〈καὶ〉 τὴν ἐτυμολογίαν 〈καὶ τὴν ἀναλογίαν〉 διδαχθῇ, ἱκανός ἐστιν ὁ τοιοῦτος κρίνειν.

170 Κρίνει δὲ τὰ ποιήματα οὐχ ὅτι καλά ἐστιν ἢ κακά· ποιητοῦ γὰρ ἂν εἴη τὸ τοιοῦτον· ἀλλ’ ἐπειδὴ πᾶν μέτρον ὑπὸ τὴν τέχνην ἐστίν, ἀνάγκη τὸν γραμματικὸν ταῦτα πάντα διακρίνειν, εἰ τοῦ αὐτοῦ ἐστι ποιητοῦ ἢ οὔ. Ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχν ῃ.] Κάλλιστον εἶπε τοῦτο τὸ μέρος, οὐχ ὅτι τὰ ἄλλα ἀσθενέστερά ἐστιν· ἀλλ’ ἐπειδὴ συμπέρασμά ἐστι τῆς πάσης τέχνης τὸ κριτικὸν καὶ τρόπον τινὰ στέφανος, διὰ τοῦτο κάλλιστον εἶπε, καὶ ὅτι εἰ μὴ πρόοιδέ τις τὰ λεχθέντα μέρη τῆς γραμματικῆς, τοῦ κρίνειν ποιεῖν τὸ ἔργον οὐ δύναται. Πόσα θεωρούμενα περὶ τὴν γραμματικήν; Ὀκτώ· αἴτιον, ἀρχή, ἔννοια, ὕλη, μέρη, ὄργανα, ἔργα καὶ τέλος. Αἴτιον, κατὰ πᾶσαν γὰρ λέξιν αἴτιον ὁρᾶται καὶ αἰτιατόν. Ἀρχὴ δέ, ὅτι ἀρχὴν ἔχει ὥσπερ καὶ τέλος· ἀρχὴν γὰρ ἔχει τὰ στοιχεῖα. Ἔννοιαν δὲ λέγει τὸν σκοπόν· σκοπὸς γὰρ ὁρᾶται καὶ περὶ τὴν γραμματικήν, ὥσπερ καὶ περὶ τὴν διαλεκτικὴν καὶ τὰς λοιπὰς τέχνας καὶ ἐπιστήμας. Ὕλην δὲ ἔχει πᾶσαν Ἑλληνίδα φωνήν. Μέρη δὲ λέγει, ἢ ὅτι πᾶσα Ἑλληνικὴ φωνὴ εἰς ὀκτὼ μέρη διαιρεῖται, ἢ ὅτι τῆς γραμματικῆς μέρη κυρίως τέσσαρα, διορθωτικόν, ἀναγνωστικόν, ἐξηγητικόν, κριτικόν. Ὄργανα δέ εἰσι τέσσαρα τὰ περὶ τὴν γραμματικὴν ὄντα, γλωσσηματικόν, μετρικόν, τεχνικόν, ἱστορικόν. Ἔργα τὸ τὸν ἔμμετρον καὶ τὸν πεζὸν λόγον τεχνᾶσθαι. Τέλος τὸ μὴ ἁμαρτάνειν μήτε περὶ μίαν λέξιν μήτε περὶ πλείονας· τὸ γὰρ περὶ μίαν ἁμαρτάνειν βαρβαρισμός ἐστι, τὸ δὲ περὶ πλείονας σολοικισμός· σολοικισμὸς δέ ἐστιν ὁ τοῦ σώου λόγου αἰκισμός, ἤγουν ἡ ὕβρις ὁλοκλήρου λόγου. § 2. Περὶ ἀναγνώσεω ς. Ἀνάγνωσίς ἐστι etc. = Σ d 14—25. Ἄλλως. —[Τὸ ἀναγινώσκειν δοκίμως.] Τὸ δὲ δοκίμως ἀναγινώσκειν πάντως ἐκ τριβῆς καὶ ἐπιμονῆς πολλῆς γίνεται· ἐνδέχεται οὖν τὸν γραμματικὸν οὕτως ἀναγινώσκειν καὶ ὅσοις μὴ ἐντετύχηκε συγγράμμασιν, ὥσπερ ἐκεῖνα οἷς πολλάκις ἐντετύχηκεν· δεῖ γὰρ οὕτω προδιοικονομεῖν ἑαυτὸν καὶ ἐθίζειν ἐν οἷς ἐγχειρίζεται, ὡς ἐκ τούτων καὶ παρατυχόντα δοκεῖν πολλάκις ἀνεγνωσμένα. Ἀναγινώσκειν δὲ 〈δεῖ〉 κατὰ προσῳδίαν, ἤτοι καθ’ ὃν ἔχει τόνον ἡ λέξις, ὡς μὴ ἀναγνῶναι τὸ ὄρος ὀρός καὶ τὸ ἁγνός [ὁ καθαρός] ἄγνος, κἀντεῦθεν εἰς πλάνην ἀγαγεῖν τὸν ἀκροατήν, καὶ ἀντὶ τοῦ ὄρος, τυχὸν ὁ Ὑμηττὸς ἢ τὸ Τηΰγετον ἤ τι ἄλλο, ὀρὸν νοῆσαι, ἤγουν τὸ ὑδατῶδες τοῦ γάλακτος, καὶ πάλιν ἀντὶ τοῦ ἁγνός (ὁ καθαρός) τὸ φυτὸν ὑπολαβεῖν λέγεσθαι τὸν ἄγνον· ἄγνος γάρ ἐστι φυτὸν ἄγονον καὶ ἄκαρπον.

171 Ἐκ δὲ τῆς προσῳδίας etc. = Σ d 26—22, 13. Stephani. — Ἀνάγνωσίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορ ά.] Πᾶς ὅρος ἀπὸ γένους καὶ εἴδους καὶ διαφορᾶς συνίσταται καὶ πάλιν πᾶς ὅρος ἀπ’ εὐθείας ἄρχεται, οἷον ὁ τοῦ ἀνθρώπου ὅρος, «ἔστι ζῷον λογικὸν θνητόν» ἰδοὺ τὸ ζῷον γένος ἐστίν, εἶδος 〈δὲ〉 τὸ λογικόν, θνητόν δὲ διαφορά, καὶ πάλιν τὸ ζῷον εὐθείας πτώσεώς ἐστιν. Ἐπὶ δὲ τοῦ προτεθέντος ὅρου 〈οὐκ ἔστι τοῦτο, οὐ γὰρ ἀπ’ εὐθείας ἄρχεται. Λεκτέον δὲ ὅτι〉 ἐὰν ἀναστρέψωμεν τὸν ὅρον, εὑρίσκομεν ὑγιῶς ἔχοντα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤγουν «ἀνάγνωσίς ἐστι προφορὰ ἀδιάπτωτος ποιημάτων ἢ συγγραμμάτων»· ἰδοὺ γὰρ ἀπ’ εὐθείας ἤρξατο, καὶ ⟨συνίσταται⟩ ἀπὸ γένους καὶ εἴδους καὶ διαφορᾶς προφορὰ γοῦν ἐστιν ἡ ἐκφώνησις, ἥ ἐστι γένος, εἶδος δὲ ⟨τὸ⟩ ποιημάτων ἢ συγγραμμάτων, τὸ δὲ ἀδιάπτωτος ἐστὶν ἀδιάπταιστος, ὅπερ ἐστὶ διαφορά. Μόνης δὲ τῆς ἀναγνώσεως τὸν λόγον ποιησάμενος, οὐκέτι περὶ τῶν ἄλλων μερῶν διεξέρχεται τῆς γραμματικῆς, οἷον περὶ τῆς ἐξηγήσεως καὶ τῶν λοιπῶν μερῶν· σκοπὸς γὰρ αὐτῷ πρὸς εἰσαγομένους γράφειν, δεῖ δὲ τοὺς εἰσαγομένους δυσχερῶν ἀπέχεσθαι διδαγμάτων· ἐπεὶ οὖν ὁ τῆς ἐξηγήσεως καὶ τῶν ἄλλων μερῶν λόγος ποικίλος τις ἦν καὶ πολλῆς ἀκριβείας δεόμενος, ἀναγκαίως παρῆκεν ὁ τεχνικός, περὶ μόνης δὲ τῆς ἀναγνώσεως ποιεῖται τὸν λόγον. Καὶ ἄλλως εἰς τὸ αὐτό. — Στέφανο ς. —Ἀναγνῶσαι τὸ ἀναπεῖσαι, ὡς καὶ παρ’ Ἴωσιν· Ἡρόδοτος οὖν φησι ⟨I 87⟩ τίς σε ἀνθρώπων ἀνέγνω⟨σεν⟩ ἐπὶ γῆν τὴν ἐμὴν στρατευσάμενο ν; ἀντὶ τοῦ ἀνέπεισεν· ἀνάγνωσις οὖν ἡ ἀνάπεισις, ἀναπείθουσι γὰρ οἱ καλῶς ἀναγινώσκοντες· ἢ περιττή ἐστιν ἡ ἀνά, γνῶσις γάρ ἐστιν ἡ ἀνάγνωσις. Ἀναγνωστέον δὲ κα θ ’ ὑπόκρισι ν , κατὰ προσῳδία ν , κατὰ διαστολή ν.

172 ] Ὑπόκρισίς ἐστι μίμησις ἁρμόζουσα τοῖς ὑποκειμένοις προσώποις ἔν τε λόγῳ καὶ σχήματι· οὐ μόνον γὰρ δεῖ μιμεῖσθαι τῷ λόγῳ τὰ πρόσωπα, ἀλλὰ καὶ τὰς τῶν σωμάτων κινήσεις κατὰ τὸ ἀπαιτοῦν, ὡς ἐν τῷ Ὀρέστῃ τοῦ Μενελάου μηδὲν εἰρηκότος αὐτῷ ἀποκρίνεται ⟨ὁ Ὀρέστησ⟩ , λέγων ⟨644⟩ οὐ χρήμα τ ’ εἶπο ν· δηλοῦται γὰρ ἐκ τούτου, ὡς οὐ λόγῳ γεγένηται ἡ ὑπόκρισις, ἀλλὰ μόνῳ τῷ σχήματι, τοῦ Μενελάου τὰς χεῖρας ἀνατείναντος καὶ τρόπον τινὰ μετασχηματιζομένου ὡς οὐδὲν εἰληφότος. «Καθ’ ὑπόκρισιν» οὖν, τουτέστι κατὰ μίμησιν τῶν προσώπων. «Κατὰ προσῳδίαν» δέ, τουτέστι κατὰ τόνον· προσῳδία γάρ ἐστι σημεῖον λέξεων τοῖς φωνήεσιν ἑπόμενον· κατὰ προσῳδίαν οὖν, τουτέστι κατὰ τὸν ὀρθὸν τόνον. «Κατὰ διαστολὴν» δέ, τουτέστι κατὰ χωρισμὸν τῶν διανοιῶν· διαστολὴ γάρ ἐστι σημεῖον λέξεων ὁμοῦ μὲν γεγραμμένων, μὴ ὁμοῦ δὲ νοουμένων· διαστολὴν δὲ ἐκάλεσε τὴν στιγμὴν ἐκ τοῦ διαστέλλειν λέξεις ἀπὸ λέξεων καὶ σημαινόμενον ἀπὸ σημαινομένου. Ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμε ν.] Τραγῳδία ποίησίς ἐστιν. Εἴρηται δὲ τραγῳδία παρὰ τὸ τραχύς καὶ τὸ ᾠδή, ἐκ μεταφορᾶς τῆς τῶν τράγων φωνῆς· ἐκεῖνοι γὰρ τραχεῖαν ᾠδὴν ᾄδουσιν· ἢ τραγῳδία ἐστὶ ποίημα ἐπιτάφιον, ὅπερ οἱ τότε ποιοῦντες ἀντὶ μισθοῦ τράγον ἐλάμβανον, καὶ ἐκαλεῖτο τραγῳδία. «Ἡρωϊκῶς», δέ, τουτέστιν ἀξιοπίστως, μετὰ πολλῆς σεμνότητος καὶ ὄγκου· δεῖ γὰρ ἡμᾶς τραγικὰ προφερομένους κατὰ πάντα τρόπον μιμεῖσθαι τοὺς ἥρωας, καὶ μεγέθει σώματος καὶ λόγου ὑπερβολῇ. Τὴν δὲ κωμῳδίαν βιωτικῶ ς.] Κωμῳδία ἐστὶν ἡ ἐν μέσῳ λαοῦ κατηγορία ἤγουν δημοσίευσις· εἴρηται δὲ παρὰ τὸ κώμη καὶ τὸ ᾠδή, ἔστι δὲ εἶδος ποιήματος ἐν κώμαις κατὰ τὸν βίον ᾀδόμενον. Διὰ τοῦτο καὶ «βιωτικῶς» λέγεται, τουτέστιν ἱλαρῶς, ὡς ἂν εὔξαιτό τις βιῶναι, ἀντὶ τοῦ ἐν ἡδονῇ καὶ γέλωτι· δεῖ οὖν τὸν τὴν κωμῳδίαν ὑποκρινόμενον μετὰ γέλωτος καὶ πολλῆς ἀστειότητος καὶ ἱλαροῦ τοῦ προσώπου προφέρεσθαι. Ἢ «βιωτικῶς» κατὰ μίμησιν τοῦ βίου, ἵνα εἰ μὲν ὑπόκειται γέρων, μιμησώμεθα τὴν φωνὴν τοῦ γέροντος, εἰ δὲ γυνή, μιμησώμεθα τὴν φωνὴν τῆς γυναικός.

173 Διαφέρει δὲ κωμῳδία τραγῳδίας, ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν ἔχει καὶ ἀπαγγελίαν πράξεων γενομένων, ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων. Τὰ δ ’ ἐλεγεῖα λιγυρῶ ς.] Ἐλεγεῖόν ἐστιν εἶδος μέτρου ἐκ δύο πενθημιμερῶν συγκείμενον, παρὰ τὸ ἔλεγος, ὃ δηλοῖ τὸν θρῆνον· τοῦτο πάλιν παρὰ τὸ ἒ ἒ λέγειν, ὡς γὰρ ἐλεοῦντες τοὺς ἀποιχομένους τοῦτο ἐφεῦρον τὸ μέτρον. Ἢ ἐλεγεῖόν ἐστι θρῆνος ἐπιτάφιος, οἱονεὶ ἐλεεῖόν τι ὄν, τοῦ γ ἐκθλιβομένου, παρὰ τὸ ἐλεεῖν τὸν τετελευτηκότα· ἢ εὐλογεῖον, παρὰ τὸ εὖ λέγειν τὸν ἀποβιώσαντα. Ἐπειδὴ δὲ οἱ τεθνηκότες ἔλλειψίν τινα ἔχουσιν, ἤγουν τοῦ ζῆν, τούτου χάριν καὶ τὰ ἐλεγεῖα, ὡς ἐπὶ τοῖς τεθνηκόσι λεγόμενα, ἐλλείπουσι πόδα πρὸς τὸν δακτυλικὸν στίχον. Ἰστέον δὲ ὅτι ἐλεγεῖον ἐλεγείας διαφέρει· ἐλεγεῖον γάρ ἐστιν, ὅταν εἷς στίχος ὑπάρχῃ καὶ πεντάμετρος, ἐλεγεία δέ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅταν ὅλον τὸ ποίημα ἀμοιβαῖα ἔχῃ τὰ μέτρα, ἑξάμετρον καὶ πεντάμετρον. —«Λιγυρῶς» δέ, οἷον ὀξέως ἀναγινώσκειν ἡμᾶς δεῖ τὰ ἐλεγεῖα, ὡς ἂν συμπεπνιγμένους καὶ ἐκπεπληγμένους τῷ πλήθει τῶν κακῶν· ἢ «λιγυρῶς» ἤγουν γλυκερῶς, λιγὺς γὰρ ὁ γλυκύς. Τὸ δὲ ἔπος εὐτόνω ς.] Ἔπος κυρίως ὁ ἔμμετρος λόγος λέγεται, καταχρηστικῶς δὲ καὶ πᾶς λόγος· νῦν δὲ 〈οὐ〉 πάντα λόγον λέγει· ἢ ἔπος τὸ ἑξάμετρον· ἐκείνη δὲ ἡ ποίησις ἔπος λέγεται, ὅτε τὸ σωμάτιον ὅλον ἐκ τοῦ ἡρωϊκοῦ στίχου σύγκειται. Τὸ δὲ εἰπεῖν «εὐτόνως» οὐ λέγει κατὰ τόνον, ἀλλ' εὐτόνως τουτέστι μετὰ δυνάμεως· τόνος γάρ ἐστιν ἡ δύναμις· ἐπείπερ τινὲς ἀναγινώσκοντες μαλθακύνουσιν ἑαυτῶν τὰς φωνάς, οὐ δεῖ δὲ μαλθακῇ τῇ φωνῇ ἡρώων πράξεις προάγεσθαι. —Ἔπος δὲ παρὰ τὸ ἕπεσθαι τῷ μέτρῳ, ὅλου τοῦ σωματίου ἐξ ἡρωϊκοῦ συγκειμένου. Τὴν 〈δὲ〉 λυρικὴν ποίησιν ἐμμελῶ ς.] Ποίησίς ἐστι λυρική· εἴρηται δὲ λυρικὴ ἀπὸ τοῦ ἀξιοπίστου ὀργάνου· οὐ μόνον γὰρ πρὸς λύραν ἐλέγετο, ἀλλὰ καὶ πρὸς αὐλὸν καὶ βάρβιτον. καὶ κιθάραν καὶ ἁπλῶς εἰπεῖν πρὸς πᾶν ὄργανον μουσικόν· ἀλλ' ἐπειδὴ τῶν ἁπάντων τὸ ἀξιοπιστότατον ὄργανον ἡ λύρα ἐστίν, ἀπὸ ταύτης ὠνόμασται. Εἴρηται δὲ λύρα, λύτρα τις οὖσα· φασὶ γὰρ ὅτι ποτὲ Ἑρμῆς ἐν Ἀρκαδίᾳ ἀναστρεφόμενος εὗρε χελώνην, καὶ διακόψας ἐποίησε κοιλίαν λύρας· ἡνίκα δὲ τὰς τοῦ Ἡλίου βοῦς κλέψαι ἠβουλήθη, καὶ διὰ τὸ μαντικὸν τοῦ θεοῦ οὐκ ἠδύνατο, συνελήφθη· εἰδὼς δὲ καὶ τοῦ θεοῦ τὸ μουσικόν, δέδωκεν ὑπὲρ ἑαυτοῦ τὴν λύραν λύτρον, καὶ ἠλευθερώθη τοῦ ἐγκλήματος.

174 Τοὺς δὲ οἴκτους ὑφειμένω ς.] Εἶδος μὲν ποιήσεως ὁ οἶκτος οὐκ ἔστιν, εὑρίσκεται δὲ ἐν παντὶ εἴδει ποιήσεως, παρὰ λυρικοῖς, παρ' ἐλεγειογράφοις, ὁμοίως καὶ παρὰ τοῖς τὰ ἔπη γράφουσιν, ὡς καὶ παρ' Ὁμήρῳ Ἀνδρομάχη λέγει ἐλεεινολογουμένη πρὸς Ἕκτορα 〈Ζ 407〉 δαιμόνι ε , φθίσει σε τὸ σὸν μένος, καὶ πάλιν 〈Ω 725〉 ἆνε ρ , ἀ π ' αἰῶνος νέος ὤλε ο. Λέγει οὖν τοὺς οἴκτους προφέρεσθαι «ὑφειμένως καὶ γοερῶς», τουτέστι συνεσταλμένως, ταπεινῶς καὶ μετὰ πένθους, οἰκτρῶς, θρηνητικῶς· δεῖ γὰρ τὸν ἀναγινώσκοντα τὸν οἶκτον τοιοῦτον φαίνεσθαι, ὡς ἐλεεῖσθαι ὑπὸ τῶν ἀκουόντων. Τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν καὶ τὰ ἑξῆς.] Ἡ παρά πρόθεσις σημαίνει καὶ ἐγγύτητα, σημαίνει καὶ χωρισμόν, ὡς ἂν εἴποι τις ἐπὶ χωρισμοῦ «πάντες συνήχθημεν ἐν τῇ διατριβῇ παρὰ τόνδε», ἀντὶ τοῦ ἐκτὸς τοῦδε, καὶ πάλιν ἐπὶ πλησιασμοῦ «πάντες συνήχθημεν παρὰ τόνδε», τουτέστιν ἐγγὺς τοῦδε. Ἐνταῦθα οὖν τὴν παρά πρόθεσιν ἐπὶ πλησιασμοῦ εἴρηκε· «τὰ γὰρ μὴ παρὰ τὴν τούτων» φησί, τουτέστι τὰ μὴ πλησίον τούτων καὶ κατὰ τὴν αὐτῶν ῥῆσιν προφερόμενα· «καταρρίπτει» δὲ ἀντὶ τοῦ ἐξουθενεῖ· «ἕξεις» δὲ τὰ σχήματα λέγει. Καλῶς δὲ εἶπε «καταγελάστους παρίστησιν»· ἀρκεῖ γὰρ τοῖς ἀπαιδεύτοις ἀλόγως προφερομένοις τὰ μαθήματα πρὸς τιμωρίαν ὁ παρὰ τῶν ἀνθρώπων κατ' αὐτῶν γινόμενος γέλως. § 3. Περὶ τόνο υ . Μελάμποδο ς. —Τόνος ἐστὶν ἀπήχησις etc. = Σ d 22, 15—24, 7. 〈Stephani.〉 — Τόνος ἐστὶν ἀπήχησις φωνῆς ἐναρμονίο υ.] Ἐκεῖνα μόνα πειρᾶται παραβάλλειν ὁ τεχνικός, ὅσα τοῖς εἰσαγομένοις ὠφελεῖν δύναται. Ἐπεὶ οὖν οἱ εἰσαγόμενοι πρῶτον ἀναγνώσει ἐντυγχάνουσιν, καὶ ἀναγκαῖον ᾠήθη περὶ ταύτης διαλαβεῖν, περισπούδαστον δὲ ἡγήσατο καὶ περὶ τῶν παρεπομένων τῇ ἀναγνώσει ἀφηγήσασθαι· ἔστι δὲ ταῦτα τόνος καὶ στιγμὴ καὶ διαστολή· καίτοι ἀκόλουθον ἦν μετὰ τὸν περὶ ἀναγνώσεως λόγον εἰπεῖν τὸν περὶ ἐξηγήσεως, δεύτερον γὰρ μέρος τῆς γραμματικῆς ἡ ἐξήγησις.

175 Λέγει δὲ τὸν τόνον εἶναι ἀπήχησιν τῆς ἐναρμονίου φωνῆς, ἤγουν τῆς ἐνάρθρου, τουτέστι τῆς ἀνθρωπίνης· μόνη γὰρ ἡ τοῦ ἀνθρώπου φωνὴ ἔναρθρος· ὅθεν καὶ φώς ὁ ἄνθρωπος, ὡς εἶναι αὐτὴν φωτεινοειδῆ τινα, τὴν φωτίζουσαν καὶ σαφηνίζουσαν τὰ ἐντὸς τοῦ νοῦ. Ὅθεν καὶ ἐναρμόνιός ἐστι, τουτέσιν ἔναρθρος, ἡ ἀπὸ διανοίας ἐκπεμπομένη καὶ εἰς διάνοιαν ἀνερχομένη, ἣ καὶ διεξοδικὴ καλεῖται· διεξοδικὴν δὲ καλοῦμεν τὴν ἐγγράμματον. Τῶν γὰρ φωνῶν διαφοραὶ δύο, ἐγγράμματος καὶ ἀγράμματος· καὶ ἐγγράμματος μέν, ἧς ὁ νοῦς εἰσακούων διέξεισι τὰ στοιχεῖα, ἀγράμματος δέ, ὡς οἱ ψόφοι. Ἐπεὶ δὲ καὶ ἄλλα ἐστὶ ζῷα τὴν

ἐναρμόνιον φωνὴν ἀπομιμούμενα, καὶ φθέγγεται ὡς δοκεῖν ἀνθρώπου ἀκούειν, ἆρα κἀκείνων εἴποιμεν ἐναρμόνιον εἶναι τὴν φωνήν; Φαμὲν οὔ· μιμεῖται γὰρ τὴν τοῦ ἀνθρώπου φωνήν, οὐκ ἀπὸ διανοίας δὲ ἐκπέμπεται. Πᾶσα οὖν φωνὴ ἐκπεμπομένη μετὰ δυνάμεως ἐκπέμπεται· αὕτη οὖν ἡ δύναμις κατὰ τὸν τεχνικὸν τόνος λέγεται· ἀνάγκη οὖν πᾶσαν συλλαβήν, ἥτις συντείνει εἰς τὴν τοῦ ἀνθρώπου φωνήν, τόνον ἴδιον ἔχειν. Ἢ κατὰ ἀνάτασιν ἐν τῇ ὀξεί ᾳ , ἢ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρεί ᾳ , ἢ κατὰ περίκλασιν ἐν τῇ περισπωμέν ῃ.] Ἀμήχανόν ἐστι φωνὴν δίχα τάσεως ἀποτελεσθῆναι· εἰ γὰρ φωνή ἐστιν ἀὴρ πεπληγμένος, δεῖ δὲ τὴν πλῆξιν μετὰ τάσεως γίνεσθαι, οὐκ ἂν εἴη φωνὴ δίχα τόνου· πᾶσα τοίνυν συλλαβὴ τόνῳ κέχρηται. Τῶν δὲ τόνων οἱ μέν εἰσιν ὀξεῖς, οἱ δὲ βαρεῖς· ὁ γὰρ περισπώμενος σύνθετός ἐστιν ἐξ ἀμφοῖν. Ὅσαι τοίνυν τῶν συλλαβῶν τὸν ὀξὺν ἔχουσι τόνον, τρόπον τινὰ ταῖς 〈ἄλλαις〉 συλλαβαῖς ἐπισκιάζουσαι τὸν ἐν αὐταῖς βαρύν τε καὶ ὁμαλὸν τόνον οὐκ ἐῶσιν ἐξακούεσθαι· ὅμως γε μὴν οἱ γραμματικοί, τῷ τέλει προσέχοντες τῶν λέξεων, ὥσπερ ὀξύτονα καλοῦσι τὰ ἐπὶ τῆς τελευταίας συλλαβῆς τὴν ὀξεῖαν ἔχοντα, οὕτω καὶ βαρύτονα τὰ ἐπὶ τοῦ τέλους ἔχοντα τὴν βαρεῖαν. —Τόνος δέ ἐστιν ἐπίτασις ἢ ἄνεσις ἢ μεσότης συλλαβῆς εὐφωνίαν ἔχουσα. Εἰς τὸ αὐτό. — Πορφυρίο υ. —Τῶν τόνων γνήσιοι μέν εἰσι δύο, ὅ τε ὀξὺς καὶ ὁ περισπώμενος· ἀλλ' ὁ μὲν κατ' ἀπαθοῦς λέξεως τίθεται, ὁ δὲ κατὰ πεπονθυίας, ὁ περισπώμενος, καὶ ἔστι σύνθετος ἐκ τῆς ὀξείας καὶ τῆς βαρείας συντεθειμένων εἰς τὸν περισπώμενον· καὶ οὐκ ἂν εὕροι τις πεπονθυῖαν λέξιν μὴ ἐκ τῆς ὀξείας καὶ τῆς βαρείας συντιθεμένην εἰς τὸν περισπώμενον.

176 Ὁ δὲ ἕτερος τόνος, ὁ βαρύς, νωθής ἐστι καὶ βραδύς, ὡς ἔστι γνωρίζειν καὶ ἀπὸ τῶν σχημάτων· [ὁ μὲν γάρ, ἅτε δὴ λεπτὸς καὶ ἐλαφρὸς ὤν, ἀνωφερής ἐστιν·] ὃν 〈γὰρ〉 τρόπον ἐπὶ τῶν στοιχείων ὅσα μέν ἐστι βαρύτατα κάτω νένευκεν, ὡς ἡ γῆ καὶ τὸ ὕδωρ, ὅσα δὲ κουφότατα, τὴν ἄνω φορὰν διώκει, ὡς ὁ ἀὴρ καὶ τὸ πῦρ, οὕτως οὖν καὶ ὁ ὀξὺς τόνος, ἐλαφρὸς ὤν, ἀνατρέχει καὶ ἄνω νένευκεν, ὁ δὲ βαρύς, ἅπαξ νωχελὴς ὢν καὶ κατὰ μικρὸν βαδίζειν δυνάμενος, κάτω νένευκεν, ἐκ μεταφορᾶς τῶν τὰ ἄχθη ἐπιφερομένων· οὗτοι γὰρ πιεζόμενοι κάτω νεύουσιν. Καὶ διὰ τοῦτο καὶ ὁ τεχνικὸς «κατὰ ὁμαλισμόν» φησιν· ὁμαλισμὸς δὲ τὸ βραδὺ καὶ χθαμαλόν. Ὁ δὲ περισπώμενος σύνθετός ἐστιν, ἔκ τε ὀξείας καὶ βαρείας συναιρούμενος. § 4 (4 et 5b). Περὶ στιγμῆ ς . Μελάμποδο ς. —Στιγμαί εἰσι τρεῖς etc. = Σ d 24, 9—28, 8. Stephani. —Καὶ ἄλλως. — Στιγμαί εἰσι τρεῖ ς , τελεί α , μέσ η , ὑποστιγμ ή.] Σκοπὸν ἔχων ὁ τεχνικὸς εἰσαγωγικὴν γράφειν τέχνην ἀποφεύγει τῶν προσῳδιῶν τὰ δυσχερῆ, τουτέστι τὸ πνεῦμα, τὸν χρόνον καὶ τὰ πάθη· ἐπεὶ γὰρ ὁ περὶ τούτων λόγος πολὺς ἦν καὶ πολλῶν θεωρημάτων δεόμενος, ἦν δὲ αὕτη ἡ διδασκαλία πρὸς παῖδας ἀπρόσφορος, ἀναγκαίως καὶ αὐτὸς παρῆκεν. Ἵνα δὲ μὴ παντελῶς ἡμᾶς ἀνοήτους καταλίπῃ, ὥσπερ τις καλὸς τροφεὺς ἐκ παντὸς ἐδέσματος λαβὼν μεταδίδωσι παιδὶ τρεφομένῳ αὐτῷ, οὕτω καὶ οὗτος παντὸς τεχνικοῦ διδάγματος τὰ λεπτομερῆ συνάγων παρατίθησιν ἡμῖν, καὶ μεταβαίνει πάλιν ἐπὶ τὴν στιγμήν· σύμφορος γάρ ἐστι καὶ αὕτη τῇ ἀναγνώσει τῆς γραμματικῆς.

177 Καὶ λέγει ταύτας εἶναι τρεῖς, τελείαν, μέσην καὶ ὑποστιγμήν· ἡ τοίνυν στιγμὴ αὕτη ἐστὶ τῇ διαστολῇ συνόμοιος, καὶ οὐκ ἔστι διαφορά, εἰ μὴ ἐν τούτῳ ὅτι ἡ μὲν στιγμὴ ἐπινενόηται ἕνεκα τοῦ πνεύματος, ἡ δὲ διαστολὴ μετὰ τοῦ ἀναπαύειν ἡμῶν τὴν πνοὴν καὶ διαστέλλει τὰς διανοίας ἀπ' ἀλλήλων. Οὐ τρεῖς εἰσι στιγμαί, ἀλλὰ τόποι τρεῖς. Ἔστι δὲ ἡ τελεία, ὅτε τῆς περιόδου τέλειον καὶ ἀπηρτισμένον ἐστὶ τὸ ἐνθύμημα, οἷον 〈ex. gr. K 382〉 τὸν δ ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύ ς· καὶ πάλιν 〈M 243〉 εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρη ς· ἰδοὺ αὕτη ἡ περίοδος τελεία· τίθεται δὲ ἐπὶ κεφαλῆς τοῦ γράμματος Ἡ δὲ μέση, ὅταν μέσως πως ἔχῃ ὁ νοῦς, οἷον 〈A 36〉 Ἀπόλλωνι ἄνακτ ι . τὸν ἠύκομος τέκε Λητ ώ· ἐν γὰρ τῷ «ἄνακτι» τὴν μέσην τίθεμεν. Ὑποστιγμὴ δέ, ὅταν ᾖ τι παρηρτημένον τοῦ νοῦ καὶ μὴ δεχόμενον ὑπέρθεσιν, ἀλλὰ ταχείας ἐπιφορᾶς δεόμενον, οἷον 〈A 51〉 αὐτὰρ ἔπει τ '

αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεί ς . Βάλλε ν· ἐν 〈γὰρ〉 τῷ «ἐφιείς» τίθεμεν τὴν ὑποστιγμήν. Τίθεται δὲ ἡ μὲν μέση ἐν τῷ μέσῳ τοῦ γράμματος, ἡ δὲ ὑποστιγμὴ [μεθ' ὑποκρίσεως] κάτω ἐν τῷ ἄκρῳ τοῦ γράμματος. Ἄλλοι δὲ λέγουσι στιγμὰς τέσσαρας· τελείαν, ἥτις ἐπὶ τῷ τέλει τῶν περιόδων τίθεται· ἀτελῆ, ἥτις ἐπὶ τῷ τέλει τῶν περικοπῶν τίθεται· ὑποστιγμὴν δὲ μεθ' ὑποκρίσεως, ἥτις ἐν ταῖς συναπτικαῖς τε καὶ ἀναφορικαῖς τῶν φράσεων τίθεται, οἷον 〈Ρ 94 seq.〉 εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι Αἰδεσθεί ς , μή πώς με περιστήω ς ' ἕνα πολλο ί, καὶ αὖθις 〈Π 777 seq.〉 ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκε ι , Τόφρα μά λ ' ἀμφοτέρων βέλ ε ' ἥπτετ ο , πῖπτε δὲ λαό ς· ὑποστιγμὴν δὲ ἀνυπόκριτον μετὰ τὰς ἐν ἤθει ἢ πάθει κλητικάς, οἷον 〈Κ 249〉 Τυδείδ η , μή τ ' ἄρ με μά λ ' αἴνεε μήτε τι νείκει, 〈καὶ〉 〈Ω 725〉 ἆνε ρ , ἀ π ' αἰῶνος νέος ὤλε ο. Ἔστι δὲ ἐπὶ ταύταις ἡ καλουμένη ἐγκοπή, ἥτις ἐν ταῖς συναλειφομέναις καταγίνεται λέξεσιν, οἷον 〈Γ 76. Η 54〉 ὣς ἔφα θ' , Ἕκτωρ δ ' αὖ τ ' ἐχάρη μέγα μῦθον ἀκούσας, 〈καὶ〉 〈Ι 228〉 δαίνυσ θ' , ἀλ λ ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλε ν. —Ὁ δὲ Νικάνωρ ὀκτώ φησιν εἶναι στιγμάς. Στιγμή ἐστι διανοίας ἀπηρτισμένης σημεῖο ν , μέση δὲ σημεῖον πνεύματος ἕνεκεν παραλαμβανόμενο ν.

178 ] Περὶ τῆς τελείας στιγμῆς πρῶτον διαλαμβάνει· ὁ δὲ νοῦς οὗτος· ἡ τελεία στιγμὴ σημεῖόν ἐστι διανοίας τελείας καὶ πεπερασμένης καὶ τετελεσμένης. Διαλλάσσει δὲ στιγμὴ διαστολῆς· ἡ μὲν γὰρ στιγμὴ τὰ πνεύματα διίστησιν, ἡ δὲ διαστολὴ ἅμα τοῖς πνεύμασι καὶ τὰς διανοίας. Καὶ ἡ μὲν μέση σημεῖον μεσούσης διανοίας, μήτε λίαν οὔσης πρὸς τὸ τέλος μήτε κρεμαμένης, οἷον 〈Α 23〉 αἰδεῖσθαί θ ' ἱερῆ α· ἡ δὲ ὑποστιγμὴ κρεμαμένης τῆς διανοίας καὶ πρὸς συμπλήρωσιν ὀλίγου δεομένης· διὸ καὶ καταβιβάζοντες ἐμφαντικώτατα τὴν φωνήν, ζητητικὴν αὐτὴν κατασκευάζουσι τῶν ἑξῆς, οἷον 〈Α 5〉 Διὸς δ ' ἐτελείετο βουλ ή. 〈Stephani.〉 — Τίνι διαφέρει στιγμὴ ὑποστιγμῆ ς ; Χρόν ῳ.] Τῷ χρόνῳ, φησί, διαφέρουσιν ἀλλήλων· χρόνῳ δὲ εἶπεν οὐ τῷ καιρῷ, ἀλλὰ τῷ διαστήματι τῆς φωνῆς· μετὰ γὰρ τὴν τελείαν ἔξεστί μοι καὶ μετὰ μίαν ὥραν καὶ μετὰ δύο καὶ μετὰ τρεῖς τὸν ἑξῆς ἐπαγαγεῖν στίχον, ἐν δὲ τῇ ὑποστιγμῇ οὐδ' ὅλως ἀναμένειν, ἀλλ' εὐθέως ἐπαγαγεῖν· ὥστε οὖν τῷ χρόνῳ διαφέρουσιν ἀλλήλων ἥ τε στιγμὴ καὶ ἡ ὑποστιγμή. Ζητοῦσι δέ τινες, τί δήποτε τῆς τελείας καὶ τῆς ὑποστιγμῆς σύγκρισιν ὁ τεχνικὸς ποιεῖται, τῆς δὲ μέσης οὐκέτι. Καί φασιν ὅτι τὰ ἄκρα ἀεί ποτε ἐναντία ἐστί, καὶ ἐκ τοῦ ἐναντίως ἔχειν πρὸς ἄλληλα δεῖται συγκρίσεως, ἡ δὲ μέση οὐδ' ὅλως· δήλη γάρ ἐστιν ὡς οὖσα τῶν πρός τι ἐχόντων, τὰ γὰρ μέσα τῶν πρός τί ἐστιν ἀεί· ὥσπερ οὖν τὸ ψυχρὸν τῷ θερμῷ ἐναντίον καὶ τὸ πικρὸν τῷ πάνυ γλυκεῖ, οὕτω καὶ ἡ στιγμὴ τῇ ὑποστιγμῇ. Καὶ ταῦτα μὲν ὁ ὑπομνηματίζω ν. Ἐγὼ δὲ νομίζω ὅτι τὰ πάντῃ διεστῶτα οὐ συγκρίνεται· ἀμέλει τὸ πικρὸν οὐκ ἄν τις συγκρίνειε τῷ γλυκεῖ οὐδὲ 〈τὸ〉 θερμὸν τῷ ψυχρῷ· οὐκοῦν οὐδὲ στιγμὴν τελείαν ὑποστιγμῇ· ἄκρα γὰρ καὶ διεστῶτα. Τὰ δὲ ποσῶς κοινωνοῦντα ἤγουν πλησιάζοντα, ταῦτα ἐπιδέχονται τὴν σύγκρισιν, οἷον ὁ ταχύτερος λέγεται οὐ πρὸς τὸν μηδ' ὅλως ταχύν, ἀλλὰ πρὸς τὸν ταχὺν μέν, ἔλαττον δέ· ἡ δὲ μέση τῇ ὑποστιγμῇ πλησιάζουσα, καθότι ἑκατέρα ἐπ' ἀτελοῦς ἐννοίας τίθεται, εἰκότως συγκριθήσεται.

179 Ἰστέον δὲ ὅτι μετὰ τὴν ἐν ὑποκρίσει ὑποστιγμὴν ἡ τελεία ἐπαχθήσεται. § 5 (6b). Περὶ ῥαψῳδία ς. Ῥαψῳδία ἐστὶ μέρος ποιήματος etc. Σ d 28, 10—30, 24. 〈Stephani.〉 —Καὶ ἄλλως. Περὶ ῥαψῳδίας. — Ῥαψῳδία ἐστὶ μέρος ποιήματος ἐμπεριειληφός τινα ὑπόθεσι ν.] Τὴν ῥαψῳδίαν καὶ αὐτὸς παρετυμολογῶν λέγει διαφόρως παρῆχθαι· ἢ γὰρ παρὰ τὸ ῥάπτειν—ῥάψαι δέ ἐστιν, ὡς ἴσμεν, τὸ κατασκευάσαι—ἐπειδὴ τὰ ἔπη συρράπτεται ἔκ τε διαφόρων λέξεων καὶ νοημάτων, καὶ οὕτως ἐξυφαίνεται τὰ τῆς ὑποθέσεως· ἢ παρὰ τὸ μετὰ ῥάβδου δαφνίνης τοὺς ῥαψῳδοὺς τὰ ἔπη ἐπιδείκνυσθαι. Ἦν δέ, ὥς φασιν, ἀπολόμενα τὰ τοῦ Ὁμήρου· τότε γὰρ οὐ γραφῇ παρεδίδοτο, ἀλλὰ μόνῃ διδασκαλίᾳ καὶ ὡς ἂν μνήμῃ μόνῃ ἐφυλάττετο. Πεισίστρατος δέ τις Ἀθηναίων τύραννος, ἐν ἅπασιν ὢν εὐγενής, καὶ ἓν τοῦτο θαυμαστὸν ἐβουλεύσατο· ἠθέλησε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ καὶ τὴν Ὁμήρου ποίησιν ἔγγραφον διαφυλάττεσθαι. Προθεὶς δὲ ἀγῶνα δημοτελῆ καὶ κηρύξας καὶ δοὺς ἄδειαν τοῖς εἰδόσι καὶ βουλομένοις τὰ Ὁμήρου ἐπιδείκνυσθαι, καὶ μισθὸν τάξας στίχου ἑκάστου ὀβολόν, συνήγαγεν ὁλοσχερεῖς τὰς λέξεις καὶ παρέδωκεν ἀνθρώποις σοφοῖς καὶ ἐπιστήμοσιν, ὡς καὶ τὸ ἐπίγραμμα αὐτοῦ δηλοῖ 〈Anthol. XI 442〉: Τρίς με τυραννήσαντα τοσαυτάκις ἐξετίναξε δῆμος Ἀθηναίων, καὶ τρὶς ἐπηγάγετο, τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὸν Ὅμηρον ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον. Ἡμέτερος γὰρ κεῖνος ὁ χρύσεος ἦν πολιήτης, εἴπερ Ἀθηναῖοι Σμύρναν ἀπῳκίσαμεν. Ῥαψῳδία ἐστὶ μέρος ποιήματο ς.] Ποιήσεως ἐχρῆν εἰπεῖν, οὐ ποιήματος· ποίησις γὰρ ἡ πᾶσα Ἰλιάς, ποίημα δὲ ἑκάστη ῥαψῳδία. Διαφέρει δὲ ποίημα καὶ ποίησις καὶ ποιητικὴ καὶ ποιητής· ποιητικὴ μὲν γάρ ἐστιν ἡ ἕξις, ποιητὴς δὲ ὁ μετέχων ποιητικῆς, ποίημα δὲ ὁ στίχος καὶ τὸ σύνταγμα τὸ ἐν ταὐτῷ ἀρχὴν καὶ τέλος ἔχον, ὁποῖόν ἐστι τὸ Κ τῆς Ἰλιάδος ἡ νυκτεγερσία καλουμένη· ποίησις δέ ἐστιν ἥτις ἀρχὴν μὲν οὐκ ἔχει ἐν τοῖς προτέροις, τὸ δὲ νόημα ἐν τοῖς ἐχομένοις ἀποτελεῖ· ἢ ποίημά ἐστι φράσις ἔμμετρος καὶ εὔρυθμος, ἀρχαιοτέρα καὶ σεμνοτέρα τῆς λογικῆς συντάξεως, κατὰ τῶν ὑποκειμένων πραγμάτων ἢ ὡς ὑποκειμένων τιθεμένη, ὑποκειμένων μὲν θείων τε καὶ ἀνθρωπίνων, ὡς ὑποκειμένων δέ, οἷον Σκύλλης, Χιμαίρας καὶ τῶν ὁμοίων.

180 Καὶ ἄλλως. — Πορφυρίο υ. —Ὁ ἐμπεριεχόμενος νοῦς ἐν τῇ ὑπογραφῇ τοῦτον ἔχει τὸν τρόπον, ὅτι ῥαψῳδία ἐστὶ μέρος ποιήματος, ποίημα δὲ ἡ Ἰλιάς, καὶ ἕτερον ποίημα ἡ Ὀδύσσεια· τὸ δὲ συναμφότερον λέγεται ποίησις· ἑκάστη δὲ τῶν ῥαψῳδιῶν οἰκείαν ὑπόθεσιν ἔχει. Ὠνόμασται δὲ ἀπὸ τοῦ ῥάψω μέλλοντος καὶ τοῦ ᾠδή· συνέρραπτον γὰρ τοὺς κατάλληλον διάνοιαν ἀπαρτίζοντας στίχους Ὁμηρικούς, καὶ ἔψαλλον τὸ ἐφαρμόζον μέλος πρὸς τὴν τοῦ Ἀπόλλωνος ἑορτήν· κατεῖχον δὲ καὶ κλάδους δαφνῶν οἱ Ὁμηρίδαι ἐν ταῖς χερσίν, ὅτε τοὺς Ὁμηρικοὺς στίχους ἐν τῇ τοῦ Ἀπόλλωνος ἑορτῇ ἔψαλλον. —Διὰ τί τοιαύτην ῥάβδον κατέχοντες τὰ Ὁμηρικὰ ᾖδον; Διὰ τὸ ἀειθαλὲς τῆς ποιήσεως, ἐπεὶ καὶ ἡ δάφνη ἀειθαλής ἐστιν οὐδέποτε φυλλορ 〈ρ〉 οοῦσα· καὶ ὅτι τοῦ Ὁμήρου ἡ ποίησις καὶ μαντικῆς μετέχει, οἱ δὲ μάντεις δάφνῃ ἐστέφοντο, τοῦ Ἀπόλλωνος κατὰ τὴν ἱστορίαν Δάφνης τινὸς κόρης ἐρασθέντος, διώκοντος δὲ καὶ μὴ καταλαβόντος, στεφανωθέντος δὲ ἀπὸ τῶν κλάδων αὐτῆς, ἐπεὶ ἀπεδενδρώθη παρὰ τῆς γῆς διασχούσης καὶ ταύτην λαβούσης οἷα μητρός, καὶ ἀνταποδούσης ἀντὶ 〈τῆσ〉 γυναικὸς τὸ φυτόν. —Ποῦ δὲ φαίνεται ὁ ποιητὴς μαντευσάμενος; Καὶ ἐν ἄλλοις μὲν πολλοῖς, πλὴν καὶ ἐν τούτοις· φησὶ γὰρ προσώπῳ τοῦ Ποσειδῶνος διὰ τὸν Αἰνείαν, ὅτι 〈Υ 307 seq〉 Τρώεσσιν ἀνάξε ι , Καὶ παῖδες παίδω ν , τοί κεν μετόπισθεν ἔσοντα ι· ὅτι δὲ ἀληθῆ ἐμαντεύσατο, δηλοῦσι τὰ πράγματα· ἐξ Αἰνείου γὰρ ἡ Ῥωμαϊκὴ ἀρχή, καὶ Αἰνειάδαι οἱ βασιλεῖς. 〈Stephani.〉 — Ταῦτα μὲν ἐν τούτοις. Τὰ δὲ ἐντεῦθεν τῆς γραμματικῆς «περὶ στοιχείου» μὲν ἐπιγράφεται, ἄρχεται δὲ ἐκ τοῦ «γράμματά εἰσιν κδʹ». Ἐπειδὴ 〈δὲ〉 ἐκ τῆς φωνῆς τὰ στοιχεῖα συνίστανται —στοιχεῖον δέ ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή—ἀναγκαῖον ἡμᾶς πρῶτον περὶ φωνῆς διαλαβεῖν, εἰ καὶ ὁ τεχνικὸς οὐδὲν εἶπε περὶ αὐτῆς.

181 Καὶ οἱ μὲν τῶν παλαιῶν λέγουσι τὴν φωνὴν σῶμα, οἱ δὲ ἀσώματον· οἱ γὰρ λέγοντες 〈ὅτι〉 ἀὴρ πεπληγμένος, σῶμα αὐτὴν νοοῦσι· σῶμα γὰρ 〈ὁ〉 ἀήρ, ἓν ὑπάρχων τῶν τεσσάρων στοιχείων· οἱ δὲ λέγοντες ἀσώματον οὔ φασι τὴν φωνὴν 〈ὅτι〉 ἀὴρ πεπληγμένος, ἀλλὰ πληγὴ ἀέρος ἤτοι ἴδιον αἰσθητὸν ἀκοῆς· ὅπερ ἐστὶ καὶ μᾶλλον ἀληθές. Καὶ δῆλον ἐκ μεθόδου τοιαύτης· τῶν πραγμάτων τὰ μὲν ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι, καθάπερ ἡ αὐλητικὴ καὶ 〈ἡ〉 ὀρχηστική· ταῦτα γὰρ ἐνεργούμενα μὲν εἰσί, γεγονότα δὲ οὐκ εἰσίν, ἅμα γὰρ τῷ παύσασθαι τὴν ἐνέργειαν φθείρεται καὶ τὸ γινόμενον· τὰ δὲ ἐν τῷ γεγονέναι ἔχει τὸ εἶναι, ὥσπερ ἡ ἀνδριαντοποιητικὴ καὶ 〈ἡ〉 τεκτονική· ταῦτα 〈γὰρ〉 ἐν μὲν τῷ γίνεσθαι οὐκ ἔχουσι τὴν ὕπαρξιν, καθὸ οὔπω ἀποτέλεσμα ἔχουσι, μετὰ δὲ τὸ γενέσθαι ἔχουσι καὶ τὸ εἶναι, τότε τοῦ ἀποτελέσματος ὄντος. Ἆρ’ οὖν ἡ φωνὴ ἐν τῷ γίνεσθαι ἔχει τὴν ὕπαρξιν, μετὰ δὲ ταῦτα οὐχ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑφίσταται· καὶ δῆλον ὅτι οὐκ ἔστι σῶμα, ἀλλ' ἀσώματον. Ἰστέον 〈δὲ〉 ὅτι τῶν φωνῶν αἱ μέν εἰσιν ἔναρθροι καὶ ἐγγράμματοι, ὡς αἱ ἡμέτεραι· αἱ δὲ ἄναρθροι καὶ ἀγράμματοι, ὡς ὁ ἦχος τοῦ πυρὸς καὶ ὁ κτύπος τοῦ λίθου ἢ τοῦ ξύλου· αἱ δὲ ἄναρθροι μέν, ἐγγράμματοι δέ, οἷον αἱ μιμήσεις τῶν ἀλόγων ζῴων, ὡς τὸ βρεκεκέξ καὶ τὸ κοΐ (ἡ φωνὴ τοῦ χοίρου)· αὕτη γὰρ ἡ φωνὴ ἄναρθρος μέν, καθὸ οὐκ ἴσμεν τί σημαίνει, ἐγγράμματος δέ, καθὸ δύναται γραφῆναι· αἱ δὲ ἔναρθροι μέν, ἀγράμματοι δέ, ὡς ἐπὶ τοῦ συρισμοῦ· αὕτη γὰρ ἡ φωνὴ ἔναρθρος μέν, καθὸ ἴσμεν τί σημαίνει, οἷον 〈Κ 502〉 ῥοίζησε〈ν〉 δ ' ἄρα πιφαύσκων Διομήδεϊ δί ῳ, ἀγράμματος δέ ἐστι, καθὸ οὐ δύναται γραφῆναι. Ἰστέον δὲ ὅτι ἡ φωνὴ κυρίως 〈μὲν〉 λέγεται ἐπὶ τῶν ἀνθρώπων, ὡς παρὰ τῷ ποιητῇ 〈Β 489 seq〉 οὐ δ ' εἴ μοι δέκα μὲν γλῶσσα ι , δέκα δὲ στόμα τ ' εἶε ν , Φωνή τ ' ἄρρηκτο ς· καταχρηστικῶς δὲ καὶ ἐφ' ἑτέρων λέγεται φωνή, ὡς ἐπὶ σάλπιγγος εἶπεν Ὅμηρος 〈Σ 219〉 ὡς δ ' ὅ τ ' ἀριζήλη φων ή , ὅτε τ ' ἴαχε σάλπιγ ξ. Σχηματίζεται δὲ ἡ φωνὴ παρὰ τὸ φῶ, τὸ φαίνω, κατὰ πρόσληψιν συλλαβῆς τῆς νη γινομένη [φῶ] φωνή· φαίνει γὰρ καὶ λαμπρῶς δηλοῖ τὰ ἐνθυμήματα· ἢ ὅτι φωτονόη τίς ἐστιν· αὕτη γὰρ τὰ τοῦ νοὸς ἐνθυμήματα εἰς φῶς ἐξάγει. Ὁρίζεται δὲ ἡ φωνὴ οὕτως· φωνή ἐστι πνεῦμά τι ἀπὸ συστήματος ἰδίου καὶ αἵματος ἀναφερόμενον ἕως τῆς γλώττης, ὑφ' ἧς τυπτόμενον διαρθροῦται καὶ νοητὸν ταῖς πλησίον ἀκοαῖς παραδίδοται.

182 § 6 (7b). Περὶ στοιχείο υ . Μελάμποδο ς. —Γράμματά ἐστιν κδ' etc. = Σ d 30, 26—47, 31. Περὶ στοιχείο υ. —Διδάξας ἡμᾶς ὁ Διονύσιος περὶ προσῳδιῶν 〈καὶ〉 τέχνης καὶ γραμματικῆς καὶ ἀναγνώσεως καὶ τῶν ἐφεξῆς τοὺς λόγους, ἄρχεται λοιπὸν καὶ περὶ τῶν τῆς γραμματικῆς ἀρχῶν, τοῦ στοιχείου, καὶ τὴν τούτου διάκρισιν ποιεῖται. Δέον δὲ εἰπεῖν τί ἐστι στοιχεῖον· ἀλλ' ἐπειδὴ ἀδύνατον εἰπεῖν τί ἐστιν, εἰ μὴ διαστείλωμεν τὸ τοῦ στοιχείου ὄνομα, ὁμώνυμον γάρ, πρότερον δέον εἰπεῖν, ποσαχῶς τὸ στοιχεῖον. Λέγουσι τοίνυν αὐτὸ διχῶς, τά τε ἀφ' ἑαυτῶν ἀρχόμενα γράμματα καὶ τὰ ἐξ ὧν σύγκειται τὰ σώματα. —Στοιχεῖον δέ ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή, ἢ φωνὴ ἐγγράμματος ἀμερής, ἢ φωνῆς Ἑλληνίδος φθόγγος ἐλάχιστος. Περὶ δὲ τῆς τῶν γραμμάτων εὑρέσεως διαφόρως οἱ ἱστορικοὶ ἱστόρησαν· οἱ μὲν γὰρ Προμηθέα λέγουσι τούτων εὑρετήν, ἄλλοι δὲ Φοίνικα τὸν τοῦ Ἀχιλλέως παιδαγωγόν, ἄλλοι δὲ τὸν Μιλήσιον Κάδμον, ἄλλοι δὲ τὴν Ἀθηνᾶν, ἄλλοι δὲ ἐξ οὐρανοῦ ἐρρῖφθαι τοῖς ἀνθρώποις πρὸς ὠφέλειαν. Εὕρηνται δὲ οὐχ ὑφ' ἑνὸς ἅπαντα· ὕστερον γὰρ ἐπενοήθησαν τὰ δασέα καὶ τὰ διπλᾶ· πρὶν γὰρ ταῦτα ἐπινοηθῆναι, τοῖς ἀντιστοίχοις ἐχρῶντο, οἷον εἰ ἠθέλησαν χ ποιῆσαι, ἐποίουν κ καὶ δασεῖαν, εἰ δὲ θ ἢ φ , πάλιν ὁμοίως τὰ ἀντίστοιχα μετὰ δασειῶν, ὡς νῦν οἱ Ῥωμαῖοι· καὶ τὰ διπλᾶ δέ, ἐξ ὧν σύγκεινται. Ἄλλοι δὲ λέγουσιν, ὅτι καὶ τὰ μακρὰ τελευταῖον ἐπενοήθησαν, τῶν βραχέων τὸ πρότερον μετὰ μακρᾶς προστιθεμένης ἄνωθεν ἀναπληρούντων 〈αὐτῶν〉 τὴν τάξιν· ἐποίουν γὰρ ἀντὶ τοῦ ω ο καὶ ἄνω〈θεν〉 μακράν, καὶ ἀντὶ τοῦ η ε καὶ ἄνωθεν μακράν. Τινὲς δὲ φοινίκεια ἐκάλεσαν τὰ γράμματα, 〈οἱονεὶ φωνίκεια,〉 παρὰ τὸ τῆς φωνῆς εἰκόνα εἶναι τὰ γράμματα. Τῶν στοιχείων εὑρετὴν ἄλλοι τε καὶ Ἔφορος ἐν δευτέρῳ Κάδμον φασίν· οἱ δὲ οὐχ εὑρετήν, τῆς δὲ Φοινίκων εὑρέσεως πρὸς ἡμᾶς διάκτορον γεγενῆσθαι, ὡς καὶ Ἡρόδοτος ἐν ταῖς ἱστορίαις 〈V, 58〉 καὶ Ἀριστοτέλης 〈p.
183 472 Rose〉 ἱστορεῖ· φασὶ γὰρ ὅτι Φοίνικες μὲν εὗρον τὰ στοιχεῖα, Κάδμος δὲ ἤγαγεν αὐτὰ εἰς τὴν Ἑλλάδα. Πυθόδωρος δὲ [ὡς] ἐν τῷ περὶ στοιχείων καὶ Φίλλις ὁ Δήλιος ἐν τῷ περὶ χρόνων πρὸ Κάδμου Δαναὸν μετακομίσαι αὐτά φασιν· ἐπιμαρτυροῦσι τούτοις καὶ οἱ Μιλησιακοὶ συγγραφεῖς Ἀναξίμανδρος καὶ Διονύσιος καὶ Ἑκαταῖος, οὓς καὶ Ἀπολλόδωρος ἐν νεῶν καταλόγῳ παρατίθεται. Ἔνιοι δὲ Μουσαῖον εὑρετὴν λέγουσι τὸν Μητίονος καὶ Στερόπης κατ' Ὀρφέα γενόμενον· Ἀντικλείδης δὲ ὁ Ἀθηναῖος Αἰγυπτίοις τὴν εὕρεσιν ἀνατίθησι· Δοσιάδης δὲ ἐν Κρήτῃ φησὶν εὑρεθῆναι αὐτά· Αἰσχύλος δὲ Προμηθέα φησὶν εὑρηκέναι ἐν τῷ ὁμωνύμῳ δράματι 〈v. 460〉, Στησίχορος δὲ ἐν δευτέρῳ Ὀρεστείας καὶ Εὐριπίδης 〈fr. 578 N 2 〉 τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παλαμήδην φησὶν εὑρηκέναι, Μνασέας δὲ Ἑρμῆν, ἄλλοι δὲ ἄλλον. Πιθανὸν δὲ κατὰ πάντα τόπον εὑρετὰς γεγενῆσθαι, διὸ καὶ ἄλλοι παρ' ἄλλοις εἰσὶ χαρακτῆρες τῶν στοιχείων· οἷς δὲ νυνὶ χρώμεθα, εἰσὶν Ἰωνικοί, εἰσενέγκαντος Ἀρχίνου παρ' Ἀθηναίοις ψήφισμα, τοὺς γραμματιστάς, ἤγουν τοὺς διδασκάλους, παιδεύειν τὴν Ἰωνικὴν γραμματικήν, ἤγουν τὰ γράμματα. Διέταξε δὲ τὰ στοιχεῖα γράφεσθαι, ὡς γράφομεν νῦν, Προναπίδης ὁ Ἀθηναῖος· τῶν γὰρ ἀρχαίων οἱ μὲν σπειρηδὸν ἔγραφον, οἱ δὲ πλινθηδόν, οἱ δὲ βουστροφηδόν, οἱ δὲ κιονηδόν [περὶ ὧν ἐν τοῖς ἑξῆς ἔχομεν μαθεῖν]· ἔγραφον δὲ αὐτὰ καὶ δισχιδὸν ἤγουν στιχηδόν, ᾗ γραφῇ καὶ ἡμεῖς νῦν χρώμεθα· δισχιδὸν δὲ λέγεται τὰ στιχηδὸν γεγραμμένα παρὰ τὸ ἔχειν διεσχισμένους καὶ διακεχωρισμένους τοὺς στίχους ἀπ' ἀλλήλων. Διὰ τοῦτο δὲ καὶ οὐκ ἄλλοις χαρακτῆρσι χρώμεθα τῶν στοιχείων, ἀλλὰ τοῖς Ἰωνικοῖς, ὡς μὲν Ἀσκληπιάδης ὁ Μυρλεανὸς λέγει, διὰ τὸ κάλλος, καὶ ὅτι πλεῖστα τῶν συγγραμμάτων τούτοις ἐγέγραπτο τοῖς χαρακτῆρσιν, ὡς δὲ Διόδωρος καὶ Ἀπίων ἐν τῷ περὶ τῶν στοιχείων, ὅτι πλεῖστοι συγγραφεῖς καὶ οἱ ποιηταὶ ἀπὸ τῆς Ἰωνίας τούτοις τοῖς τύποις ἐχρήσαντο. Ἀπολλώνιος δὲ ὁ Μεσσήνιος ἐν τῷ περὶ ἀρχαίων γραμμάτων φησί τινας λέγειν, ὅτι Πυθαγόρας αὐτῶν τοῦ κάλλους ἐπεμελήθη, ἐκ τῆς κατὰ γεωμετρίαν γραμμῆς ῥυθμίσας αὐτὰ γωνίαις καὶ περιφερείαις καὶ εὐθείαις.

184 Ἰστέον δὲ ὅτι τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά εἰσιν, ὡς μέν φασί τινες, ὅτι βαρβάρων ἐστὶν εὑρήματα. Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι πρῶτον μὲν πολλὰ 〈ὀνόματα〉 τῶν βαρβάρων κλίνονται, ὡς τὸ Ξέρξης καὶ Δαρεῖος· δεύτερον δὲ ὅτι ἄτοπόν ἐστι τὸν θεμέλιον τῆς Ἑλληνικῆς διαλέκτου βαρβάρων εὕρημα λέγειν· τρίτον δὲ εἰ, διότι βαρβάρων ἐστὶν εὑρήματα, διὰ τοῦτο ἄκλιτά εἰσιν, ὤφειλον ἐκεῖνα 〈τὰ〉 στοιχεῖα ἄκλιτα εἶναι μόνα, ἅπερ λέγουσι βαρβάρους εὑρεῖν, φημὶ δὴ α β 〈γ〉 δ 〈ε〉 ι κ λ μ ν ο π ρ σ τ υ , τὰ δὲ ἄλλα ὀκτὼ τὰ ὑπὸ τῶν Ἑλλήνων εὑρεθέντα ὤφειλον κλίνεσθαι, φημὶ δὴ τὰ δύο μακρά, τὸ η καὶ τὸ ω , καὶ τὰ τρία διπλᾶ, ζ ξ ψ , καὶ τὰ τρία δασέα, θ φ χ . Κακῶς οὖν λέγουσιν· ἀλλὰ κρεῖττόν ἐστιν εἰπεῖν, ὅτι διὰ τοῦτο τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά ἐστιν, ἢ ἐπειδὴ ἀρχαί εἰσιν, αἱ δὲ ἀρχαὶ θέλουσιν ἁπλαῖ τε εἶναι καὶ ἀποίκιλοι, ὥσπερ ἡ λευκότης αὐτὴ καθ' ἑαυτὴν νοουμένη ἁπλῆ ἐστιν· ἢ ὅτι οἱ θεμέλιοι ἀμεταθέτως θέλουσιν ἔχειν· ἢ διὰ τὸ ἀρτιμαθὲς τῶν παίδων οὐ κλίνονται, ἵνα μὴ πολλὰ γινόμενα δυσκατάληπτα αὐτοῖς γίνωνται· παρὰ Δημοκρίτῳ δὲ κλίνονται, λέγει γὰρ δέλτατος καὶ θήτατος. Ταῦτα μὲν ἐν τούτοις. Φοινίκεια δὲ τὰ γράμματα ἐλέγοντο, ὥς φησιν Ἔφορος ὁ Κυμαῖος καὶ Ἡρόδοτος 〈V 58〉, ἐπεὶ Φοίνικες εὗρον αὐτά· Εὐφρόνιος δέ, ὅτι μίλτῳ τὸ πρότερον ἐγράφοντο, ὅ ἐστι χρῶμά τι φοινικοῦν· Ἐτεωνεὺς 〈δὲ〉 καὶ Μένανδρος, ἐπειδὴ ἐν πετάλοις φοινικείοις ἐγράφοντο· ἤ, ὅπερ κρεῖττόν ἐστιν εἰπεῖν, ὅτι φοινίσσεται ὑπ' αὐτῶν ὁ νοῦς ἤγουν λαμπρύνεται· Ἄνδρων δὲ καὶ Μενεκράτης ὁ Ὀλύνθιος ἀπὸ Φοινίκης τῆς Ἀκταίωνος θυγατρός· Ἀπολλώνιος δὲ ὁ τοῦ Ἀρχιβίου, ἐπειδὴ οἱ ἀντίγραφοι ἀπὸ φοίνικος ξύλον εἶχον καὶ μετ' αὐτοῦ ἔγραφον· Δοῦρις δὲ ὁ Σάμιος ὁ ἱστορικὸς ἐν ὀγδόῃ 〈τῶν〉 Μακεδονικῶν ἀπὸ Φοίνικος τοῦ Ἀχιλλέως τροφοῦ· Ἀλέξανδρος δὲ ὁ Ῥόδιος ἀπὸ Φοίνικος τοῦ Προνάπου καὶ Εὐρώπης, εὑρόντος αὐτὰ ἐν Κρήτῃ, ὃν ἀπέκτεινε Ῥαδάμανθυς φθονήσας.

185 Εὑρεταὶ δὲ τῶν λοιπῶν [τῶν] χαρακτήρων, τουτέστι τῶν ὀκτώ, οἷον τῶν δύο μακρῶν καὶ τῶν τριῶν διπλῶν καὶ 〈τῶν〉 τριῶν δασέων, δηλονότι Σιμωνίδης μὲν ὁ Κεῖος τῶν δύο μακρῶν καὶ τοῦ ξ καὶ τοῦ ψ , Παλαμήδης δὲ τῶν δασέων καὶ τοῦ ζ , ἤ, ὥς φασί τινες, Ἐπίχαρμος ὁ Συρακούσιος. Ὅσοι 〈δὲ〉 τὴν τῶν γραμμάτων εὕρεσιν Σισύφῳ ἢ Παλαμήδῃ ἢ Φοίνικι ἢ Προμηθεῖ ἐφάπτουσιν, ἢ ἐν Φοινίκῃ ἀπὸ οὐρανοῦ πεπτωκέναι φασίν, ἢ παρ' Αἰγυπτίοις εὑρηκέναι Θώθ, ὃν Ἑρμῆν ἑρμηνεύουσιν, 〈οὐκ ὀρθῶς λέγουσιν〉 · καὶ γὰρ ἡ φύσις ἡνίκα ἐδημιούργησε τὸν ἄνθρωπον, ἐχαρίσατο αὐτῷ τοιαύτην ἐπιτηδειότητα, ὥστε τεχνάσασθαι ταῦτα τὰ στοιχεῖα. Δείκνυνται δὲ ταῦτα καὶ πρὸ τῶν Ἰλιακῶν ὄντα, ὡς δῆλον ἐκ τῶν Βελλεροφόντου· φησὶ γὰρ ὁ ποιητὴς 〈Z 169〉 γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλ ά· ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ Βελλεροφόντης πρὸ τοῦ Τρωϊκοῦ πολέμου ἦν, καὶ γὰρ πάππος ἦν τοῦ Γλαύκου τοῦ ἐν τῷ Τρωϊκῷ πολέμῳ ὄντος. Ἀλλὰ καὶ ἐν Πυθοῖ ἦν λέβης ἐπιγεγραμμένος 〈cfr Herod. V 59〉 Ἀμφιτρύων μ ' ἀνέθηκε λαβὼν ἀπὸ Τηλεβοάω ν· καὶ ἐν Τάφῳ τῇ νήσῳ 〈Anthol. IX 684〉 Ὠκεανοῦ θυγάτηρ καὶ Τηθύος εἰμὶ Νύχεια κρήνη· Τηλεβόαι γάρ με τόδ' ὠνόμασαν· νύμφαις μὲν προχέω λουτρόν, θνητοῖσι δ' ὑγείην· θῆκε δέ με Πτερέλας, υἱὸς Ἐνυαλίου. Μετὰ δὲ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν οὐδεὶς τῶν περιλειφθέντων Ἑλλήνων ἐφύλαξεν αὐτῶν τὴν μνήμην, πλὴν τῶν Πελασγῶν τῶν ἀφ' Ἑλλάδος εἰς βαρβάρους πλανηθέντων, οὓς καὶ ὁ ποιητὴς δίους καλεῖ, φάσκων 〈Κ 429〉 καὶ Λέλεγες καὶ Καύκωνες δῖοί τε Πελασγο ί· παρ' ὧν μαθόντες πρῶτοι Φοίνικες εἰς Ἕλληνας ἤγαγον, γείτονές τε βαρβάρων ὄντες καὶ συνεχεῖς ἐμπορίας ποιούμενοι· ὅθεν καὶ Φοινίκεια κτητικῶς ὀνομάζονται.

186 Οἱ δὲ φοινίκεια λέγουσιν αὐτά, οἱονεὶ φωνίκεια, ἐπειδὴ φωνῆς ἐγγραμμάτου δυνάμει εἰκόνες εἰσί, μεταβολῆς γεγονυίας τοῦ ω εἰς τὴν οι δίφθογγον κατὰ τὴν τῶν Βοιωτῶν διάλεκτον, ὥσπερ ἀγκώνη ἀγκοίνη. Ἰστέον 〈δὲ〉 ὅτι παρὰ τὸ στοιχῶ γίνεται στοιχεῖον, ἁρμονίᾳ γάρ τινι ἕπεται ἀλλήλοις τὰ στοιχεῖα· καὶ δῆλον ἀφ' ὧν λέγομεν ψιλὰ ψιλῶν ἡγεῖσθαι καὶ δασέα δασέων καὶ μέσα μέσων κατὰ σύλληψιν, οἷον κτύπος φθόνος ἕβδομος· καὶ πάλιν φαμὲν τὸ ν τοῦ 〈 κ γ 〉 χ μὴ προηγεῖσθαι, καὶ μηδέποτε σύμφωνον προηγεῖσθαι τοῦ ς κατὰ σύλληψιν. Γράμματα δὲ λέγεται παρὰ τὸ γλάπτεσθαι, ὅ ἐστι κοιλαίνεσθαι· γέγονε γὰρ γλάμμα καὶ κατὰ μετάθεσιν τοῦ λ εἰς ρ γράμμα· ἢ παρ' ὅσον ἐκ τῶν παρὰ τοῖς γεωμέτραις λεγομένων γραμμῶν ἐσχημάτισται· καὶ γὰρ ὁ Πυθαγόρας, ὥς φασι, 〈τοῦ〉 κάλλους αὐτῶν ἐπεμελήθη ἐκ τῆς κατὰ γεωμετρίαν γραμμῆς. Ζητοῦσι δέ τινες, διὰ τί τὸ γράμμα διὰ δύο μμ γράφεται, καὶ οὐ δι' ἑνὸς μ , ὥσπερ τὸ θέμα καὶ βῆμα καὶ ποίημα. Καὶ ἔστιν εἰπεῖν, ὅτι ταῦτα ἐκ τοῦ πρώτου προσώπου τοῦ παθητικοῦ παρακειμένου σχηματίζονται, οἷον ἀπὸ τοῦ πεποίημαι ποίημα, νενόημαι νόημα, τετέλεσμαι τέλεσμα, γέγλυμμαι γλύμμα, ἔστεμμαι στέμμα· εἰ οὖν τὸ γέγραμμαι διὰ δύο μμ γράφεται, εὐλόγως καὶ τὸ γράμμα διὰ δύο μμ γράφεται. Ἐπειδὴ δέ τινες τὸ παρὰ τοῖς Βοιωτοῖς 〈καὶ Λάκωσι〉 καὶ Αἰολεῦσι λεγόμενον δίγαμμα, ὃ τυποῦται οὕτως ϝ, βούλονται τοῖς στοιχείοις κατατάσσειν, ἔλθωμεν καὶ εἴπωμεν τοὺς λόγους, δι' οὓς βούλονται αὐτὸ κατατάσσειν τοῖς στοιχείοις, καὶ τότε δείξομεν ὅτι οὐκ ἔστι στοιχεῖον. Φασὶ μὲν ὅτι παντὶ στοιχείῳ ἕπεται τὸ ἔχειν χαρακτῆρα καὶ ὄνομα, δι' οὗ ὀνομάζεται, ὥς φαμεν τοῦτο καλεῖσθαι ἄλφα ἢ ἦτα ἢ ω μέγα· εἰ ἄρα οὖν καὶ τὸ δίγαμμα χαρακτῆρα ἔχει καὶ ὄνομα, δῆλον ὅτι στοιχεῖόν ἐστιν. Εἰπόντες οὖν πῶς λέγεται αὐτὸ στοιχεῖον, ἔλθωμεν καὶ δείξωμεν ὅτι οὐκ ἔστιν αὐτὸ στοιχεῖον.

187 Ἰστέον γὰρ ὅτι πᾶν στοιχεῖον ἀφ' ἑαυτοῦ ἄρχεται, τὸ ἄλφα ἀπὸ τοῦ α , τὸ βῆτα ἀπὸ τοῦ β , καὶ τὰ ἑξῆς ὁμοίως· τὸ δὲ δίγαμμα οὐχ οὕτως ἔχει· οὐκ ἄρα οὖν ἐστι στοιχεῖον. Ἄλλως τε δὲ πάντα τὰ στοιχεῖα κατὰ πᾶσαν ἔστιν εὑρίσκεσθαι διάλεκτον, τὸ δὲ δίγαμμα οὔ, ἀλλὰ παρὰ μόνοις τοῖς Βοιωτοῖς καὶ τοῖς Λάκωσι καὶ Αἰολεῦσιν· οὐκ ἄρα ἐστὶ στοιχεῖον. Ἔτι τὰ στοιχεῖα ἢ φωνήεντά ἐστιν ἢ σύμφωνα, τοῦτο δὲ οὐδὲν ἐκ τούτων δύναται εἶναι· σύμφωνον μὲν γὰρ οὐκ ἔστιν, ἐπειδὴ τὰ σύμφωνα εὑρίσκονται μετὰ ἑτέρου συμφώνου ἢ ἐν συλλήψει ἢ ἐν διαστάσει, οἷον θνῄσκω ἕλκω· εἰ ἄρα οὖν τὸ ϝ οὐ σύνεστι παντελῶς συμφώνοις, ἀλλὰ φωνήεσιν ἀεί, οἷον ϝουλαμός, δῆλον ὅτι οὐκ ἔστι σύμφωνον. Ἀλλ' οὐδὲ φωνῆεν δύναται εἶναι· καὶ γὰρ τοῖς φωνήεσι παρέπεται τὸ δασύνεσθαι καὶ ψιλοῦσθαι, τὸ δὲ ϝ οὐδέποτε δασύνεται, ἀλλὰ μόνον ψιλοῦται· οὐκ ἄρα ἐστὶ φωνῆεν· ἄλλως τε δὲ τὰ προτακτικὰ φωνήεντα οὐχ ὑποτάσσονται φωνήεσιν, οἷον τὸ α καὶ ε καὶ τὰ ἄλλα προτακτικὰ ὄντα οὐχ εὑρίσκονται ἑτέροις ὑποτασσόμενα φωνήεσιν· εἰ ἄρα οὖν τὸ ϝ εἴπωμεν φωνῆεν, εὑρεθήσεται ἐν τῷ ϝάναξ καὶ ϝελένη τὸ α καὶ ε τὰ προτακτικὰ ὑποτασσόμενα φωνήεσιν, ὅπερ ἐστὶν ἄτοπον· 〈ἔτι οὐδέποτε τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ παραλαμβάνονται· εἰ ἄρα οὖν τὸ ϝ εἴπωμεν φωνῆεν, εὑρεθήσονται ἐν τῷ ϝεῖδος καὶ ϝουλαμόσ〉 τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ, ὅπερ ἐστὶν ἀδύνατον· εἰ ἄρα οὖν, ὡς—δέδεικται,

οὔτε σύμφωνον δύναται εἶναι οὔτε φωνῆεν, δῆλον ὅτι οὐκ ἔστι στοιχεῖον τὸ ϝ. Ἔτι πᾶς χαρακτὴρ στοιχείων σημαίνει ἀριθμόν· καὶ γὰρ τὸ α σημαίνει τὸν ἕνα ἀριθμόν, καὶ τὸ β τὸν δύο, καὶ ἑξῆς· εἰ ἄρα οὖν ὁ χαρακτὴρ τοῦ ϝ οὐ σημαίνει ἀριθμόν, δῆλον ὅτι οὐκ ἔστι στοιχεῖον. Ἐπειδὴ δέ τινες τὴν δασεῖαν, ἥτις τυποῦται οὕτως ϝ, οὐκ ὤκνησαν στοιχεῖον λέγειν, φέρε πρῶτον τοὺς λόγους εἴπωμεν, οἷστισιν ἐπερειδόμενοι λέγουσι τὴν δασεῖαν στοιχεῖον εἶναι, καὶ τότε δείξομεν ὅτι οὐκ ἔστι στοιχεῖον. Φασὶν ὅτι πᾶν στοιχεῖον ἔχει τινὰ ἐκφώνησιν· τοιαύτη δέ ἐστι καὶ ἡ δασεῖα, προσγινομένη καὶ φθόγγον ἴδιον ἀποτελοῦσα· στοιχεῖον ἄρα ἡ δασεῖα. Ἔστι δὲ εἰπεῖν ὅτι οὐκ ἔστι στοιχεῖον ἡ δασεῖα· καὶ γὰρ πάντα τὰ στοιχεῖα ἢ φωνήεντά ἐστιν ἢ σύμφωνα· εἰ ἄρα δείξομεν τὴν δασεῖαν ὅτι οὔτε φωνήεντος δύναμιν ἔχει οὔτε συμφώνου, δῆλον ὅτι οὐκ ἔστι στοιχεῖον. Καὶ γὰρ φωνήεντος μὲν δύναμιν οὐκ ἔχει, ἐπειδὴ τὰ φωνήεντα καὶ δασύνονται καὶ ψιλοῦνται, ὅπερ οὐ παρακολουθεῖ τῇ δασείᾳ· οὐκ ἄρα οὖν φωνῆέν ἐστιν· ἄλλως τε δὲ εἰ ἦν φωνῆεν ἡ δασεῖα, ἔδει τὸ δασυνόμενον ε καὶ τὸ ο τὸ δασυνόμενον μείζονι χρόνῳ κεχρῆσθαι τοῦ ψιλουμένου, εἴ γε τὰ ἐκ δύο φωνηέντων καταγινόμενα μείζονα τῶν βραχέων εἰσίν· 〈ὅπερ οὐκ ἔστιν〉 · ἔτι οὐδέποτε τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ παραλαμβάνονται· εἰ ἄρα οὖν εἴπωμεν τὴν δασεῖαν φωνῆεν, εὑρεθήσονται ἐν τῷ εἷμα καὶ αἷμα τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ, ὅπερ ἀδύνατον· ἔτι τὰ φωνήεντα αὐτὰ καθ' ἑαυτὰ δύνανται παραλαμβάνεσθαι, ἡ δὲ δασεῖα οὐ δύναται καθ' ἑαυτὴν παραλαμβάνεσθαι· οὐκ ἄρα οὖν φωνῆέν ἐστιν.

188 Ἀλλ' οὔτε δὲ σύμφωνον δύναται εἶναι· καὶ γὰρ τοῖς δασέσι συμφώνοις οἱ Αἰολεῖς κέχρηνται συνεχῶς, οἷον 〈Π 165〉 ἀμ φ ' ἀγαθὸν θεράποντα, 〈ubi?〉 οὐχ εὗρον, τῇ δὲ δασείᾳ οὐ κέχρηνται, ψιλωτικοὶ γάρ εἰσιν· οὐκ ἄρα οὖν ἐστι σύμφωνον ἡ δασεῖα· ἄλλως τε δὲ τὰ ἀπὸ συμφώνων ἀρχόμενα ῥήματα τὸ ε προσλαμβάνουσι κατὰ τὸν παρατατικόν, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον· εἰ ἄρα οὖν 〈ἦν〉 ἡ δασεῖα σύμφωνον, ὤφειλον τὰ δασυνόμενα, φημὶ δὴ τὸ εὑρίσκω καὶ τὸ εὕδω, τὸ ε προσλαμβάνειν κατὰ τὸν παρατατικόν, ὅπερ οὐκ ἔστιν· ἔτι τὰ σύμφωνα ἐν τῇ ἀρχῇ καὶ ἐν τῷ μέσῳ καὶ ἐν τῷ τέλει εὑρίσκονται, οἷον Πλάτων, ἡ δὲ δασεῖα οὐχ οὕτως ἔχει, φίλαρχος γάρ ἐστιν· οὐκ ἄρα οὖν σύμφωνόν ἐστι. Δῆλον οὖν ὡς οὔτε σύμφωνον οὔτε φωνῆεν ὑπάρχουσα ἡ δασεῖα οὐκ ἔστι στοιχεῖον. Ἐπειδὴ δέ τινες τὸ ρ φωνῆεν θέλουσι λέγειν, εἴπωμεν πῶς λέγουσιν αὐτὸ φωνῆεν εἶναι, καὶ τότε δείξομεν αὐτὸ σύμφωνον. Φασὶν ὅτι τοῖς φωνήεσι παρέπεται τὸ δασύνεσθαι καὶ ψιλοῦσθαι, οὐ μὴν τοῖς συμφώνοις· εἰ ἄρα οὖν τὸ ρ καὶ δασύνεται καὶ ψιλοῦται—καὶ δασύνεται μέν, ὡς ἐν τῷ ῥάπτω, ψιλοῦται δέ, ὡς ἐν τῷ μέῤος—δῆλον ὅτι φωνῆέν ἐστιν. Ἄλλως τε δὲ τὰ διὰ τοῦ α μακροῦ ἐκφερόμενα κατὰ τὸν μέλλοντα τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, ὅτε μὴ Δωρικά ἐστι, κατὰ τὸν ἐνεστῶτα ἔχουσι πρὸ τοῦ α φωνῆεν, οἷον ἀνιάσω ἀνιῶ, κοπιάσω κοπιῶ, ἐρυθριάσω ἐρυθριῶ· ἐπεὶ οὖν καὶ τὸ φυράσω καὶ τὸ περάσω καὶ τὸ δράσω, οὐ Δωρικὰ ὄντα ἀλλὰ κοινά, μακρῷ τῷ α κέχρηνται, παραλήγεται δὲ τῷ ρ , δῆλον ὅτι φωνῆέν ἐστι καὶ οὐ σύμφωνον· πρόσκειται «ὅτε μὴ ὦσι Δωρικά», διὰ τὸ πεινάσω καὶ διψάσω· ταῦτα γὰρ μακρὸν ἔχουσι τὸ α , καὶ ὅμως κατὰ τὸν ἐνεστῶτα οὐκ ἔχουσι πρὸ τοῦ ω φωνῆεν· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἀπὸ τοῦ πεινήσω καὶ διψήσω κατὰ τροπὴν Δωρικὴν τοῦ η εἰς α μακρὸν γέγονεν.

189 Ἔτι τὰ βραχυκατάληκτα τῶν εἰς α ληγόντων θηλυκῶν ποτὲ μὲν φυλάττουσι τὸ α κατὰ τὴν γενικήν, ὅτε φωνήεσι παραλήγεται, οἷον Μήδεια Μηδείας, Ἀντιόχεια Ἀντιοχείας, ποτὲ δὲ τρέπουσιν αὐτὸ εἰς τὸ η , ὅτε σύμφωνον ἔχει πρὸ τοῦ α , οἷον θάλασσα θαλάσσης, ἅμαξα ἁμάξης· εἰ ἄρα οὖν τὰ ἔχοντα πρὸ τοῦ α τὸ ρ φυλάττουσιν αὐτὸ ἐπὶ γενικῆς καὶ οὐ τρέπουσιν, οἷον σφαῖρα σφαίρας, μάχαιρα μαχαίρας, δῆλον ὅτι τὸ ρ φωνῆέν ἐστι καὶ οὐ σύμφωνον. Ἔτι τὰ ἀπὸ ἑνὸς ἁπλοῦ συμφώνου ἀρχόμενα ῥήματα ἀναδιπλασιάζουσι τὸν παρακείμενον, οἷον τύπτω τέτυφα, θύω τέθυκα, φιλῶ πεφίληκα, τὰ δὲ ἀπὸ φωνήεντος ἀρχόμενα οὐκ ἀναδιπλασιάζουσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν παρακείμενον, οἷον ἐρευνῶ ἠρεύνηκα, ἐλεῶ ἠλέηκα· εἰ ἄρα οὖν τὰ ἀπὸ τοῦ ρ ἀρχόμενα οὐκ ἀναδιπλασιάζουσι τὸν παρακείμενον, οἷον ῥάπτω ἔρραφα, ῥυπῶ ἐρρύπωκα, δῆλον ὅτι οὐκ ἔστι τὸ ρ σύμφωνον, ἀλλὰ φωνῆεν. Ἔστι δὲ εἰπεῖν ὅτι σύμφωνόν ἐστι τὸ ρ καὶ οὐ φωνῆεν· οὐδὲν γὰρ ὄνομα ἀρσενικὸν εἰς φωνῆεν λήγει, οἷον Πλάτων Φοῖνιξ Αἴας· πῶς οὖν τὸ ρ φωνῆεν, ὅπου τὸ ῥήτωρ καὶ πατήρ καὶ τὰ τοιαῦτα εἰς ρ λήγει; Ἄλλως τε δὲ οὐδέποτε φωνῆεν τοῦ αὐτοῦ φωνήεντος προτάσσεται καὶ ὑποτάσσεται 〈ἐν συλλήψει〉 · πῶς οὖν τὸ ρ τοῦ η καὶ προτασσόμενον καὶ ὑποτασσόμενον, ὡς ἐν τῷ Ἄρης καὶ ἀήρ, δύναται εἶναι φωνῆεν; Ἔτι τὰ εἰς ω λήγοντα ῥήματα οὐδέποτε διὰ δύο φωνηέντων ἐκφέρονται κατὰ τὴν λήγουσαν συλλαβήν· εἰ ἄρα οὖν τὸ ρ εἴπωμεν εἶναι φωνῆεν, εὑρεθήσονται κατὰ τὴν τελευταίαν συλλαβὴν τοῦ κείρω 〈καὶ〉 φθείρω δύο φωνήεντα, ὅπερ ἐστὶν ἄτοπον. Ἔτι τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ οὐ παραλαμβάνονται· εἰ ἄρα οὖν εἴπωμεν τὸ ρ φωνῆεν, εὑρεθήσονται ἐν τῷ ῥοῦς καὶ ἐν τῷ ῥεῦμα τρία φωνήεντα 〈ἐν μιᾷ συλλαβῇ, ὅπερ ἐστὶν ἄτοπον〉. Ἔτι αὐτὰ καθ' ἑαυτὰ παραλαμβανόμενα τὰ φωνήεντα φωνὴν ἀποτελοῦσιν, τὰ δὲ σύμφωνα οὔ· εἰ ἄρα οὖν τὸ ρ αὐτὸ καθ' ἑαυτὸ παραλαμβανόμενον φωνὴν οὐκ ἀποτελεῖ, δῆλον ὅτι οὐκ ἔστι φωνῆεν ἀλλὰ σύμφωνον. Ἔτι πᾶς παρακείμενος ἀπαθής—λέγω δὲ «ἀπαθής» διὰ τὸ ἑώρακα—ἀπὸ τοῦ ε ἀρχόμενος πάντως τὸν ἐνεστῶτα ἔχει ἀπὸ συμφώνου ἀρχόμενον, οἷον ἔφθαρκα φθείρω, ἔσταλκα στέλλω, ἐψήφωκα ψηφῶ, ἔσπαρκα σπείρω· εἰ ἄρα οὖν τὸ ἐρρύπωκα καὶ τὸ ἔρραφα ἀπὸ τοῦ ε ἄρχονται, δῆλον ὅτι τὸ ῥυπῶ καὶ τὸ ῥάπτω ἀπὸ συμφώνου ἄρχονται· ἄρα οὖν τὸ ρ σύμφωνόν ἐστι καὶ οὐ φωνῆεν. Ἰστέον δὲ ὅτι τινὲς τὰ διπλᾶ λέγουσι σύνθετα εἶναι, λέγοντες ὅτι τὰ ἐκ διαφόρων συνεστῶτα σύνθετά ἐστιν, οἷον Ἀγαμέμνων Μενέλαος· ἄρα οὖν καὶ ἕκαστον τούτων τῶν διπλῶν ἐκ δύο συμφώνων σύγκειται, τὸ μὲν ζ ἐκ τοῦ ς καὶ δ , τὸ δὲ ξ ἐκ τοῦ κ καὶ ς , τὸ δὲ ψ ἐκ τοῦ π καὶς · δῆλον οὖν ὅτι σύνθετά εἰσιν.

190 Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι οὐ δύναται ταῦτα εἶναι σύνθετα, ἐπειδὴ στοιχεῖά εἰσι, τὰ δὲ στοιχεῖα ἁπλᾶ θέλουσιν εἶναι καὶ ἀποίκιλα· στοιχεῖον γάρ ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή. Ἄλλως τε δὲ διπλᾶ λέγεται καὶ οὐ σύνθετα· διαφέρει δὲ διπλοῦν συνθέτου, καθὸ σύνθετον μέν ἐστι τὸ ἐκ διαφόρων συνεστηκός, οἷον Ἀγαμέμνων, διπλοῦν δὲ λέγεται τὸ δυνάμενον εἰς ἑαυτὸ διπλωθῆναι, ὥσπερ 〈διπλοῖς〉 τὸ ἱμάτιον εἰς ἑαυτὸ δεδιπλωμένον. Κρεῖττον οὖν ἐστι λέγειν ὅτι οὐκ ἐκ δύο συμφώνων σύγκεινται, ἀλλὰ δύο συμφώνων ἔχουσι δύναμιν καὶ ἐκφώνησιν. Δέον δέ ἐστι ζητῆσαι, εἰ ἄρα τὸ ο τὸ προστιθέμενον παρὰ τοῖς Βοιωτοῖς τῷ υ δύναμιν ἔχει στοιχείου. Καὶ ἔστιν εἰπεῖν ὅτι οὐκ ἔχει δύναμιν στοιχείου, ἀλλὰ φθόγγος μόνον ἐστίν· ὅτι γὰρ οὐκ ἔχει δύναμιν στοιχείου, δῆλον, εἴ γε προσερχομένου αὐτοῦ 〈τὸ〉 ου τὸν αὐτὸν χρόνον 〈τῷ υ 〉 φυλάττει· καὶ γὰρ ὥσπερ τὸ κύνες συνεσταλμένον ἔχει τὸ υ , οὕτω καὶ τὸ κούνες συνεσταλμένην ἔχει τὴν κου συλλαβήν. Ἄλλως εἰς τὸ αὐτ ό. —Τῶν στοιχείων ὁ Κάδμος εὑρετής ἐστιν, ὥς φησιν Ἔφορος καὶ Ἀριστοτέλη ς· ἄλλοι δὲ λέγουσιν, ὅτι Φοινίκων εἰσὶν εὑρήματα, Κάδμος δὲ ταῦτα διεπόρθμευσεν εἰς τὴν Ἑλλάδα· Πυθόδωρος δέ φησιν ὅτι καὶ πρὸ Κάδμου ὁ Δαναὸς ἐκεῖθεν, ἤτοι ἀπὸ Φοινίκης, αὐτὰ μετεκόμισεν· ἔνιοι δὲ Μουσαῖον εὑρετὴν λέγουσι τῶν στοιχείων τὸν Μητίονος καὶ Στερόπης, γενόμενον κατὰ τοὺς καιροὺς τοῦ Ὀρφέως· Ἀντικλείδης δὲ τοῖς Αἰγυπτίοις τὴν εὕρεσιν ἀνατίθησιν· Αἰσχύλος 〈Prom. 460〉 δὲ Προμηθέα φησὶν εὑρηκέναι αὐτά· Δοσιάδης δὲ ἐν Κρήτῃ λέγει εὑρεθῆναι αὐτά· Στησίχορος δὲ Παλαμήδην εὑρετὴν αὐτῶν ποιεῖται, ᾧ συμφωνεῖ καὶ Εὐριπίδης 〈fr. 578 N 2 〉 , Μνασέας δὲ 〈Ἑρμῆν. Πιθανὸν δὲ〉 κατὰ πάντα τόπον εὑρετὰς γεγενῆσθαι τῶν στοιχείων· 〈διὸ καὶ ἄλλοι παρ' ἄλλοις εἰσὶ χαρακτῆρες τῶν στοιχείων·〉 οἷς δὲ ἡμεῖς χρώμεθα νῦν, εἰσὶν Ἰωνικοί, διὰ τὸ ἀρχαιοτέραν εἶναι τὴν Ἰάδα τῶν ἄλλων διαλέκτων, καὶ αὐτὴν πρώτην τῶν ἄλλων τοὺς Ἑλληνικοὺς εὑρεῖν τύπους. Διέταξε δὲ τὰ στοιχεῖα γράφεσθαι, ὡς γράφομεν νῦν, Προναπίδης ὁ Ἀθηναῖος· τῶν γὰρ ἀρχαίων οἱ μὲν σπυριδὸν ἔγραφον, ἤτοι δίκην σπυρίδος ἀπὸ πλάτους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχομένης καὶ εἰς στενὸν κομιδῇ ληγούσης· τὸ δὲ σπυριδὸν σχῆμα ἑξάστιχόν ἐστι, γράφεται δὲ οὕτως· 〈Psalm.

191 2, 7 seq〉 · ΚΥΡΙΟΣΕΙΠΕΠΡΟΣΜΕ ΥΙΟΣΜΟΥΕΙΣΥ ΕΓΩΣΗΜΕΡΟΝ ΓΕΓΕ ΝΝΗ ΚΑΣΕ Οἱ δὲ πλινθηδόν, ἤτοι τετραγώνως· μέσον γὰρ σχήματος τετραγώνου ταῦτα διέγραφον· τὸ δὲ τετράγωνον τὸ κατὰ πλίνθον οὐκ ἰσόπλευρον· τὰς μὲν γὰρ δύο πλευρὰς τὰς ἐπαλλήλους ἴσας ἔχει, καὶ πάλιν τὰς παραλλήλους ἴσας, πλὴν οὐκ ἰσομήκεις ταῖς ἐπαλλήλοις· αἱ μὲν γὰρ ἐπάλληλοι μακραί, αἱ δὲ παράλληλοι μικραί· γράφεται δὲ οὕτω τὸ πλινθηδόν· ΚΥΡΙΟΣΕΙΠΕΠΡΟΣ ΜΕΥΙΟΣΜΟΥΕΙΣΥ ΕΓΩΣΗΜΕΡΟΝ ΓΕΓΕΝΝΗΚΑ ΣΕΑΙΤΗΣΑΙ ΠΑΡΕΜΟΥΚΑΙ ΔΩΣΩΣΟΙΤΗΝ Οἱ δὲ βουστροφηδόν, ἤγουν ἐναλλήλως καὶ κατὰ τὰς αὔλακας, αἵτινες ἀντέχονται ἀλλήλαις, καὶ οὐδέν ἐστι μέσον αὐτῶν τὸ διάσχημα, μόνου τοῦ φαινομένου γραφήματος [τοῦ] διαγνωρίζοντος ἑκατέραν αὔλακα· γράφεται δὲ οὕτω τὸ βουστροφηδόν· ΚΥΡΙΟΣΕΙΠΕΠΡΟΣΜΕ ΩΓΕΥΣΙΕΥΟΜΣΟΙΥ ΣΗΜΕΡΟΝΓΕΓΕΝΝΗΚΑΣΕ ΙΑΚΥΟΜΕΡΑΠΙΑΣΗΤΙΑ ΔΩΣΩΣΟΙΤΗΝΚΛΗΡΟΝΟΜΙΑ Οἱ δὲ κιονηδόν, δίκην κίονος ἤτοι παραλλήλως κατὰ γραμμήν· καὶ γὰρ διαμεμερισμένως ἔγραφον· γράφεται δὲ οὕτω τὸ κιονηδόν· ΕΓΗΑΚ ΓΕΣΙΛ ΩΝΑΔΗ ΣΝΙΩΡ ΗΗΠΣΟ ΜΚΑΩΝ ΕΑΡΣΟ ΡΣΕΟΜ ΟΕΜΙΙ ΝΑΟΤΑ ΓΙΥΗΝ ΕΤΚΝ.

191 (3) Οἱ δὲ δισχιδόν, ἤγουν στιχηδόν, ὡς γράφομεν ἡμεῖς νῦν· λέγεται δὲ δισχιδὸν παρὰ τὸ διεσχισμένους καὶ διακεχωρισμένους τοὺς στίχους ἀπ' ἀλλήλων εἶναι. Ἰστέον 〈δὲ〉 ὅτι τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά εἰσι. Καὶ διὰ τί εἰσιν ἄκλιτα; Ἐπειδὴ ἀρχαί εἰσι, καὶ αἱ ἀρχαὶ ἁπλαῖ καὶ ἀποίκιλοι ὀφείλουσιν εἶναι· ἢ ὅτι καὶ οἱ θεμέλιοι τὸ ἀμετάθετον ὀφείλουσιν ἔχειν· ἄλλως δὲ διὰ τὸ ἀρτιμαθὲς τῶν παίδων οὐ κλίνονται, ἵνα μὴ πολλὰ γινόμενα δυσκατάληπτα αὐτοῖς γένωνται. Ἰστέον δὲ ὅτι βαρβάρων μέν εἰσιν εὑρέματα τὰ ις' γράμματα ταῦτα, α β γ δ ε ι κ λ μ ν ο π ρ ς τ υ , Σιμωνίδου δὲ τοῦ Κείου. εὕρεμα τὰ δύο μακρά, τὸ η καὶ τὸ ω , καὶ τὰ δύο διπλᾶ, τὸ ξ καὶ τὸ ψ , Παλαμήδους δὲ τὰ τρία δασέα καὶ τὸ ζ . Καλοῦνται δὲ τὰ στοιχεῖα φοινίκεια, ἐπεὶ ὁ Κάδμος Φοῖνιξ ὢν εἰς Ἕλληνας ταῦτα μετήνεγκεν· ἢ ὡς φωνίκειά τινα ὄντα, ἤτοι φωνῆς ἐγγραμμάτου δυνάμει[ς καὶ] εἰκόνες, τοῦ ω μεταβληθέντος εἰς τὴν οι δίφθογγον κατὰ τὴν Βοιωτῶν διάλεκτον, ὡς τὸ ἀγκώνη ἀγκοίνη· τὴν γὰρ ἀγκάλην, ἥτις ἐκ τοῦ ἀγκῶνος ἀγκώνη λέγεται, ἀγκοίνην οἱ Βοιωτοὶ λέγουσιν· οὕτως οὖν καὶ φωνίκεια φοινίκεια, κατὰ τὸ εἶδος τὸ παράγωγον τὸ λεγόμενον κτητικὸν σχηματιζόμενα· ἢ φοινίκεια, ἐπεὶ διὰ μίλτου, ὅπερ ἐστὶ χρῶμα φοινικοῦν, πρότερον ἐγράφετο ἢ ὅτι πρότερον ἐν πετάλοις φοινικείοις ἐγράφετο· ἢ ὅτι ἐν πυρ 〈ρ〉 ώδει κηρῷ ἐτυποῦντο· ἤ, ὅπερ ἐστὶ κρεῖττον, ὅτι φοινίσσεται ὑπ' αὐτῶν ὁ νοῦς ἤγουν λαμπρύνεται.

192 Τινὲς δὲ λέγουσι κατὰ ἱστορίαν, ὅτι ἀπὸ Φοινίκης τῆς Ἀκταίωνος θυγατρός· ἄλλοι ἀπὸ Φοίνικος 〈τοῦ〉 Προνάπου καὶ Εὐρώπης. Λέγεται δὲ στοιχεῖον ἢ παρὰ τὸ στείχω, τὸ 〈ἐν τάξει〉 πορεύομαι, ἢ ἀπὸ τοῦ στοίχου τοῦ σημαίνοντος τὴν τάξιν, ἢ ἀπὸ Στοίχου τινός, Ἀθηναίου γηγενοῦς, εὑρόντος αὐτά, ὡς Πινδαρίων φησί· σχηματίζεται δὲ παρὰ τὸ στοῖχος στοιχεῖον. Καὶ ἄλλως εἰς τὸ αὐτό. — Στεφάνο υ. —Στοιχεῖον εἴρηται, ὡς μὲν Πινδαρίων ὁ γραμματικός 〈φησιν〉 , ἀπὸ Στοίχου τινός, ἑνὸς τῶν αὐτοχθόνων Ἀθηναίων· ὡς δὲ ἔνιοι, ἀπὸ τοῦ δι' αὐτῶν τοὺς ἀριθμοὺς τυποῦσθαι· στοῖχος γὰρ παρὰ τοῖς παλαιοῖς ὁ ἀριθμός· τοιγαροῦν 〈οἱ〉 Σικυώνιοι κατὰ φυλὰς ἑαυτοὺς τάξαντες καὶ ἀριθμήσαντες Διὸς Στοιχαδέως ἱερὸν ἱδρύσαντο. Ἄλλοι παρὰ τὸ στιχηδὸν γράφεσθαι στιχεῖον, καὶ πλεονασμῷ τοῦ ο στοιχεῖον· οἱ δὲ παρὰ τὸ τοῖχος τοιχεῖον, καὶ πλεονασμῷ τοῦ ς στοιχεῖον· ἐν γὰρ τοίχοις ἔγραφον τὸ πρότερον, ὥς που καὶ ὁ Καλλίμαχος λέγων μαρτυρεῖ, 〈fr. 70 Sch〉 αὐτὸς ὁ Μῶμος Ἔγραφεν ἐν τοίχοις · ὁ Κρόνος ἐστὶ σοφό ς. Οἱ δὲ παρὰ τὸ στοῖχος στοιχεῖον, τὸ ὡς ἐκ τάξεως φωνὴν ἤγουν ἐκφώνησιν ἀποτελοῦν· στοῖχος γὰρ ἡ τάξις. Γράμματά ἐστιν κδ' ἀπὸ τοῦ α β μέχρι τοῦ ω ]. «Περὶ στοιχείου» ἐπιγράψας οὐ στοιχεῖα εἶπεν κδ', ἀλλὰ γράμματα κδ'. Διὰ τί; Ἵνα δείξῃ, ὅτι ἄμφω τὰ ὀνόματα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ πράγματι ἁρμόζει· οἱ δέ φασιν, ὅτε μὲν γράφονται, λέγονται γράμματα, ὅτε δὲ ἀναγινώσκονται, λέγονται στοιχεῖα. Καὶ στοιχεῖα εἴρηται παρὰ τὸ ἔχειν στοῖχόν τινα καὶ τάξιν, γράμματα δὲ διὰ τὸ γραμμαῖς καὶ ξυσμαῖς τυποῦσθαι· ἢ παρὰ τὸ γλάπτω, τὸ κοιλαίνω, γλάμμα, 〈καὶ〉 κατὰ μετάθεσιν τοῦ λ εἰς τὸ ρ γράμμα· ἢ παρ' ὅσον ἐκ τῶν παρὰ τοῖς γεωμέτραις λεγομένων γραμμῶν ἐσχημάτισται· καὶ γάρ, ὥς φασιν, ὁ Πυθαγόρας τοῦ κάλλους αὐτῶν ἐπεμελήθη, ἐκ τῆς κατὰ γεωμετρίαν γραμμῆς ῥυθμίσας αὐτὰ γωνίαις καὶ εὐθείαις καὶ περιφερείαις.

193 Τὸ στοιχεῖον παρὰ τὸ στοῖχος· τοῦτο παρὰ τὸ στείχω, τὸ ἐν τάξει πορεύομαι· τὰ γὰρ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ο 〈ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασιν〉. Τὸ δὲ στοιχεῖον οὐχ ὑποκοριστικῶς διὰ τοῦ ι γράφεται, ἀλλ' ὡσανεὶ περιεκτικῶς διὰ διφθόγγου, ὡς τὸ θωρακεῖον, τὸ ἀγγεῖον, τὸ βαλανεῖον. Τὰ καλούμενα περιεκτικὰ ὀνόματα ἀπὸ τῶν περιεχομένων ἐν αὐτοῖς πραγμάτων οὕτως ἐκλήθησαν. Τύποι δὲ τούτων δύο εἰσίν, ὁ εἰς ων ἀρσενικῶς, καὶ οὐδετέρως 〈ὁ〉 διὰ τοῦ ειον , ἀρσενικῶς μέν, οἷον δαφνών παρθενών λουτρών, οὐδετέρως δέ, οἷον κουρεῖον μουσεῖον βαλανεῖον. Ἐπειδὴ 〈δέ〉 τινα τῶν ὀνομάτων τοὺς τύπους μὲν τούτους ἔχουσιν, ὅμως δὲ περιεκτικὰ οὐκ εἰσὶ διὰ τὸ μὴ ἐκ τῶν περιεχομένων συνίστασθαι, ὡς περιεκτικὰ ταῦτα λέγονται ἤτοι ἐοικότα περιεκτικοῖς· τὸ 〈γὰρ〉 ὡς ἐνταῦθα τὸ ὁμοίως δηλοῖ. Καὶ ὥσπερ τὰ ὡς πρός τι διαφέρουσι 〈τῶν πρός τι〉, ἔστι δ' ὅπῃ καὶ 〈κοινωνοῦσιν αὐτοῖς, οὕτω καὶ τὰ ὡς περιεκτικὰ καὶ〉 κοινωνοῦσι τοῖς περιεκτικοῖς καὶ διαφέρουσιν αὐτῶν· καὶ κοινωνοῦσι μὲν τοῖς τύποις, διαφέρουσι δὲ τῷ μὴ ἀπὸ τῶν περιεχομένων συντεθεῖσθαι, καθὰ δὴ καὶ τὰ ὡς πρός τι κοινωνοῦσι μὲν τοῖς πρός τι, ὅτι τῷ ἑνὶ τὸ ἕτερον δοκεῖ συνεξακούεσθαι, ὡς τῷ θανάτῳ ἡ ζωὴ καὶ τῇ ζωῇ ὁ θάνατος, καὶ τῇ νυκτὶ ἡ ἡμέρα καὶ τῇ ἡμέρᾳ ἡ νύξ, διαφέρουσι δέ, ὅτι οὐ συναναιροῦσιν ἄλληλα, καθάπερ τὰ πρός τι. Ἕπεται γὰρ τοῖς πρός τι καὶ τὸ ἓν τῷ ἑτέρῳ συν〈εξ〉ακούεσθαι καὶ τὸ συναναιρεῖσθαι, ὧν τὸ 〈μὲν〉 ἓν ἔχουσι τὰ ὡς πρός τι, τοῦ 〈δὲ〉 ἑτέρου λείπονται· οἷον ἐν τοῖς πρός τι, ὡς πατὴρ υἱός, τοῦ πατήρ ὀνόματος λεγομένου συνεξακούεται καὶ ὁ υἱός, καὶ πάλιν τοῦ υἱός λεγομένου συνεξακούεται καὶ ὁ πατήρ, ἀναιρουμένου δὲ τοῦ πατήρ ὀνόματος καὶ τὸ υἱός ὄνομα συναναιρεῖται, ὥσπερ καὶ τοῦ υἱός ἀναιρουμένου συναναιρεῖται καὶ τὸ ὄνομα ὁ πατήρ. Οὐ μέντοι γε ἐπὶ τῶν ὡς πρός τι ἄμφω παρεπόμενά εἰσι, καὶ τὸ 〈συν〉 εξακούεσθαι καὶ τὸ συναναιρεῖσθαι, ἀλλὰ τὸ μὲν συν〈εξ〉ακούεσθαι ἕπεται, τὸ δὲ συναναιρεῖσθαι λείπει· οἷον τῇ ζωῇ συνεξακούεται ὁ θάνατος 〈καὶ τῷ θανάτῳ ἡ ζωή〉, οὐ μέντοι γε συναναιρεῖ ἡ ζωὴ τὸν θάνατον, ἀλλὰ μᾶλλον ἀναιρεῖται ἡ ζωὴ ὑπὸ τοῦ θανάτου καὶ ὁ θάνατος ὑπὸ τῆς ζωῆς· καὶ πάλιν τῇ ἡμέρᾳ συνεξακούεται ἡ νὺξ καὶ τῇ νυκτὶ ἡ ἡμέρα, οὐ μέντοι γε συναναιρεῖται τῇ νυκτὶ ἡ ἡμέρα ἢ τῇ ἡμέρᾳ ἡ νύξ, ἀλλὰ μάλιστα ἑκάτερον τὸ ἕτερον ἀναιρεῖ· νυκτὸς γὰρ συνισταμένης ἡμέρα οὐκ ἔστιν. Διὰ ταῦτα τοίνυν τὸ ὡς, προστεθειμένον 〈ἐν〉 τοῖς ὡς περιεκτικοῖς, καὶ τὴν κοινωνίαν δείκνυσι καὶ τὴν διαφορὰν δηλοῖ· οἷον ὡς περιεκτικὸν ὄνομά ἐστιν ἀρσενικὸν ὁ πυλών τοῦ πυλῶνος, ἔχον τὸν τύπον τοῦ δαφνών δαφνῶνος περιεκτικοῦ, οὐ μέντοι γε ἐκ τῶν περιεχομένων συνίσταται· οὐδὲ γὰρ πυλὼν πύλας περιέχει, ὡς δαφνὼν δάφνας, ἀλλ' αὐτὸ τοῦτό ἐστιν ὁ πυλὼν αἱ πύλαι.

194 Καὶ πάλιν τὸ θωρακεῖον καὶ τὸ ἀγγεῖον καὶ τὸ μεγαλεῖον τὰ οὐδέτερα ὡς περιεκτικὰ τοὺς τύπους μὲν ἔχουσι τῶν περιεκτικῶν, τοῦ κουρεῖον σεμνεῖον ἀμνεῖον μουσεῖον· οὐ μὴν δὲ ἀπὸ τῶν περιεχομένων συνετέθησαν, ἀλλὰ τὸ μὲν θωρακεῖον τὸ τεῖχος λέγεται κατὰ ἀναλογίαν τοῦ θώρακος· ὡς γὰρ ὁ θώραξ (τὸ ὅπλον) σκέπη τις καὶ παραφυλακὴ τοῦ σώματός ἐστιν, οὕτω δὴ καὶ τὸ θωρακεῖον (τὸ τεῖχος) καὶ σκέπη καὶ 〈παρα〉φυλακὴ τῆς πόλεως γέγονε. Καὶ τὸ ἀγγεῖον οὐχ ὅτι ἄγγη περιέχει, ἀλλ' αὐτὸ τοῦτο τὸ ἄγγος καὶ ἀγγεῖον λέγεται, ἐκ τοῦ ἄγγος ἄγγεος ἐτυμολογούμενον ἀγγέϊον καὶ συναιρέσει ἀγγεῖον· τὸ δὲ ἄγγος ἐτυμολογεῖται παρὰ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄνω ἄγειν 〈τὸ〉 ἔγγειον καὶ ἐν τῷ βάθει τῆς γῆς τυγχάνον ὕδωρ ἄναγος, καὶ ἐν συγκοπῇ ἄνγος, καὶ τροπῇ τοῦ ν εἰς γ ἄγγος διὰ τὴν ἐπέλευσιν τοῦγ· μάλιστα δ’ ἂν εἴποις τὸ ἀγγεῖον διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἀπὸ τῆς ἐτυμολογίας τοῦτο συνάξας, διὰ τὸ ἄνω ἄγειν τὸ ἐν τῷ βάθει τῆς γῆς κείμενον ὕδωρ ἀναγεῖον, καὶ ἐν συγκοπῇ ἀγγεῖον, ὡς ἵνα φυλάξῃ λείψανα τῶν λέξεων ἀφ’ ὧν συνετέθη, ἤτοι τὸ μὲν αν τοῦ ἄνω, τὸ δὲ γειον [τοῦ] ἐκ τοῦ γέα, φυλαττομένου τοῦ ε πρωτοτύπου ἐν τῷ γέα διὰ τῆς τοῦ γειον γραφῆς· τὸ γὰρ ἄγγος ἄγγεος ἀγγέϊον ἀγγίον ἴσως τις συναιρήσει διὰ τὸ τεῖχος τείχεος [τειχέϊον] τειχίον καὶ ἕρκος ἕρκεος ἑρκίον. Ὁμοίως καὶ τὸ μεγαλεῖον τὸ ὡς περιεκτικὸν τύπον μὲν ἔχει τοῦ κουρεῖον καὶ τῶν ὁμοίων, ἅτινα περιεκτικά εἰσιν, οὐ μὴν δὲ ἀπὸ τῶν περιεχομένων συνέστη· μεγαλεῖον γὰρ αὐτὸ τοῦτο τὸ λίαν μέγα ἐστίν, ἤτοι τὸ ὑπέρμεγα· ὥσπερ δὲ πτοιαλέον δειμαλέον θαρραλέον γηραλέον, οὕτως ὤφειλε καὶ [τὸ] μεγαλέον 〈εἶναι〉· εὕρηται δὲ μεγαλεῖον τῇ προσθήκῃ τοῦ ι, ὡς τέλεον τέλειον· τὰ γὰρ τοιαῦτα τῶν ὀνομάτων, ἅτινα διὰ τοῦ λεον τυποῦνται, ἐπίτασιν δηλοῦσι τῶν πρωτοτύπων, οἷον πτοιαλέος ὁ λίαν φοβούμενος, καὶ δειμαλέος ὁμοίως, καὶ γηραλέος 〈ὁ λίαν γεραιόσ〉· οὕτω δὴ καὶ τὸ μεγαλεῖον τὸ πάμμεγα καὶ λίαν μέγα. Διὰ τοῦτο δὴ καὶ τὸ νωλεμέως ἐπίρρημα τὴν διὰ τοῦ ε γραφὴν ἔχει· νωμελέως γὰρ ὤφειλε λέγεσθαι, τρόπῳ δὲ ποιητικῷ τῇ μεταθέσει τῶν στοιχείων νωλεμέως λέγεται· μετετέθη γὰρ τὰ στοιχεῖα, τὸ λ εἰς τὴν τοῦ μ τάξιν καὶ τὸ μ εἰς τὴν τοῦ λ, ὡς τὸ χιτώνιον τιχώνιον, ὃ δὴ κιθώνιον ἰωνικῶς λέγεται κατὰ τροπὴν τοῦ χ εἰς κ καὶ τοῦ τ εἰς θ.

195 Τοιοῦτον δὴ καὶ τὸ ἔρημος· ἤρεμος γὰρ ὤφειλε, καὶ κατὰ μετάθεσιν τῶν στοιχείων, τοῦ ε εἰς τὸν τόπον τοῦ η καὶ τοῦ η εἰς τὸν τόπον τοῦ ε, ἔρημος. Τὸ δὲ νωλεμέως σημαίνει τὸ ἀδιαλείπτως, πάντως δὲ ἐτυμολογεῖται παρὰ τὸ νω στερητικὸν μόριον καὶ τὸ μέλλω τὸ βραδύνω, ἤτοι νωμελέως ἀδιαλείπτως, τουτέστι χωρὶς μελλήσεως καὶ βραδυτῆτος· εὔδηλον ἄρα, ὅτι τὸ νωλεμέως νωμελέως ὤφειλε〈ν, ἀλλὰ〉 τῷ ποιητικῷ τρόπῳ, τῇ μεταθέσει τῶν στοιχείων, τῇ συνηθείᾳ μάλιστα τὸ νωλεμέως παραδέδοται, τοῦ νωμελέως τῇ ἀχρηστίᾳ κατακρυβέντος. Ὅσα δὲ εἰς ιον [παροξύτονα] διὰ τοῦ ι γράφονται, οὔτε περιεκτικά εἰσιν οὔτε ὡς περιεκτικά, ἀλλ’ ὑποκοριστικά [ὧν ὑποκοριστικῶν τὰ μὲν παροξύνονται], γίνονται δὲ ἀπὸ πρωτοτύπων ἑτέρων, καὶ δοκοῦσι τὰ μὲν πρωτότυπα μείζονος εἶναί τινος οὐσίας, τὰ δὲ ὑποκοριστικὰ ἐλάσσονος, εἰ καὶ πολλάκις τὰ πρωτότυπα ἀχρηστεύουσιν. Εἰσὶ δὲ τὰ μὲν παροξύτονα, οἷον τύμβος τυμβίον (ὁ τάφος), τύβος τυβίον, κράμβη κραμβίον, σάγος σαγίον, στλέγγος καὶ στλεγγίς [καὶ] στλεγγίον (λέγεται δὲ καὶ τὸ κτένιον καὶ ἡ ξύστρα τῆς κεφαλῆς), παῖς παιδός παιδίον, δᾴς δᾳδός δᾳδίον, ἕρκος ἑρκίον, ἀσκός ἀσκίον, 〈σάρξ〉 σαρκός σαρκίον, βίβλος βιβλίον, σκύμνος σκυμνίον, ἀμνός (τὸ σταμνίον τῆς θυσίας) ἀμνίον καὶ στάμνος σταμνίον, θάμνος θαμνίον, ἀρνός ἀρνίον, πυξίς πυξίον, κῆπος κηπίον, σάρπη σαρπίον, θήρ θηρός θηρίον, χῶρος χωρίον, μηρός μηρίον, κηρός κηρίον, ἠρίον (τὸ μνημεῖον) ἀπὸ τοῦ ἦρος (τοῦ τάφος) ὅπερ ἄχρηστον, ὡς τὸ τύμβος τυμβίον, χρυσός χρυσίον, [καὶ] κισσός κισσίον (τὰ ἐν ταῖς βίβλοις τιθέμενα σημεῖα), σῖτος σιτίον, πυκτίς πυκτίον, σπάρτος σπαρτίον (τὸ σχοινίον), ἁπτρίον, 〈οὗ〉 τὸ πρωτότυπον τὸ ἅπτρος ἄχρηστον, ἔστι δὲ καὶ θηλυκὸν ἅπτρα (ἡ τοῦ λύχνου θρυαλλίς), ψίξ ψιχός ψιχίον· τὰ δὲ προπαροξύτονα, οἷον κάκ〈κ〉αβος κακ〈κ〉άβιον, κάραβος καράβιον, ὄροβος (εἶδος βοτάνης) ὀρόβιον, λόγος λόγιον, λύγος (τὸ βεργίον) λύγιον, κάδδος κάδδιον, λαμπάς λαμπάδος λαμπάδιον, ῥοά καὶ ῥοιά [καὶ] ῥοίδιον, ὄνος ὀνίδιον, σπυρίς σπυρίδος· σπυρίδιον, λεκανίς λεκανίδος λεκανίδιον, τράπεζα τραπέζιον, ὄρυζα ὀρύζιον, τοπάζιον (ὁ λίθος) ἀπὸ 〈τοῦ〉 τόπαζος [λίθος], παραμυθία παραμύθιον, λήκυθος (τὸ ἐλαιοδόχον ἀγγεῖον) ληκύθιον, παλάθη (ἡ βοτάνη) παλάθιον, ὁρμαθός (τὸ πλῆθος) ὁρμάθιον, πέλεκυς πελέκιον, 〈μύρμηξ μύρμηκοσ〉 μυρμήκιον, 〈νάρθηξ νάρθηκοσ〉 ναρθήκιον, ὄστρακον ὀστράκιον, ἐποίκιον καὶ ἐνοίκιον, ὧν τὰ πρωτότυπα ἄχρηστα, μεῖραξ μείρακος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μειράκιον, αὖλαξ αὔλακος αὐλάκιον, εἴδωλον εἰδώλιον, τρίβολος τριβόλιον, ὀμφαλός ὀμφάλιον, τρίφυλλον τριφύλλιον, ἄμπελος ἀμπέλιον, κέραμος κεράμιον καὶ κεραμίς κεραμίδος κεραμίδιον, κεράμειον δὲ ἄγγος τὸ κεραμεοῦν, κάλαμος καλάμιον, κεραυνός κεραύνιον [πῦρ], σκηπάνη σκηπάνιον, βοτάνη βοτάνιον, θρόνος θρόνιον, τόπος τόπιον, ὀπός ὄπιον (ὁ χυμὸς τῆς ὀπώρας), ἄνθρωπος ἀνθρώπιον, λέπος λέπιον (ὁ φλοιός), ὅρος (ὁ ὁρισμός) ὅριον, ἄργυρος ἀργύριον, μόρος μόριον, νεοσσός νεόσσιον καὶ νεόττιον καὶ νόσσιον, παλάτιον, ὁσπίτιον, ὧν τὰ πρωτότυπα ἄχρηστα, χρυσός χρυσάφιον, ἄμφιον, οὗ τὸ πρωτότυπον ἄχρηστον, ῥάμφος ῥάμφιον, λόφος 〈καὶ〉 λοφιά λόφιον (τὸ κάλλαιον τοῦ ἀλέκτορος), τροχός τρόχιον, μαλάχη (ἡ βοτάνη) μαλάχιον.

196 Γράμματά εἰσιν κδʹ ἀπὸ τοῦ α μέχρι τοῦ ω .] Κδʹ λέγουσιν αὐτὰ εἶναι κατὰ μίμησιν τῶν κδʹ ὡρῶν τοῦ νυχθημέρου. Διαφέρει δὲ στοιχεῖον γράμματος κατὰ τὸ ἐπὶ πλέον καὶ ἐπ’ ἔλαττον· πᾶσα γὰρ γραμμὴ γράμμα ἐστίν, οὐ πάντως 〈δὲ〉 στοιχεῖον· ἀλλ’ οὐδὲ πᾶν στοιχεῖον γράμμα, ἀλλὰ μόνα τὰ παρὰ τοῖς γραμματικοῖς στοιχεῖά εἰσι καὶ γράμματα· τὰ δὲ ἐξ ὧν σύγκειται τὰ σώματα στοιχεῖα μὲν λέγονται, γράμματα δὲ οὔ. Ἀρχὴ δέ ἐστι στοιχείων τὸ α , διότι ἀφ’ ἑαυτοῦ ἄρχεται καὶ εἰς ἑαυτὸ καταλήγει, τὰ δὲ λοιπὰ στοιχεῖα ἀφ’ ἑαυτῶν μὲν ἄρχονται, εἰς ἑαυτὰ δὲ οὐ καταλήγουσιν. Καὶ τέλος δὲ στοιχείων τὸ ω , διότι καὶ αὐτό, μονοσύλλαβον ὄν, τρόπον τινὰ ἀφ’ ἑαυτοῦ ἄρχεται καὶ εἰς ἑαυτὸ καταλήγει. Ζητεῖται 〈δέ〉 , τίνος ἕνεκεν εἶπεν κδʹ, εἴ γε γράμματά ἐστιν, ὡς καὶ αὐτὸς λέγει, παρὰ τὸ γράφεσθαι καὶ καταξέεσθαι· οὐκοῦν γράμματα καὶ τὰ σημεῖα καὶ οἱ ἀριθμοὶ καὶ πάνθ’ ὅσα διὰ τοῦ ξέεσθαι, ὥστε εἶναι ἄπειρα τὰ γράμματα. Λέγομεν οὖν ὅτι ἐκεῖνα ἀριθμεῖται καὶ λέγει εἶναι κδʹ τὰ παρ’ Ἕλλησι μόνα γνωριζόμενα, ἐπεὶ ἔστι πλείω, ὡς τὰ Ἀρμενίων καὶ τὰ Αἰγυπτίων. Διὰ τί δὲ α καὶ β καὶ ω γράφει μόνα, μηδὲν τῶν ἄλλων ὀνομάσας; Ῥητέον, εἰδὼς ὅτι προεπαιδεύθη παρὰ τῷ γραμματιστῇ, τὴν τούτων ἐξαρίθμησιν ἀφῆκεν. «Οὐχ ὑγιῶς δὲ ἐνταῦθα ὁ τεχνικός, 〈τὸν〉 περὶ στοιχείου λόγον διδάσκειν ἡμᾶς προθέμενος, τὰ γράμματα εἰσηνέγκατο· εἰπὼν γὰρ «περὶ στοιχείου» τὰ γράμματα ὁρίζεται».

197 Λέγομεν οὖν, ὅτι καὶ ἐνταῦθα σκοπὸν ἔχει εἰσαγωγικὴν τέχνην γράφειν, δεῖ δὲ τὸν οὕτω συγγραφόμενον τῶν γλαφυρωτέρων ἀφίστασθαι. Ἐπεὶ οὖν ὁ περὶ στοιχείου λόγος πολὺς ἦν καὶ φιλοσοφίας γέμων, παρῆκεν αὐτόν, μετέρχεται δὲ ἐπὶ τὰ γράμματα, εἰδὼς ὅτι καὶ αὐτὰ στοιχεῖά ἐστιν, ὁπότε δύνανται τὴν ἐγγράμματον φωνὴν ἀποτελεῖν. Στοιχεῖα γάρ φαμεν εἶναι κοσμικὰ τέσσαρα, πῦρ, ἀέρα, ὕδωρ καὶ γῆν· καὶ ὃν τρόπον ταῦτα καταλλήλως πλεκόμενα τὰ ἡμέτερα σώματα ὑγιᾶ τε καὶ τέλεια καθίστησιν, οὕτω καὶ τὰ στοιχεῖα ὁμωνύμως ἐκάλεσεν· ὅτε γὰρ κατὰ τάξιν καὶ δεόντως γράφεται, τότε τὴν ἐναρμόνιον φωνὴν ἀποτελεῖ· στοιχεῖον γὰρ ἡ ἀπὸ τῶν γραμμάτων καὶ λέξεων ἀποτελουμένη ἐκφώνησις. Γράμματα δὲ λέγεται διὰ τὸ γραμμαῖς καὶ ξυσμοῖς τυποῦσθα ι·] ἔνθεν καὶ γράβδις ἡ διεσχισμένη λαμπάς, καὶ γραῦς ἡ κατεξυσμένη τὸ σῶμα διὰ γῆρας, καὶ ζωγράφος ὁ τῇ γραφίδι πρόσ〈ωπα〉 καταξύων. Τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖτα ι.] Ἰδοὺ παρακατιὼν ὁ τεχνικὸς εἶπεν αὐτὰ στοιχεῖα, ἐπειδὴ τὸ αὐτὸ τοῖς στοιχείοις ἐργάζονται, τουτέστι φωνήν· καὶ διὰ τοῦτο λέγει αὐτὰ εἶναι στοιχεῖα, διὰ τὸ ἔχειν αὐτὰ 〈στοῖχόν τινα καὶ〉 τάξιν πρὸς ἄλληλα· τότε γὰρ καὶ στοιχεῖά ἐστιν· ὅταν δὲ μὴ κατὰ τάξιν γράφωνται, γράμματα μὲν λέγονται, οὐκέτι δὲ στοιχεῖα· οἷον προς , ἰδοὺ καταλλήλως καὶ κατὰ τάξιν γέγραπται, διὰ τοῦτο καὶ στοιχεῖα λέγεται, ἀποτελοῦσι γὰρ ὡς στοιχεῖα τὴν πρός· ἐὰν δὲ ἐναλλὰξ γράψω ρπος , γράμματα μὲν λέγεται, οὐκέτι δὲ στοιχεῖα, διὰ τὸ μὴ κατὰ τάξιν αὐτὰ εἶναι. Παρέπεται δὲ τῷ στοιχείῳ τέσσαρα, ὄνομα, σχῆμα, χαρακτήρ, δύναμις· ὄνομα μέν, ἐπειδὴ ἕκαστον ὀνομάζεται, ἄλφα, βῆτα καὶ τὰ ἑξῆς· σχῆμα δέ, ὅτι ἕκαστον αὐτῶν ἴδιον ἔχει σχῆμα· χαρακτὴρ δέ, ὅτι ἕκαστον χαρακτηρίζεται οἰκείαις ἰδιότησιν, ὡς ὁ ὑποκείμενος ἑκάστου τύπος, οἷον τοῦ μὲν Α τρεῖς εἰσι γραμμαί, τοῦ δὲ Γ δύο πλάγιοι, τοῦ δὲ Ε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δύο καὶ μία μικρά· δύναμις δὲ ἡ ἐξ αὐτῶν ἀποτελουμένη 〈φωνή〉. Εἰκότως οὖν ὁμωνύμως τοῖς κοσμικοῖς στοιχείοις ὠνόμασεν αὐτὰ ὁ τεχνικός. Τούτων φωνήεντα μέν εἰσιν ἑπ ά.] Διαίρεσιν ποιεῖται ὁ τεχνικός· διαίρεσις δέ ἐστιν ἡ πρώτη τομὴ τῶν μηδέποτε τετμημένων· καὶ λέγει «φωνήεντά ἐστιν ἑπτά». Καὶ τί δήποτε ὁ τεχνικὸς τῶν φωνηέντων τὸν ἀριθμὸν μέχρι τοῦ ἑπτὰ ὁρίζεται; Καί φαμεν ὅτι ἴσ〈α αὐτὰ τῷ〉 ἀριθμῷ τῶν χορδῶν τῆς λύρας τοῦ Ἀπόλλωνος ἐποίησεν, ἢ κατὰ μίμησιν τῶν ἑπτὰ ἀστέρων τῶν πλανήτων τοῦ οὐρανοῦ· πλάνητες γάρ εἰσιν ἑπτά, Κρόνος, Ζεύς, Ἄρης, Ἥλιος, Ἀφροδίτη, Ἑρμῆς καὶ Σελήνη.

198 Ταῦτα γὰρ τὰ φωνήεντα τοῖς πλάνησιν ἀνάκεινται· καὶ τὸ μὲν α φασὶ τῇ Σελήνῃ ἀνακεῖσθαι, τὸ δὲ ε τῷ Ἑρμῇ, τὸ δὲ η τῇ Ἀφροδίτῃ, τὸ δὲ ι τῷ Ἡλίῳ, τὸ δὲ ο τῷ Ἄρει, τὸ δὲ υ τῷ Διί, τὸ δὲ ω τῷ Κρόνῳ. Λέγονται δὲ πλάνητες, διότι πάντων τῶν ἐν τῷ οὐρανῷ ἀστέρων ὄντων ἀκινήτων οὗτοι μόνοι κινοῦνται καὶ περιπλανῶνται καὶ περιφέρονται, ἐναντίαν πρὸς τὴν τοῦ πόλου ποιούμενοι κίνησιν. Φωνήεντα δὲ λέγετα ι , ὅτι φωνὴν ἀ φ ' ἑαυτῶν ἀποτελε ῖ.] Ἆρα τὰ σύμφωνα φωνὴν οὐκ ἔχουσι; Λεκτέον μέν, ὅτι ἔχουσι φωνὴν κἀκεῖνα, ἀλλ' ἐκτὸς τούτων ἐκφωνηθῆναι οὐ δύνανται, ὥστε ταῦτα μὲν 〈αὐτὰ〉 καθ' ἑαυτὰ ἐκφωνεῖται καὶ φωνὴν ἔχει, ἐκεῖνα δὲ χωρὶς τῆς τούτων συμφωνίας ὀνομασθῆναι οὐ δύναται· δικαίως οὖν φωνήεντα εἴρηται, εἴ γε αὐτά ἐστιν αἴτια πάσης φωνῆς. Καὶ ἐπεὶ φωνὴν ἀφ' ἑαυτῶν ἀποτελεῖ, διὰ τί ἐπενοήθησαν τὰ σύμφωνα; Ὅτι τὰ 〈μὲν〉 φωνήεντα τῇ ψυχῇ ἐοίκασι, τὰ δὲ σύμφωνα τῷ σώματι· καὶ ὥσπερ ἡ ψυχή, εἰ καὶ χωρὶς τοῦ σώματος δύναται εἶναι, ἀλλὰ δεῖται τοῦ σώματος εἰς τὸ ἀποτελέσαι τὴν σύστασιν τοῦ ζῴου, τὸν αὐτὸν τρόπον καὶ τὰ φωνήεντα, εἰ καὶ καθ' ἑαυτὰ δύνανται παραλαμβάνεσθαι καὶ ἀφ' ἑαυτῶν ἐκφωνεῖσθαι, ἀλλὰ δέονται τῆς τῶν συμφώνων συντάξεως εἰς τὸ ἀποτελέσαι τὴν ἐγγράμματον φωνήν. Τῶν δὲ φωνηέντων μακρὰ μέν ἐστι δύ ο , η καὶ ω , βραχέα δύ ο , ε καὶ ο , δίχρονα τρί α, α ι υ .] Αὕτη ἐστὶν ἐπιδιαίρεσις· ἐπιδιαίρεσις δέ ἐστιν, ὅταν τῶν ἤδη μερισθέντων διαίρεσιν ἑτέραν ποιησώμεθα· καὶ λέγει τῶν φωνηέντων τὴν ἐπιδιαίρεσιν τέμνεσθαι εἰς τρία, εἴς τε μακρὰ καὶ βραχέα καὶ δίχρονα. Μακρὰ δὲ εἶπε τὸ η καὶ τὸ ω , οὐχ ὅτι μεγάλαις γραμμαῖς κέχρηνται· δύνανται γὰρ 〈καὶ〉 τὰ βραχέα μεγάλαις ταῖς γραμμαῖς γράφεσθαι· ἀλλ' ἐπειδὴ τῶν πρός τί εἰσι, καὶ συγκρίνεται τὰ μακρὰ ὡς πρὸς τὰ βραχέα. Καὶ ἔστι ταῦτα εἰρημένα κατὰ μουσικὸν λόγον· τὸ γὰρ μακρὸν καὶ βραχὺ κατὰ χρόνον λέγει καὶ διάστημα τῆς φωνῆς· πολλάκις γὰρ αὐτὰ εἰς ἑαυτὰ ἀναλύεται καὶ συγκιρνᾶται· ἀναλύεται γοῦν τὸ η εἰς δύο εε , ὡς παρὰ τῷ ποιητῇ 〈Κ 466〉 δέελον δ ' ἐπὶ σῆμά τ ' ἔχευαν, ἤτοι δῆλον, καὶ συναιρεῖται πάλιν τὰ δύο εε εἰς τὸ η , ὡς τὸ ᾔδεε ᾔδη.

199 Τῶν 〈δὲ〉 δύο μακρῶν ποῖόν ἐστι μακρότερον; Τὸ η . Ποίῳ λόγῳ; Ὅτι ἐν τέλει λέξεως εὑρισκόμενον οὐ δίδωσι τρίτην ἀπὸ τέλους ἀναπεμφθῆναι τὴν ὀξεῖαν, ὅτι κατὰ φύσιν ἐστὶ μακρόν· τὸ δὲ ω ἔστιν ὅτε 〈προ〉 παροξύνεται· οὐκ ἄρα ἐστὶ κατὰ φύσιν μακρόν, ὥσπερ τὸ η . Λέγουσι δὲ πρὸς ταῦτα, ὅτι Ἀττικῷ λόγῳ 〈προ〉 παροξύνεται τὸ ω . Ἡμεῖς δέ φαμεν ὅτι οἱ Ἀττικοί, ἅτε δὴ ὄντες σοφοί, τὴν αἰτίαν ἀκριβῶς ἐπιστάμενοι, διὰ τὸ μὴ εἶναι τὸ ω φύσει μακρόν, τούτου χάριν αὐτὸ 〈προ〉 παροξύνουσιν· ἐπεὶ καὶ τὸ η , εἴ γε εὗρον ἀξιόλογον αἰτίαν, μὴ εἶναι κατὰ φύσιν μακρόν, ὡσαύτως τοῦτο συνέστελλον. Πάλιν τῶν δύο βραχέων βραχύτερον μὲν κατὰ Ἀπολλώνιον τὸο · φησὶ γὰρ ὅτι τὸ ε καὶ τὸ ο , εἰ προσθήσεις [ἐν] ἑκατέρῳ αὐτῶν τὸ ι , ποιήσεις δηλονότι δύο διφθόγγους, καὶ ἡ μέν ἐστι μακροτέρα ἡ τὸ ε ἔχουσα· ἐν τέλει γὰρ λέξεως εὑρισκομένη ἡ οι δίφθογγος διηνεκῶς συστέλλεται, ἡ δὲ ει οὐδέποτε. Πρὸς ὅν φησιν Ἡρωδιανός, ὅτι [ὥσπερ] οὐ δεῖ τῇ παραθέσει τοῦ ι τὴν τοῦ ε καὶ ο δύναμιν ἐξετάζεσθαι, ἀλλ' ἰδίᾳ ἕκαστον αὐτῶν. Ὁ δὲ Ἀπολλώνιος πρὸς αὐτόν· ὦ τέκνον, τίνι λόγῳ; Καί φησιν ὅτι πᾶν στοιχεῖον ἀφ' ἑαυτοῦ ἄρχεται, τὸ δὲ ι οὐκ ἀφ' ἑαυτοῦ ἀλλὰ τοῦ ε , ὥστε συγγενὲς αὐτῷ ἐστι· τὸ δὲ συγγενὲς τὸ ἴδιον προσλαμβάνον, μεγαλικωτάτην τινὰ δίφθογγον ἀποτελεῖ, πρὸς ὃ δὲ οὐκ ἔχει συγγένειαν προσλαμβάνον, τὸ ο οὐχ οὕτως ἐπιβοηθεῖται, ὥστε μεγάλην ἀποτελέσαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίφθογγον· διὰ τοῦτο οὐ δεῖ τῇ παραθέσει τοῦ ι ταῦτα ἐξετάζεσθαι. Καὶ λοιπὸν ἀποδείκνυσιν Ἡρωδιανὸς τὸ ε βραχύτερον οὑτωσί, λέγων ὅτι πᾶσα κλητικὴ ἢ τὸν ἴσον χρόνον θέλει ἔχειν τῆς ἰδίας εὐθείας ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα· ἐπεὶ δὲ εὑρίσκεται τὸ 〈 ο 〉 τῆς εὐθείας τελικὸν φωνῆεν, ὡς ἐν τῷ κύριος, τρεπόμενον ἐπὶ τῆς κλητικῆς εἰς ε , βραχύτερον ἄρα ἐστὶ τὸ ε τοῦ ο . Καὶ πότε ἰσοχρονεῖ ἡ κλητικὴ τῇ εὐθείᾳ, καὶ πότε βραχύτερον ἔχει χρόνον; Ἡνίκα μὲν ἡ κλητικὴ οὐ μεταβάλλει τὸ φωνῆεν τῆς εὐθείας, ἰσοχρονεῖ αὐτῇ, ἡνίκα δὲ μεταβάλλει, ἐλάττονα ἔχει χρόνον. Δίχρονα τρί α, α ι υ .] Ἔδει ἀμφίβολα καλέσαι ταῦτα τὸν Διονύσιον· ἀμφιβάλλεται γάρ, πότερον μακρὰ ἢ βραχέα· οὐ μέντοι δίχρονα· τὸ γὰρ δίχρονον οὐδὲν ἄλλο δηλοῖ ἀλλ' ἢ ὅτι δύο χρόνους ἔχει· ταῦτα δὲ οὐ πάντοτε δύο χρόνους ἔχει, ἀλλὰ ποτὲ μὲν ἕνα, ποτὲ δὲ δύο.

200 Προτακτικὰ φωνήεντα πέντ ε , α ε η οω · προτακτικὰ δὲ λέγετα ι.] Εἰπὼν «προτακτικά» οὐ διέστειλεν ἡμῖν, ἀλλὰ καὶ παρεπέμψατο, ἁπλούστερον διαλεγόμενος· πρὸς εἰσαγομένους γὰρ γράφει· ἐχρῆν γὰρ αὐτὸν εἰπεῖν «προτακτικὰ φωνήεντα φωνηέντων»· πρὸς γὰρ ἄλληλα συγκρίνονται τὰ φωνήεντα, ὅτι ἀλλήλων εἰσὶ προτακτικὰ καὶ ὑποτακτικά. Ὑποτακτικὰ δύ ο , ι καὶ υ .] Προτακτικὰ ἐκάλεσεν ἐκεῖνα, ὑποτακτικὰ δὲ τὸ ι καὶ τὸ υ . Τί οὖν; ἐν τῷ ἵστημι ὑφαίνω οὐκ εἰσὶ καὶ ταῦτα προτακτικά, καὶ τὸ α δὲ καὶ τὸ ω οὐχ ὑποτέτακται 〈ἐν τῷ〉 θαρρῶ θέλω; Ῥητέον δὲ ὅτι προτακτικά εἰσιν οὐ τῶν λέξεων, ἀλλὰ τῶν διφθόγγων· τὸ γὰρ ι καὶ υ οὐδέποτε προηγεῖται ἐν διφθόγγῳ, ἀλλ' ὑποτέτακται. Ὑποτακτικὰ δὲ γίνεται ταῦτα τὰ δύο τῶν πέντε· τῇδε γὰρ συμβήσεται καὶ τὰς διφθόγγους ἀποτελεσθῆναι, ἐπὰν τὰ ὑποτακτικὰ τὰ δύο καὶ τὰ πέντε προτακτικὰ συμπλακῶσιν ἀλλήλοις. Γινώσκειν 〈δὲ〉 δεῖ, ὅτι τὸ υ ποτὲ μὲν προτακτικόν ἐστι, ποτὲ δὲ ὑποτακτικόν, ὡς εἶναι ἓξ μὲν προτακτικά, ἓν δὲ μόνον ὑποτακτικόν. Δίφθογγοι δέ εἰσιν ἕ ξ, αι αυ ει ευ οι ου .] Εἰδὼς ὁ τεχνικός, ὅτι ἐκ τῆς κράσεως τῶν προτακτικῶν καὶ ὑποτακτικῶν 〈φωνηέντων〉 αἱ δίφθογγοι ἀποτελοῦνται, δεύτερον ἐπάγει αὐτάς. Τῷ ἀληθεῖ λόγῳ ἕνδεκά εἰσιν· ἀλλ' ἐπειδὴ σκοπὸς αὐτῷ πρὸς εἰσαγομένους γράφειν, ἁπλούστερον εἶπεν ἕξ, εἰδὼς ὅτι δυσχερὴς ἦν ἡ τῶν ἄλλων παράδοσις, 〈παρ' ὅσον〉 χρήσει μόνῃ καὶ ἱστορίᾳ καὶ θεωρήμασι τεχνικοῖς παραδίδονται. Ἔστι γὰρ τὸ ω μετὰ τοῦ υ , ὡς παρὰ τῷ ποιητῇ 〈Ε 396〉 εὖτέ μιν ωὐτὸς ἀνή ρ· καὶ τὸ η μετὰ τοῦ ι , οἷον ἀπὸ τοῦ αἰτῶ ὁ παρατατικὸς ᾔτουν· πάλιν τὸ ω καὶ τὸ ι , ὡς 〈ἐν〉 τῷ ξένῳ, τὸ η καὶ 〈τὸ〉 υ , ὡς ἐν τῷ ηὔλουν, καὶ τὸ υ μετὰ τοῦ ι , ὡς ἐπὶ τοῦ υἱός. Σύμφωνα δὲ τὰ λοιπὰ ιζ ʹ.] Καλῶς προσέθηκε «τὰ λοιπά»· τῶν γὰρ ἑπτὰ πρὸς ἀναπλήρωσιν εἰκοσιτεσσάρων τὰ ἐπίλοιπά ἐστιν ιζʹ. Σύμφωνα δὲ εἴρηται παρὰ τὸ συμφωνεῖν· ἡ γὰρ σύν πρόθεσις δυάδος κατηγορεῖ· ἄλλο γάρ ἐστι πράττειν, καὶ ἄλλο τὸ συμπράττειν. Ὁρίζεται δὲ ὁ τεχνικὸς κεκλῆσθαι αὐτὰ οὕτως διὰ τὸ μὴ ἔχειν ἀφ' ἑαυτῶν φωνήν, συμφωνεῖν δὲ τῇ τῶν φωνηέντων εὐφωνίᾳ. Τούτων ἡμίφωνα μέν ἐστιν ὀκτ ώ, ζ ξ ψ λ μ ν ρ ς .

201 ] Διαιρεῖ τὰ σύμφωνα εἰς ἡμίφωνα καὶ ἄφωνα. Ἡμίφωνα δὲ λέγονται κατά τι, οὐχ ὡς ἔτυχε· τὸ γὰρ ἡμι σημαίνει καὶ τὸ ἥμισυ, σημαίνει 〈δὲ〉 καὶ τὸ παρ' ὀλίγον, ὡς ἂν εἴποι τις εἴκοσι στίχους ἔχων, «ἡμιτελές ἐστι τὸ βιβλίον»· καὶ ἐνταῦθα οὖν οὐ τὸν ἐξ ἰσομοιρίας ὁρίζει μερισμόν, ἀλλὰ τὸν παρ' ὀλίγον. Καὶ εὑρίσκεται τῶν πρός τι, τουτέστιν ἡμίφωνα τὰ παρ' ὀλίγον φωνήεντα, καὶ εὑρίσκεται μέσα φωνηέντων τε καὶ ἀφώνων πρὸς σύγκρισιν λαμβανόμενα· καὶ συγκρινόμενα 〈μὲν〉 πρὸς τὰ φωνήεντα εὑρίσκεται ἀσθενέστερα, πρὸς δὲ τὰ ἄφωνα φωνήεντα· ὡς καὶ αὐτὸς ὁ τεχνικὸς πείθει ὅτι παρ' ὀλίγον εὔφωνά ἐστιν ὡς τὰ φωνήεντα, λέγων «ὅτι παρ' ὅσον ἧττον τῶν φωνηέντων εὔφωνα καθεστήκασιν», ἀντὶ τοῦ «παρ' ὀλίγον». Διὰ τοῦτο πᾶσα λέξις Ἑλληνὶς ἢ εἰς φωνῆεν λήγει ἢ εἰς ἡμίφωνον. Μυγμοὶ δέ εἰσιν οἱ διὰ τῶν μυκτήρων ἦχοι, οἷον 〈ω 416〉 μυγμῷ τε στοναχῇ τ ε, 〈Δ 20. Θ 457〉 αἱ δ ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρ η· σιγμοὶ δέ εἰσιν οἱ ἐξ ἄκρας τῆς ὑπερῴας συριγμοί, 〈οἷον〉 〈ι 394〉 ὣς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ σί ζ ʼ ὀφθαλμό ς. Ἀπὸ μέρους δὲ τὸ πᾶν ἐδήλωσεν· ἄλλα 〈γὰρ〉 καὶ ῥοιζοῦσιν, ὡς τὸ ρ , καὶ συρισμοὺς ἀποτελοῦσιν, ὡς τὸ ς ξ ψ . — Καὶ ἄλλως. Μυγμὸς λέγεται ὁ τοῦ μ ἦχος, οἷον συμμένειν, ὁ δὲ τοῦ ν νυγμός, οἷον συννεύειν, ὁ δὲ τοῦ ζ ξ ψ καὶ ς σιγμός, οἷον συρίζω ξέω ψηλαφῶ σείω, ὁ δὲ τοῦ ρ ῥοῖζος, οἷον συρράπτω. Ἄφωνα δὲ λέγετα ι , ὅτι μᾶλλον τῶν ἄλλων ἐστὶ κακόφων α.] Τὸ α πολλὰ σημαίνει· τὴν παντελῆ στέρησιν, ὡς ἂν εἴποιμεν ἄποινα ἢ ἀφανής ἢ ἄφιλος ἢ ἄλλο τι τῶν τοιούτων· τὸ ὁμοῦ, ὡς τὸ ἄλοχος ἡ ὁμόλοχος· τὸ ὀπίσω, ὡς ἀκόλουθος ὁ ὀπισθοκέλευθος, ὀπίσω γὰρ τὴν ὁδὸν ποιεῖται ἑπόμενος τῷ δεσπότῃ· σημαίνει καὶ τὸ κακόν, ὡς ἐνταῦθα, ὡς καὶ ἐπὶ τοῦ ἄμορφος γυνή, οὐχ ὅτι παντελῶς ἐστέρηται μορφῆς, ἀλλʼ ἔχουσα κακὴν ἔχει, ὡς καὶ ἄφωνος τραγῳδὸς οὐ παντελῶς τῆς φωνῆς ἐστέρηται, ἀλλʼ ἔχων κακὴν ἔχει. Μέσα δὲ τούτων τρί α, β γ δ .] Μέσα δὲ αὐτὰ εἴρηται πρὸς σύγκρισιν. Τίνων δὲ μέσα ἐστί; Δῆλον ὅτι τῶν προειρημένων· ὥσπερ δὲ περὶ τῶν προτακτικῶν διαλεγόμενος ἀδιάστολον καὶ ἀόριστον 〈τὸν λόγον〉 ἀφῆκεν, ὡς πρὸς εἰσαγομένους διαλεγόμενος, οὕτω καὶ ἐνταῦθα· ἡμεῖς δὲ ἀναπτύξαντες διασαφοῦμεν.

202 Καὶ λέγομεν τὰ μέσα εἰρῆσθαι ὡς 〈πρὸσ〉 τὰ δασέα καὶ τὰ ψιλά· καὶ ὡς εἴ τις σύγκρισιν ποιούμενος θερμοτάτου καὶ ψυχροτάτου μέσον τι καλέσει ὡς πρὸς σύγκρισιν ἀμφοτέρων τῶν ἀκροτήτων—συγκρινόμενον γὰρ πρὸς τὸ θερμὸν ψυχρὸν ἂν νομισθείη, πρὸς δὲ τὸ ψυχρὸν θερμόν—τοῦτον τὸν τρόπον καὶ τὰ μέσα πρὸς μὲν τὰ δασέα ψιλά ἐστι, πρὸς δὲ τὰ ψιλὰ δασέα. Δασέα δὲ λέγονται τὰ μεγάλως καὶ μετὰ πολλοῦ τοῦ πνεύματος σευόμενα. Ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖ ς.] Διὰ τίνα δὲ αἰτίαν ὁ τεχνικὸς εἰρηκὼς «ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς» ἐπήνεγκε τὸ ψιλὸν πρῶτον εἰπὼν «τῷ μὲν π τὸ φ »; Λέγομεν οὖν ὅτι ἐν μὲν τῷ πρώτῳ τὴν ἰσοδυναμίαν αὐτῶν ἐζήτησεν εἰπεῖν, παρακατιὼν δὲ οὐ προέταξε τὸ δασύ, ἐπειδὴ οὐχ εὑρίσκεται δασὺ εἰς ψιλὸν τρεπόμενον· οὐκ ἀκαίρως δὲ οὐδὲ τῆς ἰσοδυναμίας αὐτῶν προέταξεν, ἀλλʼ ἵνα μὴ ταραττώμεθα εὑρίσκοντες τὰ δασέα ἀντὶ τῶν ψιλῶν τιθέμενα. [Τὰ μέσα δὲ πρὸς μὲν τὰ δασέα ψιλά ἐστι, πρὸς δὲ τὰ ψιλὰ δασέα, ὡς καὶ αὐτὸς παρακατιὼν λέγει.] Τούτων δὲ τὴν δύναμιν ἀκριβέστερον 〈ἂν〉 δυνηθείη τις καταλαβεῖν ἐνίοτε ἀπὸ τῆς τῶν ῥημάτων κινήσεως καὶ τῆς τῶν ὀνομάτων κλίσεως· οἱ γὰρ μέσοι τῶν χρόνων καὶ οἱ δεύτεροι ἀόριστοι τούτοις κέχρηνται τοῖς στοιχείοις, οἷον λείβω λέλοιβα, πλήσσω πέπληγα, φράζω πέφραδα· πάλιν τὰ κλινόμενα, ἐπειδὴ εἰς τὸ μέσον τῆς κλίσεως γίνονται· τὰ γὰρ εἰς διπλοῦν 〈τὸ ψ λήγοντα ὀνόματα〉 διὰ τῆς ἰδίας συζυγίας, π φ β , 〈κλίνονται〉 · οὕτως οὖν καὶ ἰσοστοιχεῖν ἀλλήλοις τὰ δασέα καὶ τὰ ψιλά φησι. —Ψιλὸν δὲ λέγεται τὸ ἄκρον· ἐντεῦθεν καὶ ψέλ〈λ〉ια λέγονται τὰ ἐπʼ ἄκρων τῶν χειρῶν τιθέμενα κόσμια. Τὰ οὖν διʼ ἄκρου μόνου τῆς γλώττης προφερόμενα σύμφωνα ταῦτα λέγεται ψιλά· ἰδοὺ τὸ κ προφερόμεθα οὕτω διʼ ἄκρου μόνου τῆς γλώττης, μηδενὸς πνεύματος παραπεμπομένου. Ἐζήτηται δέ, ὥσπερ τὰ δασέα ἀντὶ ψιλῶν 〈παρα〉λαμβάνεται, ἆρα καὶ τὰ ψιλὰ ἀντὶ δασέων; Καὶ λεκτέον ὅτι ἐκεῖνα σαθρά ἐστι καὶ οὐχ οἷά τε πέρα αὐτῶν τείνεσθαι [πόσῳ μᾶλλον τῶν μειζόνων]· οἷον 〈Γ 95〉 ὣς ἔφα θʼ , οἱ δ ʼ ἄρα πάντε ς· ὣς ἔφατο ἦν τὸ τέλειον, ἀπόστροφος 〈δὲ〉 ἐγένετο διὰ τὸν συγκρουσμόν, 〈καὶ〉 τὸ ἐπιφερόμενον ἐδασύνετο 〈τὸ〉 οἱ· πᾶν γὰρ ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται· ἀνάγκη οὖν πρὸς τὰ ἐπιφερόμενα μεταβληθῆναι τὰ σύμφωνα, κανόνος κελεύοντος ὅτι δασέα δασέων ἡγεῖται καὶ ψιλὰ ψιλῶν· ὥστε ἐξ ἀνάγκης τὸ τ εἰς τὸ θ μεταβληθῆναι.

203 Ὁμοίως καὶ ταῦτα αὐτὰ τὰ μαρτύρια, 〈ι 279〉 ἀλλά μοι εἴ φ ʼ ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα 〈καὶ αὐτί χ ʼ ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυ τ ʼ Ὀδυσσεύς 〉 . Ὅτι δὲ τὰ ψιλὰ οὐ δύνανται ἀνθυπουργῆσαι τῶν δασέων 〈δῆλον〉 · ἰδοὺ εὑρίσκομεν 〈Α 22. 376〉 ἔν θ ʼ ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιο ί· τὸ θ συναλοιφὴν ἔχει, τὸ α δὲ ψιλοῦται, καὶ ἐνταῦθα τεχνικοῦ λόγου ἀπαιτοῦντος, 〈ὅτι〉 πᾶν φωνῆεν πρὸ δύο συμφώνων τῶν αὐτῶν ψιλοῦσθαι θέλει, εἰ μὴ ἄρα ἦν ἐκ πλεονασμοῦ τὸ ἕν· καὶ οὐκέτι μεταβολὴν ἐποιησάμεθα τοῦ θ εἰς τ , ἀλλʼ ἐπὶ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταὐτότητος ἔμεινε. Τούτου δὲ αἴτιον, ὃ πρὸ μικροῦ εἴπομεν, ὅτι τὰ ψιλὰ ἀσθενῆ ἐστιν οὐδὲ ὑπὲρ ἑαυτῶν τείνεσθαι δυνάμενα. Ἔτι δὲ τῶν συμφώνων διπλᾶ μέν ἐστι τρί α, ζ ξ ψ .] Δευτέρα διαίρεσις τῶν συμφώνων παρὰ δύναμιν, 〈ὅτι ἁπλᾶ〉 , ὅτι διπλᾶ, ὅτι ὑγρά· τὰ 〈δὲ〉 διπλᾶ τοῖς μακροῖς, τὰ ἁπλᾶ τοῖς βραχέσι, τὰ ὑγρὰ τοῖς διχρόνοις εἰκάζονται. Ἄξιον δὲ ζητῆσαι, τίνος ἕνεκεν εἰπὼν «διπλοῦν» μικρὸν ὕστερόν φησι συγκεῖσθαι ἐκ δύο συμφώνων· τὰ γὰρ σύνθετα εἰς ἐκεῖνα ἀναλύονται, ἐξ ὧν καὶ τὴν σύνθεσιν ἔχει, ὥσπερ τὸ ἀρηΐφιλος 〈εἰς τὸ Ἄρης καὶ τὸ φίλοσ〉 καὶ τὸ μεγάθυμος εἰς τὸ μέγα καὶ τὸ θυμός· ταῦτα δὲ οὐχ ὁρῶμεν ἀναλυόμενα. Ἀλλὰ πρότερον μὲν διὰ 〈δύο στοιχείων ἐγράφοντο· καὶ διὰ〉 τὸ 〈διὰ〉 δύο γράφεσθαι σύνθετα εἰκότως 〈αὐτὰ〉 εἴρηκε, διπλᾶ δὲ διὰ τὸ ἔχειν δύο στοιχείων δύναμιν. Ἐντεῦθεν καί τινες ἐμέμψαντο λέγοντες 〈ὅτι οὐ δεῖ〉 τὰ στοιχεῖα διπλᾶ λέγειν. Λέγομεν δὲ ὅτι καὶ τὰ στοιχεῖα διπλᾶ· ἔστι δὲ ἁπλᾶ ἔσθ' ὅτε δι' ἀνάγκην· ἐχρήσατο γὰρ αὐτοῖς ὁ ποιητὴς ὡς ἁπλοῖς, 〈Β 634〉 οἵ τε Ζάκυνθον ἔναιον καὶ τὸ 〈Δ 103. 121〉 ἄστυ Ζελείη ς. Ὅτι δὲ καὶ διὰ δύο στοιχείων τὸ παλαιὸν ἐγράφοντο, διδάσκουσιν αἱ διάλεκτοι· τὸ γὰρ ξίφος σκίφος ἐκάλουν, καὶ τὸ ψέλ 〈λ〉 ιον σπέλ 〈λ〉 ιον, καὶ τὸν ζυγόν σδυγόν. Καὶ ἐπὶ τῆς κλίσεως τῶν ὀνομάτων· λέγομεν γὰρ πολλάκις τὰς πληθυντικὰς 〈δοτικὰσ〉 ἀπὸ τῆς δοτικῆς ἑνικῆς γίνεσθαι κατ' ἐπένθεσιν τοῦς · ἰδοὺ γοῦν κήρυκι κήρυκσι 〈κήρυξι〉 , Πέλοπι Πέλοπσι 〈Πέλοψιν〉 . Ὥστε ὁρᾶται ὁ τεχνικὸς μετὰ πάσης ἐπιστήμης προσαγόμενος τοὺς εἰσαγομένους. Ἀμετάβολα τέσσαρα, λ μ ν ρ .

204 ] Εἶπεν ἡμῖν περὶ τῶν τριῶν διπλῶν καὶ περὶ τῶν τεσσάρων ἀμεταβόλων· τὰ δὲ πάντα ἡμίφωνα εἴρηκεν εἶναι ὀκτώ, ὥστε ζητεῖσθαι τὸ ς , διὰ τί μηδὲν περὶ τούτου εἴρηκε. Φαμὲν ὅτι ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων ὥρισται καὶ κοινόν ἐστι τῶν τριῶν γενῶν. Τὰ δὲ αὐτὰ καὶ ὑγρὰ καλεῖτα ι.] Ὑγρὰ αὐτὰ ἐκάλεσεν ὁ τεχνικὸς διὰ τὴν ὑπερβάλλουσαν ποιότητα· τοῖς γὰρ τραχέσι συνευρισκόμενα, τουτέστιν ἀφώνοις, καὶ πολλάκις συμμετρίαν δυνάμενα ποιεῖν, ὑγρὰ αὐτὰ τῇ ἀκοῇ ἡμῶν παρασκευάζει. Διὰ τοῦτο καὶ κοινὴν ἀπεργάζονται 〈συλλαβήν〉 , ἐπὰν εὑρεθῶσιν ἄφωνον καὶ ἀμετάβολον, οὐκ ἀναστρέφοντος τοῦ λόγου· οὐ γὰρ ἰσχύει ἀναστρέφειν, προηγουμένου μὲν ἀμεταβόλου, ἀφώνου δὲ δευτέρου ὄντος, οἷον 〈ἐν μὲν τῷ〉 ἰατρός ἡ α κοινή ἐστιν, ἐν δὲ τῷ ἄρτος οὐκέτι. Καὶ ἄλλως εἰς τὰ αὐτ ά. —Ὑγρὰ τουτέστιν ὀλισθηρά· συμπλεκόμενα γὰρ τοῖς ἀφώνοις κοινὴν ἀποτελεῖ συλλαβήν. Ἢ ὅτι ἀμετάβολά ἐστιν, ἀπὸ μεταφορᾶς τῶν ὑγρῶν χρωμάτων, ἃ δυσ〈εξ〉 άλειπτα τυγχάνει, τῶν ξηρῶν εὐαπονίπτων 〈ὄντων〉 . Καὶ τὸ ι δὲ καὶ τὸ υ ἀμετάβολά τέ εἰσι καὶ δίχρονα. Ἔστι δὲ διττὴ ἡ δύναμις, ὡς 〈ὁ〉 ἥλιος τὰ σώματα ξηραίνειν τε καὶ διαλύειν πέφυκεν. 〈Stephani.〉 — Τινὲς δὲ προστιθέασι καὶ τὸ ο , οἷον ἄλλ ο.] Τοῦτο οὐκ ἀρέσκει τῷ τεχνικῷ· ἔστι γὰρ τὸ 〈γνήσιον〉 ἄλλον, ὅθεν καὶ ἐν τῇ συνθέσει λέγεται τὸ ἔξαλλον καὶ πάραλλον. § 7 (8b). Περὶ συλλαβῆ ς . Συλλαβή ἐστ ι.] Πρεπόντως etc. = Σ d 48, 2—49, 8. Περὶ συλλαβῆς καὶ ἄλλως. — Στεφάνο υ. — Φασί τινες οὐ καλῶς ἐν εἰσαγωγικῇ τέχνῃ περὶ μέτρων γράψαι τὸν Διονύσιον· τὸ γὰρ περὶ συλλαβῶν περὶ μέτρων ἐστίν. Εὖ δὲ πεποίηκεν ὁ τεχνικός, ὡς ἂν ἀπὸ τῆς πρώτης ἡλικίας συνήθειαν ἔχοιεν οἱ παῖδες ποδίζειν τοὺς στίχους. Συνεμπίπτει δὲ στοιχεῖον συλλαβῇ, οἷον α , αὐτὴ δὲ λέξει, οἷον γῆ, λέξις δὲ λόγῳ, οἷον ἄπελθε. Συλλαβή ἐστι κυρίως σύλληψις συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντω ν.

205 ] Ὅρα τὴν ἀσθένειαν τῶν συμφώνων, ὅτι κἂν πολλὰ ὦσι συλλαβὴν πληρῶσαι οὐ δύνανται δίχα τῆς τῶν φωνηέντων βοηθείας, τὰ μέντοι φωνήεντα καὶ καθ' ἓν μόνον ἐξαρκεῖ. Ἰστέον δὲ ὅτι τὸ τέλειον μέγεθος τῆς συλλαβῆς μέχρι ἓξ ἢ ἑπτὰ γραμμάτων, ὡς τὸ στράγξ, τοὐλάχιστον δὲ καὶ ἕως ἑνός. Οἷον καρ βου ς .] Ἔστι καὶ Κάρ λέξις ἐθνική, ἀφ' οὗ ἡ γενικὴ Καρός καὶ Κᾶρες 〈εὐθεῖα〉 πληθυντική· δεῖ οὖν λαμβάνειν τὴν καρ συλλαβὴν ὡς ἀπὸ τοῦ καρπός, καὶ τὸ βους οὐκ ἐπὶ τοῦ ζῴου, ἀλλὰ συλλαβὴν ἀποκεκομμένην ἀπὸ τοῦ Βούσιρις· αἱ γὰρ συλλαβαὶ καθ' ἑαυτὰς οὐδὲν σημαίνουσιν. § 8 (9b). Περὶ μακρᾶς συλλαβῆ ς. Ὁ πρῶτος τρόπος τῶν θέσει etc. =

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σ d 49, 10—50, 10. 〈Stephani.〉 —Περὶ μακρᾶς συλλαβῆς καὶ ἄλλως. — Μακρὰ συλλαβὴ γίνεται κατὰ τρόπους 〈ὀκτώ 〉 , φύσει μὲν τρεῖ ς , θέσει δὲ πέντ ε.] Οὐχ ὡς ἔτυχε [περὶ μακρᾶς συλλαβῆς] λέγει ὁ τεχνικὸς τὰς ἐκτάσεις ἢ τὰς συστολὰς τῶν συλλαβῶν γίνεσθαι, ἀλλὰ κατὰ τὴν παράδοσιν λέγει αὐτὰς γίνεσθαι, τρόπους δὲ τὰς λεγομένας διαφορὰς φύσει καὶ θέσει. Καὶ φύσει μὲν ἤτοι ὅταν διὰ τῶν μακρῶν στοιχείων ἐκφέρητα ι , οἷον ἥρω ς.] Εἰπὼν φύσει καὶ θέσει προτάττει τὴν φύσει· ἐκείνη γὰρ γνησία ἐστί, καὶ δεῖ τὰ γνήσια προτάττειν τῶν μὴ γνησίων. Καὶ ἔστιν ἡ πρώτη διαφορὰ τῶν ἐκτεταμένων φωνῶν, ὅταν τὰ μακρὰ στοιχεῖα, τό τε η καὶ ω , εὑρίσκηται. Ἰστέον δὲ ὅτι παρὰ μὲν τοῖς μετρικοῖς πᾶσα μακρὰ δίχρονος, παρὰ δὲ τοῖς μουσικοῖς καὶ ῥυθμικοῖς καὶ τεχνικοῖς 〈καὶ〉 τρίχρονός τε καὶ τετράχρονος, τρίχρονος μέν, ὡς ηὗλουν· ἔστι γὰρ ἡ μὲν πρώτη συλλαβὴ ἐκ μακροῦ καὶ βραχέος φωνήεντος, ὧν τὸ μὲν μακρὸν δύο, τὸ δὲ βραχὺ ἕνα χρόνον ἔχει, ἡ δὲ δευτέρα ἐκ συμφώνου, ὅπερ ἥμισυν χρόνον ἔχει, καὶ ἐκ διφθόγγου, ὃ δύο, καὶ ἐξ ἑτέρου συμφώνου, ὅπερ ἄλλον ἥμισυν ἔχει χρόνον, καὶ γίνονται τρεῖς· τετράχρονος δέ, ὡς Θρᾷξ· ἔστι γὰρ τὸ ᾳ μακρὸν καὶ ἔχει δύο χρόνους, τὰ δὲ πρὸ αὐτοῦ σύμφωνα ἕτερον, [καὶ τὸ ι ἕνα,] καὶ τὸ διπλοῦν ἄλλον ἕνα, καὶ ἰδοὺ τέσσαρες· ἀλλὰ καὶ ἑνὸς καὶ ἡμίσεος χρόνου, ὡς ἡ αι καὶ ἡ οι , ἀπὸ κανόνος λέγοντος ὅτι μακρᾶς οὔσης τῆς ἐπὶ τέλους τρίτη ἀπὸ τέλους οὐ πίπτει ἡ ὀξεῖα· καὶ γὰρ προσλαβοῦσα σύμφωνον δέχεται ἥμισυν χρόνον καὶ γίνεται δίχρονος, καὶ τότε οὐκ ἐᾷ ἐπὶ τέλους οὖσα τρίτην ἀπὸ τέλους τίθεσθαι τὴν ὀξεῖαν, οἷον ἄελλαι ἀέλλαις, λίθιναι λιθίναις, ἄνθρωποι ἀνθρώποις, ἄριστοι ἀρίστοις.

206 Ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ ἔκτασιν παραλαμβανόμενο ν , οἷον Ἄρη ς.] Δεύτερος τρόπος, ὅταν τὰ δίχρονα ἐκτεταμένα τὴν αὐτὴν ἔχωσι δύναμιν τῷ η καὶ τῷ ω . Ἢ ὅταν ἔχῃ μίαν τῶν διφθόγγω ν , οἷον Αἴα ς.] Τρίτος τρόπος, ὅταν ἔχῃ τὰς διφθόγγους. Ἆρ' οὖν ἔξεστί μοι τὰς διφθόγγους καὶ τὰ δίχρονα διὰ παντὸς ἐκτείνειν; Λεκτέον ὅτι ἐν τοῖς μετρικοῖς τὰς διφθόγγους ἐκ παντὸς τρόπου, τὰ δὲ δίχρονα οὐκ εἰκῇ, ἀλλὰ κατὰ τὴν παράδοσιν καὶ χρῆσιν τῶν παλαιῶν· ἰδοὺ γὰρ τὸ 〈Ε 31. 455〉 Ἆρε ς , Ἄρες καὶ μακρὸν καὶ βραχὺ ἔχει τὸα · ἔξεστιν οὖν ὁμοίως καὶ ἡμῖν χρήσασθαι· καὶ τῷ φίλε μακρῷ καὶ βραχεῖ, μακρῷ μέν, ὡς τὸ 〈Δ 155. Φ 308〉 φῖλε κασίγνητε, βραχεῖ δέ, ὡς τὸ 〈Κ 114〉 ἀλλὰ φίλον περ ἐόντ α . Θέσει δὲ ἤτοι ὅταν εἰς δύο σύμφωνα λήγ ῃ , οἷον ἅλ ς.] Θέσει δὲ λέγονται τὰ μὴ κατὰ φύσιν ἀλλ' ἐπιτεχνήσει τινὶ καὶ ποιήσει καὶ μεθόδῳ καὶ ἐργασίᾳ 〈γενόμενα〉 · ὥσπερ παρέπεται τῷ κόρακι τὸ μέλαν, τὸ δὲ λευκὸν τῷ κύκνῳ· ἐὰν 〈οὖν〉 καταχρίσωμεν τὸν κόρακα χρώματι λευκῷ ἢ τὸν κύκνον μέλανι, καὶ ποιήσωμεν τὸν 〈μὲν〉 κόρακα λευκὸν τὸν δὲ κύκνον μέλανα, τότε λέγομεν τὸν μὲν φύσει λευκὸν θέσει μέλανα, τὸν δὲ φύσει μέλανα θέσει λευκόν· οὕτω καὶ τῶν συλλαβῶν τὰς μὲν καλοῦμεν φύσει μακράς, τὰς δὲ θέσει. Καὶ ὁ μὲν πρῶτος τρόπος τῆς θέσει μακρᾶς γνωρίζεται, ὅταν ᾖ αὐτὸ τὸ βραχὺ κατὰ σύλληψιν καταλῆγον καὶ ἀποτερματιζόμενον καὶ περαιούμενον εἰς δύο σύμφωνα, οἷον μάκαρς Τίρυνς ἅλς. Πολλὰ γοῦν εἰς δύο σύμφωνα λήγοντα οὐκ εἰσίν, ὥς φησιν ὁ ὑπομνηματίζων, εἰ μὴ τὸ ἅλς Τίρυνς μάκαρς δάμαρς 〈καὶ〉 ἅ φησιν ἐν τῷ περὶ ὀρθογραφίας σημειούμενα· εἰσὶ δὲ ταῦτα, ζόρξ στράγξ λύγξ σάλπιγξ ἴυγξ πῶυγξ.

207 Ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφων α , οἷον ἀγρό ς.] Δεύτερος, φησί, τρόπος, ὅταν ἑνὶ τῶν διχρόνων ἢ τῶν φύσει βραχέων ἐπενεχθῇ δύο σύμφωνα· τότε γὰρ γίνεται ἀνάγκῃ μακρά, ὅτι ἡ βραχεῖα ἕνα χρόνον ἔχει καὶ ἕκαστον τῶν συμφώνων ἡμιχρόνιον, ὥστε ταῦτα συνερχόμενα ἀποτελεῖν δύο χρόνους· ἡ δὲ μακρὰ ἐκ δύο χρόνων συνίσταται, ὥστε γίνεσθαι θέσει μακράν. «Βραχεῖ» δὲ εἶπεν ἢ τῷ ε ἢ τῷ ο , «βραχυνομένῳ» δὲ ἑνὶ τῶν διχρόνων. Ἢ ὅταν εἰς ἁπλοῦν σύμφωνον λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένη ν , οἷον ἔργο ν. ] Τρίτος οὗτος 〈ὁ〉 τρόπος ὁ κατὰ λῆξίν τε καὶ ἐπιφοράν· λήγει δὲ εἰς ἁπλοῦν σύμφωνον, τῆς ἑξῆς ἀρχομένης ἀπὸ συμφώνου. Ἁπλούστερον δὲ καὶ ἐνταῦθα εἶπε· συμβαίνει γὰρ ἐν ταῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέξεσι λήγειν μὲν τὴν προτέραν εἰς ἓν σύμφωνον, τὴν δὲ ἐπιφερομένην μὴ ἀπὸ ἑνὸς μόνου, ἀλλὰ καὶ ἀπὸ δύο ἄρχεσθαι, ὡς ἐν εἰσαγωγῇ δὲ παρῆκε τοῦτο. Τί δὲ διαφέρει οὗτος ὁ τρόπος τοῦ πρὸ αὐτοῦ; Ὅτι ὁ μὲν τὴν ἑξῆς ἔχει ἀπὸ συμπεπλεγμένων συμφώνων ἀρχομένην, ὁ δὲ προκείμενος ἐν διαστάσει ἔχει τὰ σύμφωνα, οἷον ἕρμα ἔρνος. Ἢ ὅταν διπλοῦν σύμφωνον ἐπιφέρητα ι , οἷον ἔξ ω.] Τέταρτος οὗτος ὁ τρόπος· δείκνυται δὲ πότε ἐπιφέρεται καὶ πότε καταλήγει νόμῳ τῆς ὀρθογραφίας· λέγει δὲ ἐν τῷ ἔξω ἐπιφέρεσθαι μᾶλλον ἢ καταλήγειν τὸ ξ . Πόθεν δῆλον; Λόγος τεχνικὸς καταναγκάζει· πᾶν γὰρ σύμφωνον μεταξὺ δύο φωνηέντων ἐν μιᾷ λέξει τῷ δευτέρῳ ἀκολουθεῖ. Ἢ ὅταν εἰς διπλοῦν σύμφωνον λήγ η , οἷον Ἄρα ψ.] Πέμπτον λέγει εἶναι τρόπον, ὅταν καταλήγῃ εἰς διπλοῦν σύμφωνον. Ἰστέον δὲ ὅτι οἱ χρόνοι, ὡς ὄντες κυρίως προσῳδίαι, ἐπάνω φωνηέντων τίθενται, δυνάμει δὲ καὶ εἰς τὰ δεκαεπτὰ σύμφωνα. Καὶ εἰς μὲν τὰ δύο μακρά, λέγω δὴ τὸ η καὶ τὸ ω , ἡ μακρὰ τίθεται, καὶ εἰς τὰ δύο βραχέα ἡ βραχεῖα, εἰς δὲ τὰ τρία δίχρονα ποτὲ μὲν μακρὰ ποτὲ δὲ βραχεῖα, κατὰ τὴν ἀναλογίαν· εἰς δὲ τὰ ιδʹ ἁπλᾶ ἡμιβράχεια δυνάμει, καὶ εἰς τὰ τρία διπλᾶ τελεία βραχεῖα, διὰ τὸ ἐκ δύο συμφώνων συνεστηκέναι αὐτά.

208 Συμπλεκόμενα δὲ τὰ σύμφωνα τοῖς φωνήεσιν ἀποτελοῦσι τὴν ἐγγράμματον φωνήν· λοιπὸν εἰ τύχοι φωνῆεν βραχὺ πρὸ δύο συμφώνων ἢ ἑνὸς διπλοῦ, ἐκτείνεται· τὰ γὰρ ἡμιβράχεα τῶν δύο συμφώνων καὶ τοῦ ἑνὸς φωνήεντος ἡ τελεία βραχεῖα συνελθόντα ἀποτελοῦσι τὴν τελείαν μακράν. § 9 (10b). Περὶ βραχείας συλλαβῆ ς. Βραχεῖα συλλαβὴ γίνεται etc. = Σ d 50, 12—18. 〈Stephani.〉 —Καὶ ἄλλως. — Βραχεῖα συλλαβὴ γίνεται κατὰ τρόπους δύο καὶ ἑξῆς.] Ἡ βραχεῖα συλλαβὴ οὐκ ἔχει πολυτρόπους τὰς μεταβολάς, καθάπερ ἡ μακρὰ συλλαβή, ἀλλὰ δύο μόνας· ἢ γὰρ φύσει βραχέα ὄντα τὰ φωνήεντα τὰς συλλαβὰς βραχύνει, ἢ βραχυνόμενα τὰ δίχρονα, οὐ χύδην, ἀλλά, καθάπερ ἐν τῷ περὶ μακρᾶς συλλαβῆς εἰρήκαμεν, τῇ χρήσει προσανέχοντες τῶν ποιητῶν. § 10 (11b). Περὶ κοινῆς συλλαβῆ ς. Κοινὴ συλλαβὴ γίνεται etc. = Σ d 50, 20—56, 14. 〈Stephani.〉 —Περὶ κοινῆς συλλαβῆς καὶ ἄλλως. —Ἡ κοινὴ συλλαβὴ τῶν πρός τι· ὃν γὰρ τρόπον ἐν τῷ περὶ στοιχείου εἴρηται τὰ μέσα εἰρῆσθαι δασέων τε καὶ ψιλῶν, οὕτω καὶ ἐνταῦθα τὴν κοινὴν εἶναι λέγει μακρῶν τε καὶ βραχειῶν· 〈καὶ〉 ὥσπερ ἐν τῇ συνηθείᾳ λέγομεν πολλάκις, ὁρῶντες κτῆμα διαφόρων δεσποτῶν, ὅτι τοῦδε καὶ τοῦδε κοινόν ἐστιν, οὕτω καὶ ἐνταῦθα κοινὴ συλλαβή ἐστιν 〈ἡ〉 δυναμένη ὑπακούειν τῇ τε μακρᾷ καὶ τῇ βραχείᾳ. Κοινὴ συλλαβὴ γίνεται κατὰ τρόπους τρεῖ ς , ἤτοι ὅταν εἰς φωνῆεν μακρὸν λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένη ν , οἷον 〈Γ 164〉 οὔ τί μοι αἰτίη ἐσσ ί.] Τῇ κοινῇ συλλαβῇ κέχρηνται οἱ ποιηταὶ ἐν τοῖς ἑαυτῶν ἔπεσι· γίνεται δὲ ὁ πρῶτος τρόπος, ὅταν λέξις εἰς μέρος λόγου λήξῃ καὶ εἰς φωνῆεν μακρόν, ἐπιφέρηται δὲ ἐν τῇ ἑξῆς συλλαβῇ ἕτερον φωνῆεν· τότε 〈γὰρ〉 ἐκείνη ἡ συλλαβὴ βραχεῖα γίνεται, καὶ ἔστι μὲν καθ’ ἑαυτὴν ἀμφίμακρος, ἐν δὲ τῷ στίχῳ δάκτυλος.

209 Ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφων α , ὧν τὸ μὲν δεύτερον ἀμετάβολον, καὶ ἑξῆς.] Καλῶς εἶπε «βραχεῖ ἢ βραχυνομένῳ»· τὸ γὰρ ε καὶ τὸ ο βραχέα εἰσί, τὸ δὲ α ι υ ἐνίοτε μὲν βραχέα, ἐνίοτε δὲ μακρά· βραχυνόμενα οὖν λέγει τὰ δίχρονα. Τὸ δὲ «καθ’ ἓν ἄφωνόν ἐστιν» ἀντὶ τοῦ ἐν συλλήψει, τουτέστιν ἐν ἐπιπλοκῇ συμφώνων, ὡς ἔστι τὸ κλε · τοῦτο 〈γὰρ〉 οὐ δύναται γενέσθαι δύο μέρη λόγου, ὡς τὸ ἐκ Λακεδαίμονος· διὰ τοῦτο καθ’ ἕν ἐστι, καὶ δύναται καὶ μακρὰ γίνεσθαι ἡ συλλαβὴ καὶ βραχεῖα [καὶ κοινή]. Εἰσὶ δὲ ἐννέα ἄφωνα, β γ δ κ π τ θ φ χ , καὶ τέσσαρα ἀμετάβολα, λ μ νρ · ταῦτα οὖν πρὸς ἄλληλα μιγνύμενα καθ’ ἓν τριάκοντα ἓξ σχήματα ποιεῖ. Αὕτη δὲ ἡ δευτέρα διαφορὰ ἐπαγγέλλεται τὴν τοῦ παλιμβακχείου θεραπείαν, ὅταν ἡ μέση συλλαβὴ ὁμοίως λήξῃ μὲν εἰς φωνῆεν, ἔτι γε μὴν καὶ εἰς μέρος λόγου· ἀλλ’ ἁπλούστερον εἶπεν· ἀντὶ γὰρ τοῦ 〈α 2〉 πλάγχθη ἐπεὶ Τροίης εἴρηκε 〈Τ 287〉 Πάτροκλέ μοι δειλ ῇ· καὶ ἡ δευτέρα γὰρ κοινή ἐστιν, οὐχ ὥσπερ ἀπαιτεῖ ὁ λόγος 〈οὗτοσ〉 , ἀλλ’ ἑτέρῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λόγῳ, ὅτ’ οὔτε καταπεραιοῖ οὔτε μὴν εἰς μακρὰν λήγει. Ἢ ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένη ν , οἷον 〈Ξ 1〉 Νέστορα δ ’ οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπη ς.] Ὁ τρίτος τρόπος τῆς κοινῆς συλλαβῆς οὕτω γίνεται, ὅταν βραχεῖα συλλαβὴ τελικὴ λέξεως ᾖ μὴ ἐπιφερομένων ἐκείνων τῶν συμφώνων τῶν τὴν μακρὰν ποιούντων, ἀλλ’ ἤτοι ἑνὸς ἢ μηδενός· πᾶσα γὰρ τελικὴ συλλαβὴ ἐκ τῆς ἀναπαύσεως χρόνον προσλαμβάνει, ὡς ἐν τῷ 〈Ξ 421〉 οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον, καὶ 〈Μ 144. Ο 396〉 ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τ ε, καὶ 〈ι 109〉 ἀλλὰ τά γ ’ ἄσπαρτα καὶ ἀνήροτα, καὶ ἐν τῷ 〈Ζ 194〉 καὶ μέν οἱ Λύκιοι τέμενος τάμο ν. [Διὰ τί δὲ τρεῖς μόνοι τρόποι εἰσὶ τῆς κοινῆς συλλαβῆς, καὶ οὐ πλείους; Καὶ λεκτέον ὅτι πᾶσα συλλαβὴ ἤτοι μακρά ἐστιν ἢ βραχεῖα· καὶ ἴσμεν ὅτι ἡ μὲν μακρὰ διχῶς γίνεται, ἢ φύσει ἢ θέσει, ἡ δὲ βραχεῖα μονότροπός ἐστιν· ἕκαστος οὖν ὁ τρόπος τῇ κοινῇ παρεχώρησεν, ὁ μὲν φύσει 〈μακρόσ〉, ὡς ἐν τῷ 〈Γ 164〉 οὔ τί μοι αἰτίη ἐσσ ί, ὁ δὲ θέσει 〈μακρόσ〉, ὡς ἐν τῷ 〈Τ 287〉 Πάτροκλέ μοι δειλ ῇ, ὁ δὲ βραχύς, ὡς ἐν τῷ 〈Ξ 421〉 οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμο ν.

210 ] Σημειωτέον δὲ ὡς οὐ καλῶς εἶπεν ὁ τεχνικὸς ἐν τούτῳ τῷ τρόπῳ «καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην»· κἂν γὰρ ἡ ἑξῆς ἄρχηται ἀπὸ συμφώνου, λήγῃ δὲ ἡ πρώτη εἰς φωνῆεν, πάλιν κοινὴν ποιεῖ, οἷον 〈Φ 352〉 τὰ περὶ καλὰ ῥέεθρα, 〈ι 109〉 ἀλλὰ τά γ ’ ἄσπαρτα καὶ ἀνήροτ α. Ἔστι δὲ ἐν τοῖς κοινοῖς μέτροις καὶ ἡ καλουμένη συνεκφώνησις, ἣ καὶ συνίζησις λέγεται· ὅταν γὰρ φωνηέντων ἐπάλληλος γένηται προφορά, τότε γίνεται ἡ συνίζησις εἰς μίαν συλλαβήν. Διαφέρει δὲ ἡ συνίζησις τῆς συναλοιφῆς· ἡ μὲν γὰρ γραμμάτων ἐστὶ κλοπή, ἡ δὲ χρόνων, καὶ ἡ μὲν συναλοιφὴ ὡς λέγεται καὶ φαίνεται, ἡ δὲ συνίζησις οὐχ οὕτως· ἐντελῶς μὲν γὰρ λέγεται, κατὰ κρᾶσιν δὲ φαίνεται. Καὶ ἔστιν αὐτῆς ὁ ὅρος οὗτος· συνεκφώνησίς ἐστιν ὁπόταν δύο 〈συλλαβαὶ〉 σύμφωνον μεταξὺ ἀλλήλων μὴ ἔχουσαι ἀντὶ μιᾶς παραλαμβάνωνται. Τρόποι δὲ συνεκφωνήσεως οἱ ἀναγκαιότατοι τέσσαρες· ἢ δύο μακρῶν εἰς μίαν μακράν, ὡς ἐν τῷ 〈Ε 349〉 ἢ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύει ς; καὶ 〈ζ 187. υ 227〉 ἐπεὶ οὔτε κακῷ οὔ τ ’ ἄφρονι φωτὶ ἔοικα ς· ἢ βραχείας καὶ μακρᾶς εἰς μακράν, ὡς ἐν τῷ 〈α 183〉 πλέων ἐπὶ οἴνοπα πόντον, καὶ 〈Α 18〉 ὑμῖν μὲν θεοὶ δοῖεν [καὶ 〈Α 15〉 χρυσέῳ ἀνὰ σκήπτρ ῳ] · ἢ μακρᾶς καὶ βραχείας εἰς μακρά ν , ὡς ἐν τῷ 〈Β 544〉 θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσσι ν· ἢ δύο βραχειῶν εἰς μακράν, ὡς ἐν τῷ 〈ι 283〉 νέα μέν μοι κατέαξε Ποσειδάω ν· ἢ δύο βραχειῶν εἰς μίαν βραχεῖαν, ὡς ἐν ἄλλοις μέτροις εὑρίσκομεν, σπανίως δέ, οἷον 〈Praxilla? cfr Χ 133〉 σείων μελίην Πηλιάδ α· ἔστι δὲ Ἰωνικὸν ἀπὸ μείζονος. Ἔστι δὲ ὅπου βραχεῖα καὶ κοινὴ ἀντὶ βραχείας κοινῆς παραλαμβάνεται, ὡς ἐν τῷ 〈Γ 152〉 δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσ ι, καὶ ἐν τῷ 〈Α 15〉 χρυσέῳ ἀνὰ σκήπτρ ῳ .

211 Πολλάκις δὲ συνεκφώνησις μὴ νοηθεῖσα μέτρον ἀμείβει· τὸ γὰρ 〈Ε 349〉 ἢ οὐχ ἅλις ὅττι γυναῖκας ἀναπαιστικόν ἐστιν. Εἰς τὸ αὐτὸ καὶ ἄλλω ς. —Ἡ τρίτη διαφορὰ τὸν χορεῖον θεραπεύει· καὶ ὧδε πάλιν, ὅταν βραχεῖά ἐστι κατὰ τὴν ἀρχήν, λήξῃ μέντοι εἰς μέρος λόγου, τῆς δευτέρας ἀρχομένης ἀπὸ φωνήεντος, οὕτως ἡ κοινὴ γίνεται. Stephani. —Δεῖ δὲ εἰδέναι, ὅτι ἡ κοινὴ οὐκ ἀκαίρως ἐπινενόηται τοῖς μετρικοῖς· ἀλλ’ ἐπειδὴ οἱ ἄνθρωποι περὶ τὰ τοιαῦτα μετριώτεροί εἰσι καὶ οὐ πάντως εὐποροῦσι λέξεων, ὡς ὁ γνήσιος λόγος ἀπαιτεῖ τὴν μακρὰν φύσει καὶ τὴν βραχεῖαν φύσει, τρόπον τινὰ παραμυθούμενοι τὴν ἀσθένειαν τὴν κοινὴν εἰργάσαντο· ἵνα 〈δὲ〉 μὴ ὡς ἔτυχε τὰς μακρὰς ἐν κοινῷ λαμβάνωμεν ἢ τὰς βραχείας, μέθοδον οὖν τεχνικὴν προέθεντο. Δεῖ δὲ γινώσκειν καὶ τοῦτο, ὅτι γνήσιοι μὲν πόδες τοῦ ἡρωϊκοῦ μέτρου δάκτυλός ἐστι καὶ ἐν τοῖς δισυλλάβοις σπονδεῖος· οἱ δὲ κοινῶς λαμβανόμενοι ἀμφίμακρος, παλιμβάκχειος, χορεῖος. Τούτων ὁ μὲν ἀμφίμακρος κατὰ τὴν τρίτην συλλαβὴν 〈καὶ κατὰ τὸν πρῶτον τρόπον τῆς κοινῆς συλλαβῆς θεραπεύεται, ὁ δὲ παλιμβάκχειος κατὰ τὴν δευτέραν συλλαβὴν καὶ κατὰ τὸν δεύτερον τρόπον τῆς κοινῆς συλλαβῆς, ὁ δὲ χορεῖος κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν πρώτην συλλαβὴν〉 καὶ κατὰ τὸν τρίτον τρόπον τῆς κοινῆς συλλαβῆς. § 11 (12. 13b). Περὶ λέξεω ς . Λέξις ἐστὶ μέρος ἐλάχιστον etc. = Σ d 56, 16—58, 26. 〈Stephani.〉 —Περὶ λέξεως καὶ ἄλλως. — Λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγο υ.] Διεξελθὼν ὁ τεχνικὸς περὶ τῶν στοιχείων καὶ περὶ τῶν συλλαβῶν λοιπὸν παραβαίνει εἰς τὸν περὶ τῆς λέξεως λόγον, εἰκότως· καὶ γὰρ ἀπὸ τῶν στοιχείων συλλαβαί, ἀπὸ δὲ συλλαβῶν λέξεις, ἀπὸ δὲ λέξεων διάνοιαι, ἀπὸ δὲ διανοιῶν ὁ τέλειος λόγος· ὥστε οὖν κατὰ τάξιν τοὺς εἰσαγομένους ἐκπαιδεύει.

212 Καί φησι «λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου»· κακῶς δὲ ὡρίσατο, ταὐτὸν γὰρ καὶ τὸ στοιχεῖον· ἀλλ' ἔδει εἰπεῖν «μέρος ἐλάχιστον διανοίας τοῦ κατὰ σύνταξιν λόγου». Καὶ λέγομεν ὅτι ὡς ἐν εἰσαγωγῇ τὰ ποικίλα ἐκφεύγει· τῷ γὰρ εἰσαγομένῳ ζητήματα μυρία ὑπαντᾷ περὶ διακρίσεως καὶ συντάξεως λόγου καὶ διανοίας. Ὡς δὲ ἀπὸ τοῦ ἕξω ἕξις, οὕτως ἀπὸ τοῦ λέξω λέξις· λέγω δὲ οὐ 〈τὸ〉 εἰκῇ, ἀλλ' ἀπὸ τοῦ σημαίνοντος τὸ σημαινόμενον· ἴδιον γὰρ λέξεως σημαινόμενον ἔχειν, συλλαβῆς δὲ ἴδιον τὸ μηδὲν σημαίνειν. Τὸ δὲ λέγω σημαίνει ἐνταῦθα τρία, τὸ ἀπαγγέλλω, τὸ ἀριθμῶ, τὸ ἐκλέγομαι· λέξις οὖν ἐστιν ἡ σημασίας ἀπαγγελτική, ἢ ἡ πρὸς σύνταξιν λόγου καταριθμουμένη, ἢ ἣν πᾶς ὁστισοῦν ἐκλέγεται μᾶλλον τῆς ἀσήμου φωνῆς. Διαφέρει δὲ σύνταξις συνθέσεως· καὶ σύνταξις μέν ἐστι λέξεων παράθεσις μὴ ὁμοῦ μὲν γεγραμμένων, ὁμοῦ δὲ νοουμένων, σύνθεσις δὲ [μιᾶς ἢ] δύο ἢ καὶ τριῶν λέξεων ἕνωσις ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα. Τὴν δὲ σύνθεσιν ἐνταῦθα τὴν πεζὴν εἶπε φράσιν, ἥτις πεζὴ λέγεται, ὅτι δι' αὐτῆς, ὡς δημοσίας ὁδοῦ, πάντες ὁδεύουσι καὶ ποιηταὶ καὶ πεζολόγοι· πεζὴν γὰρ λέγει τὴν κοινήν· τῇ μέντοι ποιητικῇ μόνοι χρῶνται, ὅσοι μετὰ τέχνης αὐτὴν ἐπιτηδεύουσιν. Εἴρηκε δὲ τὸν λόγον πεζῆς λέξεως σύνθεσιν, ὡς ἂν εἴποι τις τὴν κοινωνίαν καὶ τῶν νοημάτων τῶν ἐντελῶν ἄκραν ἕνωσιν. Προσθετέον οὖν τὸ «αὐτοτελές»· ἢ ὁριστέον οὕτω· «λέξις ἐστὶ φωνὴ ἐγγράμματος νοητόν τι ἀποτελοῦσα»· ἐγγράμματος δὲ φωνή ἐστιν ἀποτέλεσμα τοῦ ἐν ἡμῖν ἐντεθησαυρισμένου πνεύματος. Εἰ δὲ λέγοις, ὡς οἱ παραπληρωματικοὶ σύνδεσμοι λέξεις εἰσὶ καὶ οὐκ ἔχουσι νοητόν, φαμὲν ὡς πρῶτον μὲν ἔχουσιν, ὡς ὁ γέ μείωσιν, 〈fr. poet. 1yr. 3, 737 B 4〉 τοῦτό γέ μοι χάρισαι, καὶ ἔμφασιν, «καλῶς γε», ὁ πέρ ἐναντίωσιν, 〈A 131〉 μὴ δ ' οὕτως ἀγαθός περ ἐώ ν, καὶ 〈A 586. E 382〉 ἀνάσχεο κηδομένη πε ρ· παραπληρωματικοὶ δὲ καλοῦνται, ὅτι διάφορα δηλοῦντες πληροῦσι τὴν διάνοιαν. Εἰ δέ τινες ὀλίγαι λέξεις μηδὲν σημαίνουσιν, οὐ τῶν ὅλων ἐπικρατήσουσιν, ὑπὸ δὲ τῶν πολλῶν ὁρισθήσονται.

213 Ἄλλως τε καὶ αὗται λέξεις εἰσί, καθὸ ἐγκλίνονται καὶ ὀρθοτονοῦνται· ἐγκλίνεται δὲ ὁ θήν, οἷον 〈K 104〉 οὔ θην Ἕκτορι πάντα νοήματα, καὶ ὁ κέν, 〈ex. gr. β 204〉 ὄφρά κε ν, καὶ ὁ τοί, 〈ex. gr. Γ 65〉 οὔ το ι. Καλῶς δὲ εἶπε «τοῦ κατὰ σύνταξιν λόγου»· πολλαχῶς γὰρ λέγεται λόγος· σημαίνει γὰρ τὸν ἐξ ἀναλωμάτων, ὃς λέγεται καὶ τραπεζιτικός, οὗ μέμνηται καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς, 〈De Chers. § 47〉 τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβάνει ν , τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγο ῦ· τὸν γεωμετρικόν, οἷον «ὃν ἔχει λόγον τὸ ἡμίπηχυ πρὸς τὸν πῆχυν, τοῦτον ἔχει τὸν λόγον καὶ τὸ δίπηχυ πρὸς τὸ τετράπηχυ». Ἔστι λόγος καὶ ἡ φροντίς, ὡς παρὰ Μενάνδρῳ 〈fr. 836 K〉 οὔτε λόγον ὑμῶν οὔ τ ' ἐπιστροφὴν ἔχ ω. Ἔστι λόγος καὶ ὁ ἐκ λημμάτων καὶ ἐπιφορᾶς, οἷον «εἰ ἡμέρα ἐστί, φῶς ἐστι»· τοῦτο λῆμμα, ἐπεὶ ὡς ὁμολογούμενον εἴληπται τὸ ἡμέρας οὔσης φῶς εἶναι· «ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί»· τοῦτο ἐπιφορά, τῷ γὰρ προειλημμένῳ ἐπηνέχθη. Ἔστι λόγος καὶ ἡ λογικὴ κατασκευή, καθό φαμεν τοὺς μὲν ἀνθρώπους ἔχειν λόγον, τὰ δὲ ἄλογα μή. Ἔστι λόγος καὶ ἡ δύναμις, ὡς λέγομεν κατὰ φυσικὸν λόγον ὀδοντοφυεῖν τὰ ζῷα καὶ γένεια φέρειν, οἷον κατὰ τὰς φυσικὰς καὶ σπερματικὰς δυνάμεις. Ἔστι λόγος καὶ ἡ συμπαρεκτεινομένη φωνὴ τῷ διανοήματι, οἷον τὸ «ἄπελθε»· τοῦτο γὰρ καὶ λέξις, ὅτι τετύχηκε νοῦ, καὶ λόγος διὰ τὸ ἐντελὲς τοῦ νοήματος τοῦ δηλουμένου. Ἔστι λόγος καὶ ὁ δηλῶν τὸ αὐτοτελές, καθό τινος εἰπόντος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλλιπῶς φαμεν «τελείωσον τὸν λόγον». Ἔστι λόγος καὶ ὁ ἔκτασιν ἔχων ποιοῦ ἀπαρτισμοῦ, οἷον «καλός ἐστιν ὁ κατὰ Μειδίου λόγος Δημοσθένους». Ἔστι λόγος καὶ αὐτὸ τὸ βιβλίον, οἷον «χρῆσόν μοι τὸν κατὰ Ἀνδροτίωνος λόγον». Ἔστι λόγος καὶ ἡ ὑπόθεσις, οἷον 〈fr.
214 com. 4, 654 p. 1224 M〉 ἤδη δὲ λέξω τὸν λόγον τοῦ δράματο ς . Λόγος δέ ἐστι πεζῆς λέξεως σύνθεσις διάνοιαν αὐτοτελῆ δηλοῦσ α.] Τοῦτο ἐκβάλλει τοὺς ἐμμέτρους. Ὁριστέον οὖν οὕτως· «σύνθεσις λέξεων κατάλληλος διάνοιαν ἀπαρτίζουσα»· ὁ γὰρ λόγος ἐκ διανοιῶν, ἡ δὲ διάνοια ἐκ λέξεων. Δεῖ οὖν προσέχειν καὶ ἐνταῦθα τὸ ἀκριβὲς τοῦ τεχνικοῦ· πῇ μὲν γὰρ σύνταξιν 〈λέγει〉 , πῇ δὲ σύνθεσιν, ὅτι ἡ μὲν σύνταξις τὸ κατάλληλον μόνον τῶν μερῶν τοῦ λόγου ζητεῖ, ἡ δὲ σύνθεσις τὴν ἕνωσιν. Σύνθεσις οὖν τῶν λέξεων ἡ διάνοια· καθ’ ἑαυτὴν γὰρ ἡ λέξις, ἔξωθεν δ’ οὐδέν ἐστι τῆς διανοίας· ἐκ δὲ διανοίας συνίσταται ὁ τέλειος λόγος. Δεῖ οὖν ἐνταῦθα νοεῖν λόγον τὸν διεξοδικόν, τὸν συνιστάμενον ἐκ τῶν μερῶν τοῦ λόγου. Τοῦ δὲ λόγου μέρη εἰσὶν ὀκτ ώ , ὄνομ α , ῥῆμ α , μετοχ ή , ἄρθρο ν , ἀντωνυμί α , πρόθεσι ς , ἐπίρρημ α , σύνδεσμο ς.] Βουλόμενος διδάξαι καὶ τὰ μέρη, 〈ἐξ〉 ὧν συνίσταται ὁ λόγος, ἀπαριθμεῖ τοῦ λόγου εἶναι μέρη ὀκτώ, ὧν ἑκάστου τὸ ὄνομα παραδίδωσιν. Ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβλητα ι.] Οἱ Στωϊκοὶ ὀνόματα τὰ μὲν κύρια ἔλεγον, τὰ δὲ προσηγορικὰ οὐκ ὀνόματα· καί φασιν, ὡς διάφορος ἡ κλίσις κυρίων καὶ προσηγορικῶν· Πάρις γὰρ Πάριδος, ὅτι κύριον, μάντις δὲ μάντιος, ὅτι προσηγορικόν. Εἰ δὲ κλίσιν προσδεξαίμεθα τοῦ μερισμοῦ κριτήριον, τὸ λέοντος καὶ λέγοντος ὑφ’ ἓν 〈τε〉 τάξεται μέρος, τὸ δὲ μήνιδος καὶ μάντεως οὐχ ὑφ’ ἕν. Ἔτι φασίν, 〈ὡσ〉 ἀπὸ κυρίων προσηγορικά. Ἀλλ’ εἴπερ ἐκ τῶν πρωτοτύπων μεριοῦμεν τὰ παράγωγα, τὸ Ἑκτόρεον καὶ αἴγεον διαστελοῦμεν, τό τε εὐγενέστερος καὶ ἐρρωμενέστερος. Ἔτι τὰ κύρια λέγουσι μὴ ἔχειν θηλυκά, τὰ προσηγορικὰ δέ. Ἀλλ’ εἰ παρασχηματισμὸς μερίζει τὰς λέξεις, χωριζέσθω ὁ ἄνθρωπος ἀπὸ τοῦ ὁ χρυσός καὶ ὁ ἄργυρος καὶ μὴ εἴη τοῦ αὐτοῦ μέρους, ἐπειδὴ ὁ μὲν ἄνθρωπος παρασχηματίζει θηλυκόν, ὁ δὲ χρυσός καὶ ὁ ἄργυρος μονογενὲς ἔχουσιν ὄνομα. Λεκτέον οὖν, ὡς παντὸς μέρους τὰ ἴδια δεῖ σκοπεῖν καὶ οὐ τὰ παρεπόμενα, καὶ οὕτω ποιεῖσθαι τὸν μερισμόν· ἴδιον δέ ἐστι τὸ ἑνὶ μόνῳ ἀνῆκον, ἑτέρῳ δὲ μὴ ἐπικοινωνοῦν, ὡς ἀνθρώπου τὸ γελαστικόν, ἵππου δὲ τὸ χρεμετιστικόν· παρεπόμενα δὲ λευκὸν ἢ μέλαν, [ἢ] ταχὺ ἢ βραδύ. Οὕτω δὴ καὶ ὀνόματος ἴδιον μὲν τὸ δηλοῦν τὴν τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων ποιότητα, παρεπόμενον δὲ τὸ κύριον ἢ προσηγορικὸν εἶναι· ὥστε καθὸ ποιότητα δηλοῖ τὸ κύριον, ὄνομά ἐστι, κἂν μὴ προσηγορικὸν ᾖ, καὶ καθὸ ποιότητα δηλοῖ τὸ προσηγορικόν, ὄνομά ἐστι, κἂν μὴ ᾖ κύριον.

215 Ἕνωσίς ἐστι διεστώτων πραγμάτων κοινωνικὴ συνδρομή· ἕνωσις δὲ εἴρηται διὰ τὸ εἰς ἓν συνωθεῖσθαι τὰ πράγματα. Κατὰ δὲ τρόπους δέκα λέγεται ἡ ἕνωσις· α′ κατ’ οὐσίαν, β′ καθ’ ὑπόστασιν, γ′ κατὰ σχέσιν, δ′ κατὰ παράθεσιν, ε′ καθ’ ἁρμονίαν, ς′ κατὰ κρᾶσιν, ζ′ κατὰ φύρσιν, η′ κατὰ σύγχυσιν, θ′ κατὰ σωρείαν, ι′ κατὰ συναλοιφήν. Καὶ κατ’ οὐσίαν μὲν ἕνωσίς ἐστιν ἐπὶ τῶν ὑποστάσεων, τουτέστι τῶν ἀτόμων· καθ’ ὑπόστασιν δὲ ἐπὶ τῶν οὐσιῶν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος· κατὰ σχέσιν δὲ ἐπὶ τῶν γνωμῶν, ὡς εἰς ἓν θέλημα· κατὰ παράθεσιν δὲ ἐπὶ τῶν σανίδων· καθ’ ἁρμονίαν δὲ ἐπὶ τῶν λίθων· κατὰ κρᾶσιν δὲ ἐπὶ τῶν ὑγρῶν, οἴνου καὶ ὕδατος· κατὰ φύρσιν δὲ ἐπὶ τῶν ξηρῶν καὶ ὑγρῶν, ἀλεύρου καὶ ὕδατος· κατὰ σύγχυσιν δὲ ἐπὶ τῶν τηκτῶν, κηροῦ καὶ πίσσης· κατὰ σωρείαν δὲ ἐπὶ τῶν ξηρῶν, σίτου καὶ κριθῆς· κατὰ συναλοιφὴν δὲ ἐπὶ τῶν προσερχομένων καὶ αὖθις ἀποκαθισταμένων, οἷον λαμπάδος πυρὶ προσερχομένης καὶ πάλιν ἀποκαθισταμένης. § 12 (14b). Περὶ ὀνόματος. 〈Stephani.〉 — Ὄνομά ἐστι μέρος λόγου πτωτικό ν , σῶμα ἢ πρᾶγμα σημαῖνο ν.] Ἀκριβεστάτην περὶ τῶν προκατειλεγμένων διδασκαλίαν ὁ τεχνικὸς παραδούς, ἐπὶ τὸ κυριώτατον τῆς ἑαυτοῦ διδασκαλίας ἐπιτρέχει, καὶ τὴν ἀρχὴν τῶν τοῦ λόγου μερῶν ποιούμενος περὶ τοῦ ὀνόματος διαλαμβάνει. Ἔνθα καὶ ἀναγκαῖόν ἐστι πρότερον περὶ τοῦ ἰδίου καὶ φυσικοῦ μέρους ἑκάστου διαλαβεῖν, ἅμα δὲ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈περὶ〉 τῆς τάξεως. Τοῦ μὲν οὖν ὀνόματος ἴδιον τυγχάνει τὸ οὐσίαν σημαίνειν· ἔστι δὲ οὐσία αὐθύπαρκτόν τι καθ' ἑαυτό, μὴ δεόμενον ἑτέρου εἰς τὸ εἶναι· τῶν δὲ οὐσιῶν αἱ μέν εἰσιν αἰσθηταί, αἱ δὲ νοηταί. Τοῦ δὲ ῥήματος ἴδιον τὸ σημαίνειν πρᾶγμα· τὰ δὲ πράγματα διὰ τῶν ἀνθρώπων κατορθοῦται ἢ ὡς ἐνεργούντων ἢ ὡς πασχόντων. Τῆς δὲ μετοχῆς μετουσία· μετουσία δέ ἐστι κοινωνία δύο πραγμάτων· μεταξὺ δέ ἐστιν ἡ μετοχὴ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος, τουτέστι δύο τινῶν. Τοῦ δὲ ἄρθρου ἴδιον τὸ ἀναφορὰν σημαίνειν· ἀναφορὰ δέ ἐστιν ἀναπόλησις καὶ ὑπόμνησις προεγνωσμένου ἀπόντος προσώπου.

216 Τῆς δὲ ἀντωνυμίας τὸ ὁρίζειν πρόσωπα καὶ ἀντὶ κυρίων ὀνομάτων παραλαμβάνεσθαι καὶ μόνων. Τῆς δὲ προθέσεως τὸ προτίθεσθαι καὶ προτάττεσθαι ὀνομάτων τε καὶ ῥημάτων ἢ κατὰ παράθεσιν ἢ κατὰ σύνθεσιν. Τοῦ δὲ ἐπιρρήματος τὸ ἐπικεῖσθαι τοῖς ῥήμασι καὶ πρὸς αὐτὰ ποιεῖσθαι τὴν σύνταξιν. Τοῦ δὲ συνδέσμου τὸ συνδεῖν καὶ συμπλέκειν τὴν φράσιν τοῦ λόγου καὶ κοσμεῖν. Καὶ ταῦτα μὲν τὰ ἴδια ἑκάστου. Περὶ δὲ τῆς τάξεως ἄξιον ζητῆσαι, τί δή ποτε τῶν ἁπάντων προέταξε τὸ ὄνομα, τοῦ ῥήματος προγενεστέρου ὄντος τῇ φύσει· ἀεὶ γὰρ τὰ πράγματα τῶν οὐσιῶν προγενέστερά εἰσιν. Καὶ τοῦ μὲν ῥήματος ὅτι δικαίως τὸ ὄνομα 〈προ〉 τέτακται, ἀποχρήσει εἰς ἀπολογίαν, ὅτι εἰ καὶ προτέτακται τῇ φύσει τὸ ῥῆμα, ἀλλ' οὖν γε διὰ τῶν οὐσιῶν τὰ πράγματα φαίνεται. Τὸ δὲ 〈ὄνομα〉 καὶ 〈τὸ ῥῆμα προτέτακται〉 τῶν ἄλλων μερῶν εὐλόγως· κύρια γὰρ καὶ γνησιώτατα μέρη τοῦ λόγου τὰ δύο ταῦτα, τό γε ὄνομα καὶ τὸ ῥῆμα· ταῦτα γὰρ ἀλλήλοις συμπλακέντα τέλειον λόγον καὶ ἀνελλιπῆ ἀπεργάζεται, οἷον «Σωκράτης περιπατεῖ», πάντα δὲ τὰ ἄλλα πρὸς τὴν τελείαν σύνταξιν ἐπινενόηται· οὐδὲ γὰρ ἰδικοῖς ὀνόμασι κέχρηνται, ἀλλ' ὡς ἀπὸ τῆς χρείας· μετοχὴ γὰρ διὰ τὸ μετέχειν τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος καὶ μεταξὺ εἶναι ὀνόματος καὶ ῥήματος, καὶ ἄρθρον διὰ τὸ συναρτᾶσθαι πτωτικοῖς, τουτέστι συνδεσμεῖσθαι, ἀντωνυμία δὲ διὰ τὸ ἀντὶ ὀνόματος παραλαμβάνεσθαι, πρόθεσις δὲ διὰ τὸ προτίθεσθαι τῶν προειρημένων δύο μερῶν τοῦ λόγου, ὀνόματος καὶ ῥήματος, ἐπίρρημα δὲ διὰ τὸ ἐπὶ ῥήματα φέρεσθαι, σύνδεσμος δὲ ἐπειδὴ συνδεσμεύει. Εἴρηται δὲ ὄνομα παρὰ τὸ νέμω, τὸ μερίζω, τὸ διαμερίζον ἕκαστον ἀπὸ τοῦ ἑτέρου· ἐν γὰρ τῷ ἄνθρωπος ὀνόματι πάντες κοινωνοῦμεν, ἐν δὲ τῷ Ὅμηρος ἢ Σωκράτης ἐπιμερίζεται εἰς γνῶσιν ἕκαστος ἀπὸ τοῦ πλησίον. Ὁριζόμενος δὲ τοῦτο ὁ τεχνικὸς λέγει αὐτὸ μέρος λόγου· ἀλλ' ἐπεὶ 〈κατὰ τοῦτο〉 κοινωνεῖ ἑτέροις—οὐ μόνον γὰρ τοῦτο μέρος λόγου—διὰ τοῦτο προσέθηκεν ἐν τῷ ὅρῳ «πτωτικόν». Ἐπειδὴ δὲ καὶ κατὰ τοῦτο ἄλλοις τισὶν ἐκοινώνει, λέγω δὴ μετοχῇ καὶ ἄρθρῳ καὶ ἀντωνυμίᾳ—τῶν γὰρ μερῶν τοῦ λόγου τὰ μέν ἐστι πτωτικά, τὰ δὲ ἄπτωτα—διὰ τοῦτο τὸ ἰδιάζον καὶ μόνῳ τῷ ὀνόματι ὑπάρχον προσέθηκε, «σῶμα ἢ πρᾶγμα σημαῖνον», τουτέστιν οὐσίαν αἰσθητὴν ἢ νοητήν.

217 Σῶμα μέ ν , οἷον λίθο ς , πρᾶγμα δ έ , οἷον παιδεί α.] Σῶμα μέν ἐστι κυρίως τὸ τριχῇ διαστατόν, μήκει βάθει πλάτει, ὅπερ ὑποπίπτει τῇ ἡμετέρᾳ αἰσθήσει· τὰ γὰρ σώματα ὁρῶμεν ἢ ψηλαφῶμεν ἢ ἀπογευόμεθα· πρᾶγμα δέ, ὃ μόνῃ διανοίᾳ καὶ θεωρητικῶς λαμβάνεται, ὡς καὶ αὐτὸς εἶπεν ὁ τεχνικός. Ὄνομα τοίνυν ἐστὶ λέξις ἐπὶ σώματι ἢ ἐπὶ πράγματι τεταγμένη. Κοινῶς τε καὶ ἰδίως λεγόμενο ν , κοινῶς μέ ν , οἷον ἄνθρωπος ἵππο ς , ἰδίως δ έ , οἷον Σωκράτης Πλάτω ν.] Τὰ ὀνόματα προφερόμεθα τετραχῇ, κοινῶς κοινότατα ἰδίως ἰδιαίτατα· κοινῶς μέν, ὡς ὅταν εἴπωμεν ὄνομα, οὗ δύναται ἄρρεν καὶ θῆλυ μεταλαβεῖν, ὡς τὸ σώφρων καὶ φιλόσοφος· λέγομεν γὰρ καὶ ἐπὶ ἀνδρὸς καὶ ἐπὶ γυναικὸς τοῦτο· κοινότατα δέ, ὡς ὅταν δι' ἑνὸς ὀνόματος πολύ τι καὶ ἀπέραντον πλῆθος παραλαμβάνωμεν, οἷον ἄνθρωπος λέων· ἐν γὰρ τῷ εἰπεῖν ἄνθρωπος αὐτὴν τὴν ἀνθρωπότητα σημαίνω, ἧς πάντες μετειλήφασιν, καὶ λέων πᾶν τὸ εἶδος τοῦ ζῴου, τὸ περιλαμβάνον πάντα λέοντα ἐν παντὶ τόπῳ εὑρισκόμενον· ἰδίως δὲ τὸ χωρίζον ἐκ τῆς κοινότητος ἕνα τινά, ὡς Ὅμηρος Πλάτων· ἰδιαίτατα δέ, ὡς τὰ ὁμώνυμα τῶν ὀνομάτων. Παρέπεται δὲ τῷ ὀνόματι πέντ ε , γέν η , εἴδ η , σχήματ α , ἀριθμο ί , πτώσει ς.] Παρεπόμενον δέ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστι συμβεβηκός, ὃ συμβέβηκεν ἀχώριστον ἢ χωριστόν, ἀχώριστον μέν, ὡς Αἰθίοπι τὸ μέλαν, χωριστὸν δέ, ὡς ἐμοὶ τὸ καθέζεσθαι· τοῦτο δὲ οὐχ ἑνός ἐστι μόνου [παρεπόμενον], οἷον τὸ μέλαν Αἰθίοπι κόρακι πίσσῃ 〈παρέπεται〉 · οὕτω καὶ γένος καὶ εἶδος καὶ τὰ λοιπὰ οὐ μόνου τοῦ ὀνόματος. Εἰς τὸ αὐτό. — Πορφυρίο υ. —Παρεπόμενόν ἐστιν ὃ οὐκ ἀπὸ σκοποῦ γίνεται οὐδὲ κατὰ πρόνοιαν τοῦ ποιοῦντος, ἀλλ' ἔκ τινος παρεπομένου, ὡς τοῖς ξέουσι τὰ ξύλα συμβαίνει ἑλικοειδεῖς ἐπαναστάσεις γίνεσθαι, οὐχὶ ταῦτα τοῦ τέκτονος ἐπιτηδεύοντος· οὕτως οὖν καὶ ἐπὶ τοῦ ὀνόματος· οὐ διὰ τοῦτο ὄνομα γεγένηται, ἵνα ταῦτα αὐτῷ παρέπηται —ἓν γὰρ καὶ μόνον ἴδιον τοῦ ὀνόματος, τὸ σῶμα ἢ πρᾶγμα σημαίνειν—ἅμα δὲ τῷ γενέσθαι αὐτὸ προσηρμόσθησαν αὐτῷ γένη, εἴδη καὶ τὰ λοιπά.

218 〈Stephani.〉 — Γένη μὲν οὖν ἐστι τρί α , ἀρσενικό ν , θηλυκό ν , οὐδέτερο ν.] Τινὲς δύο μόνα γένη λέγουσιν· παρὰ γὰρ τὸ θῆλυ καὶ τὸ ἄρρεν οὐκ ἔστιν ἕτερον γένος· τῶν γὰρ ὄντων τὰ μὲν ἄρρενά ἐστι, τὰ δὲ θήλεα· τὰ δὲ μήτε ἄρρενα μήτε θήλεα οὐδέτερα καλεῖται, ἐκ τῆς τῶν προειρημένων ἀναιρέσεως ἰδίου ὀνόματος τιθεμένου τούτοις. Δεῖ γὰρ εἰδέναι, ὅτι τὴν διάκρισιν τῶν γενῶν ἡ γραμματικὴ οὐ κατὰ τὴν ἀλήθειαν ποιεῖ, ἀλλὰ κατὰ τὴν σύνταξιν τῶν ἄρθρων καὶ τὴν εὐφωνίαν· ἐπεὶ πόλις καθ' ἑαυτὸ οὔτε ἄρρεν ἐστὶν οὔτε θῆλυ, δίχα γὰρ τῶν οἰκούντων, τουτέστι θήλεος καὶ ἄρρενος, οὐκ ἂν ἦν οὔτε θῆλυ οὔτε ἄρρεν. Ἔνιοι δὲ προστιθέασι τούτοις ἄλλα δύ ο , κοινόν τε καὶ ἐπίκοινο ν.] Κοινὸν μέν ἐστιν ὃ τὰς μὲν πτώσεις ἔχει τὰς αὐτάς, ὑποτάσσεται δὲ ἄρθροις διαφόροις, ἵππος βοῦς λίθος καὶ τὰ ὅμοια· λέγομεν οὖν ὁ ἵππος καὶ ἡ ἵππος, ὁ βοῦς καὶ ἡ βοῦς, ὁ λίθος καὶ ἡ λίθος, καὶ ἐν ἁπάσαις ταῖς πτώσεσιν ὁμοφωνοῦσι, μόνων τῶν ἄρθρων ἀλλασσομένων. Ἐπίκοινον δέ ἐστιν ὃ διὰ μιᾶς λέξεως τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν σημαίνει, τῷ ἑτέρῳ τῶν ἄρθρων προκατειλημμένον, ἤτοι ἀρσενικῷ ἢ θηλυκῷ. Ὁ τεχνικὸς δέ, ὅταν μὴ ἀρέσκηταί τινι ὑφ' ἑτέρων εἰρημένῳ, ἵνα μὴ δοκοίη κατὰ ἄγνοιαν παραλιμπάνειν, παρεμφαίνει διά τινος λέξεως ὅτι οὐκ ἀρέσκεται τῇ δόξῃ. Στεφάνο υ. —Κοινὸν μέν ἐστι τὸ ὑποκείμενον ἀρσενικῷ τε καὶ θηλυκῷ ἄρθρῳ καὶ ἀμφοτέροις ἀνῆκον τοῖς χαρακτῆρσι τῶν γενῶν, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ ἵππος καὶ ἡ ἵππος, ὡς πατρῴαν οὐσίαν κοινὴν ἀδελφῶν φαμεν. Ἐπίκοινον δέ ἐστι τὸ μὴ τοῖς δύο ἄρθροις ἀλλ' ἑνὶ ὑποκείμενον, κατὰ δὲ τὸ σημαινόμενον ἀνῆκον ἀμφοτέροις τοῖς γένεσι· τὸ μὲν γὰρ κοινὸν ἄρθρῳ καὶ δηλουμένῳ ὑπόκειται τοῖς γένεσι, τὸ δὲ ἐπίκοινον σημαινομένῳ μέν, οὐκ ἄρθρῳ δέ, ὡς ἐπὶ χωρίου τὸν μὲν ἀπολαύοντα ἐξ ἴσου κοινωνεῖν φαμεν, ἐπικοινωνεῖν δὲ τὸν μέρους τινὸς ἀπολαύοντα, οὐχὶ παντός.

219 Τότε δὲ τὸ ἐπίκοινον ἐν ἑνὶ ἄρθρῳ τὰ δύο ἔχει γένῃ, ὅταν ὁ χαρακτὴρ ἑνὸς ᾖ γένους ἐπιδεκτικός, οἷον ἡ περιστερά, ἡ χελιδών, ὁ ἀετός, ὁ κόραξ, ἡ κορώνη. Πορφυρίο υ. —Διαφέρει τὸ κοινὸν τοῦ ἐπικοίνου, ὅτι τὸ μὲν κοινὸν καὶ ἑκατέροις τοῖς ἄρθροις χρῆται καὶ 〈ἑκατέροισ〉 τοῖς σημαινομένοις, τὸ δὲ ἐπίκοινον ἑκατέροις μὲν τοῖς σημαινομένοις χρῆται, ἑνὶ δὲ ἄρθρῳ. Ὠνομάσθη δὲ τὸ μὲν κοινόν, ὅτι κοινόν ἐστιν ἀρσενικοῦ καὶ θηλυκοῦ, τὸ δὲ ἐπίκοινον διὰ τοῦτο, ὅτι ἐπικοινωνίαν ἔχει δι' ἑνὸς ἄρθρου πρὸς ἕτερον σημαινόμενον· ὃν τρόπον ἐπικοινωνεῖν ἐν τῷ βίῳ φαμὲν τὸν καθ' ἥμισυ μὲν μέρος κοινωνοῦντα πράγματι, 〈οὐ〉 κοινωνοῦντα δὲ κατὰ τὸ ἕτερον. Εἴδη δὲ δύ ο , πρωτότυπον καὶ παράγωγον · πρωτότυπον μὲν οὖν ἐστι τὸ κατὰ τὴν πρώτην θέσιν λεχθέ ν , οἷον γ ῆ , παράγωγον δὲ τὸ ἀ φ ' ἑτέρου τὴν γένεσιν ἐσχηκό ς , οἷον γαιήϊο ς.] Τὸ πρωτότυπον διχῶς νοεῖται, οὗ τῆς γενέσεως οὐδὲν κατῆρξεν, ὡς τὸ πᾶς, καὶ ὃ παρῆκται μὲν ἀπό τινος, ἑτέρῳ δὲ γίνεται ἀρχή, ὡς Θησεύς — ἔστι γὰρ ἀπὸ τοῦ θήσω, ποιεῖ δὲ τὸ Θησείδης—καὶ ὃ παρέθετο ὁ τεχνικὸς γῆ, ποιοῦν τὸ γαιήϊος, γίνεται δὲ ἀπὸ τοῦ γῶ ῥήματος, ὅ ἐστι χωρῶ. 〈Stephani.〉 —Εἰς τὸ αὐτό. —Πρωτότυπόν ἐστιν ὃ τὴν πρώτην θέσιν ἐπαγγέλλεται· τύπος γάρ ἐστιν ὁ χαρακτὴρ ἑκάστης φωνῆς· παράγωγον δὲ ὃ ἐξ ἑτέρου τὴν γένεσιν ἔσχε. Δύναται δὲ τὸ αὐτὸ καὶ πρωτότυπον εἶναι καὶ παράγωγον· ἔστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ τὸ γέα διὰ τοῦ ε γραφόμενον, ὅθεν καὶ γεωμέτρης καὶ γεωργός διὰ τοῦε · τοῦτο συναιρεῖται καὶ γίνεται [καὶ ἀπὸ τοῦ γέα] γῆ, καὶ ἀπὸ τούτου γίνεται [τοῦ συναιρεθέντος] τὸ διὰ τῆς αι διφθόγγου γραφόμενον γαῖα. Εἴδη δὲ παραγώγων εἰσὶν ἑπτ ά , πατρωνυμικό ν , κτητικό ν , συγκριτικό ν , ὑπερθετικό ν , ὑποκοριστικό ν , παρώνυμο ν , ῥηματικό ν.

220 ] Ἐνταῦθα ζήτημα ἀναφύεται, εἰ δυνατὸν εἴδη εἰδῶν εἶναι, καὶ διὰ τί τῶν μὲν πρωτοτύπων τὰ εἴδη ἀπεσιώπησε, τῶν δὲ παραγώγων ἐκτίθεται. Καὶ λέγομεν ὅτι δυνατὸν εἴδη εἰδῶν λέγεσθαι, ὥσπερ τοῦ ζῴου ὄντος ὑπὸ τὸ γένος τῆς οὐσίας, ἔχει καὶ αὐτὸ ἕτερα εἴδη. Τῶν δὲ πρωτοτύπων ἀπεσιώπησε τὰ εἴδη, ἐπείπερ πολλὰ ἦν· τὰ γὰρ πρωτότυπα αὐτόθετά ἐστι καὶ ἄπειρα, καθ’ ἑκάστην γὰρ φωνὴν ἰδιάζων ἦν ὁ χαρακτήρ, τὰ δὲ ἄπειρα καὶ ἄτακτα καὶ ἀσαφῆ· ὅθεν εἰκότως ἐκεῖνα μὲν παρεπέμψατο ὁ τεχνικός, οὐ γὰρ ἦν ἀπείρων καὶ ἀσαφεστάτων διδασκαλίαν παραδοῦναι, ἐπὶ δὲ τὰ παράγωγα χωρεῖ· εὐαρίθμητα γὰρ καὶ εὐπερίληπτα εἰς διδασκαλίαν εἰσί· μέχρι γὰρ ἑπτὰ τὸν ἀριθμὸν αὐτῶν εἶναι λέγει. Τὸ πατήρ πολλὰ σημαίνει· οὐ μόνους γὰρ τοὺς φύσαντας καὶ τοὺς προγόνους, ἀλλὰ καὶ τοὺς πολιούχους καὶ 〈τοὺσ〉 τῶν πόλεων κτίστας καὶ τοὺς νομοθέτας δὲ πατέρας λέγομεν εἶναι. Πατρωνυμικὸν μὲν οὖν ἐστι φύσει τὸ κυρίως ἀπὸ πατρὸς σχηματιζόμενον καὶ δηλοῦν μετὰ τοῦ πρωτοτύπου ὀνόματος καὶ τὸν παῖδα, οἷον Πηλείδης ὁ τοῦ Πηλέως παῖς· καταχρηστικῶς μέν〈τοι καὶ〉 ἐκ προγόνων σχηματίζεται, οἷον Αἰακίδης (ὁ Ἀχιλλεὺς) ὁ Αἰακοῦ ἀπόγονος, καὶ Δαρδανίδης (ὁ Πρίαμος) ὁ Δαρδάνου ἀπόγονος. 〈Stephani.〉 —Πατρωνυμικόν ἐστιν ὃ γεγονὸς ἀπὸ κυρίου εἰς τὴν γενικὴν τοῦ πρωτοτύπου ἀναλύεται μετὰ τοῦ υἱός ἢ ἔγγονος. Προέταξε δὲ τὸ πατρωνυμικόν, ὅτι πάντως ἀπὸ κυρίων γίνεται· διὰ τοῦτο ἁμαρτάνει ὁ Τρύφων τὸ Τελαμωνιάδης ἀπὸ τοῦ Τελαμώνιος λέγων· ἐπλάνησε δὲ αὐτὸν ἴσως τὸ Λαερτιάδης παρὰ τὸ Λαέρτιος γεγονός, ὅπερ ἐστὶ κυρίου δύναμιν ἔχον παρὰ τοῖς τραγικοῖς. Χρειώδης δὲ τοῦ τύπου τούτου ἐστὶν ἡ συντομία· ἀντὶ γὰρ τοῦ εἰπεῖν Πηλέως υἱός, Αἰακοῦ υἱὸς ἢ ἔγγονος, φημὶ Πηλείδης Αἰακίδης· ὅθεν οὐδὲ προστίθεται τὸ υἱός ἤ τι τοιοῦτον· τὸ γὰρ 〈Λ 490〉 Πριαμίδην νόθον υἱόν ποιητικῶς πλεονάζει, ἢ διὰ τὸ νόθον 〈τὸ υἱόν〉 προσέρριπται· 〈τοῖσ〉 μέντοι κτητικοῖς πάντως ἐπάγεταί 〈τι〉, πολλὰ γὰρ τὰ κτήματα.

221 Τύποι δὲ τῶν πατρωνυμικῶν ἀρσενικῶν μὲν τρεῖ ς , ὁ εἰς δη ς , ὁ εἰς ω ν , ὁ εἰς αδιο ς , οἷον Ἀτρείδης Ἀτρείων [ Ἀτρειάδιο ς] , καὶ ὁ τῶν Αἰολέων ἴδιος τύπος Ὑρράδιος · Ὕρρα γὰρ παῖς ὁ Πιττακό ς.] Ὁ εἰς ων παρ’ Ἴωσιν, ὁ δὲ εἰς αδιος παρ’ Αἰολεῦσιν, οἷον Τινάδιος ὁ 〈τοῦ〉 Τίνα παῖς καὶ Ὑρράδιος ὁ τοῦ Ὕρρα παῖς. Οὐκ ἀρκεῖ δὲ πρὸς διάγνωσιν πατρωνυμικῶν ὁ τύπος μόνος· χρεία γὰρ καὶ παραληγούσης. Ἔχει οὖν παραλήξεις τέσσαρας· ἢ γὰρ τῷ ι παραλήγεται, ἢ τῇ οι διφθόγγῳ, ἢ τῇ ει , ἢ τῷ α , οἷον Κρονίδης Πανθοίδης Πηλείδης Τελαμωνιάδης· ἰστέον δὲ ὅτι τὸ ι καὶ τὸ α μόνα ἐστὶ τὰ παραλήγοντα τούτων κυρίως, αἱ γὰρ δίφθογγοι πάλιν διὰ τοῦ ι ἐκφέρονται. Ὅσα μὲν οὖν ἢ ἐνδεῖ ἢ 〈δύο συλλαβαῖσ〉 πλεονάζει τῆς τοῦ πρωτοτύπου γενικῆς, ταῦτα λέγομεν πεπονθότα· εὐθὺς οὖν 〈ἀπὸ τοῦ Τελαμών〉 Τελαμῶνος τὸ ἀνάλογον ἦν Τελαμωνίδης, εἰ δὲ ἐπλεόνασε τὸ α , 〈οἷον Τελαμωνιάδης,〉 πέπονθεν· καὶ πάλιν 〈ἀπὸ τοῦ〉 Δευκαλίων Δευκαλίωνος τὸ ἀνάλογον ἦν Δευκαλιωνίδης, εἰ δὲ εὑρίσκομεν Δευκαλίδης, δῆλον ὅτι πέπονθεν. Εἰ δὲ παρὰ τὸ πατρός πατρωνυμικὰ λέγεται, δῆλον ὅτι καὶ παρὰ τὸ μητρός μητρωνυμικά· ἀλλὰ τὸ τοῦ ἄρρενος 〈προ〉 τετίμηται, καὶ πατρωνυμικὸν λέγεται, κἄν τε ἀπὸ πατρὸς ᾖ κἄν τε ἀπὸ μητρός· ὃν γὰρ τρόπον ἀνδριάντα φαμέν, κἂν γυναικὸς ᾖ, τοῦτον τὸν τρόπον καὶ πατρωνυμικόν, κἂν ἀπὸ μητρὸς ᾖ. Πᾶσα γενικὴ εἰς ος ἢ εἰς ους εἰς ιδης ποιεῖ τὸ πατρωνυμικόν, ἀμοιβῇ τοῦ τέλους, οἷον Μεμνονίδης Πελοπίδης Αἰαντίδης—τὸ γὰρ Αἰαντιάδης πλεονάζει—Δημοσθένους Δημοσθενίδης, Ἡρακλέους Ἡρακλεΐδης καὶ Ἡρακλείδης· τὰ εἰς ος εἰς ου καθαρὰ καὶ τὰ εἰς ας εἰς ου κλινόμενα διὰ τοῦ αδης ποιεῖ τὸ πατρωνυμικόν, Ἥλιος Ἡλιάδης, Δεξιός Δεξιάδης, Βορέας Βορεάδης, καὶ τὰ 〈εἰς ης 〉 εἰς ου κλινόμενα, Ἱππότης Ἱπποτάδης,

Δότης Δοτάδης· καὶ τὰ εἰς ος ⟨εἰς ου κλινόμενα⟩ μὴ καθαρὰ ⟨διὰ τοῦ ιδης ποιεῖ τὸ πατρωνυμικόν⟩ , Ὅμηρος Ὁμηρίδης, Πριαμίδης Ταντάλίδης. Πᾶν πατρωνυμικὸν εἰς δης τοῦ πρωτοτύπου τῆς γενικῆς μιᾷ περιττεύει συλλαβῇ, Ταντάλίδης Πελοπίδης· ἐὰν δὲ ἰσοσυλλαβῇ, δίφθογγον ἔχει καὶ κατὰ συναίρεσιν γέγονεν, οἷον Πηλείδης Μινῴδης Ἡρῴδης. Τὰ δὲ εἰς δης ἀμοιβῇ τοῦ τέλους ποιεῖ τὰ πατρωνυμικὰ εἰς ων , Κρονίδης Κρονίων, Πηλείδης Πηλείων· τὸ δὲ Ὑπεριονίδης Ὑπεριονίων, τὸ ἄρα Ὑπερίων οὐ πατρωνυμικόν· οὗτος δὲ ⟨ὁ⟩ εἰς ων τύπος Ἰωνικός. Τὰ δὲ διὰ τοῦ αδιος Αἰολικά, χρειώδης δὲ Αἰολεῦσιν ὁ τύπος καὶ πρὸς χρόνον καὶ πρὸς τόνον· τὰ γὰρ διὰ τοῦ αδιος πρὸς τῷ συστέλλεσθαι καὶ ⟨προ⟩ παροξύνεται.

222 Θηλυκῶν δὲ τύποι εἰσὶ τρεῖ ς , ὁ εἰς ι ς , οἷον Πριαμί ς , ὁ εἰς α ς , οἷον Πελιά ς , ὁ εἰς ν η , οἷον Ἀδρηστίν η.] Τὰ εἰς δης ἀποβάλλοντα τὸ δη ποιεῖ θηλυκόν, Ταντάλίδης Ταντάλίς, Πελιάδης Πελιάς, Αἰνειάδης Αἰνειάς· καὶ ἔδει ἐπιγράφειν Αἰνειάδος, οὐκ Αἰνεΐδος· καὶ τὸ μὲν Χρυσηΐς καὶ Νηρηΐς ἀπὸ τοῦ Χρύσης ⟨καὶ⟩ Νηρεύς, Βασιλεύς Βασιληΐς καὶ ἐνδείᾳ τοῦ η Βασιλίς· τὸ δὲ Εὐξαντιάς ἀπὸ τοῦ Εὐξάντιος, τὸ δὲ Εὐξαντίδος παρὰ Καλλιμάχῳ (fragm. 504 Sch) ὕφεσιν ἔχει τοῦα · τὸ ⟨δὲ⟩ Ἑλικωνιάς πλεονάζει. Οὕτως ἀπὸ τῶν εἰς δης ἀρσενικῶν σχηματίζουσι τὰ θηλυκὰ πατρωνυμικὰ οἱ περὶ τὸν Ἀπολλώνιο ν . Ἡρωδιανῷ δὲ τοῦτο οὐ δοκεῖ, φάσκοντι μὴ δύνασθαι τοιοῦτον παρασχηματισμὸν εἶναι διὰ τὴν κατάληξιν, διὰ τὸν χρόνον, διὰ τὴν γένεσιν· τὰ γὰρ παρεσχηματισμένα ἀρσενικοῖς ἀπὸ τῆς γενικῆς κανονίζεται, ἐκ μὲν ⟨γὰρ⟩ μακροκαταλήκτου γίνεται μακροκατάληκτον, οἷον φίλου φίλη, ἐκ δὲ βραχυκαταλήκτου ὁμοίως ⟨βραχυκατάληκτον⟩ , οἷον μέλανος μέλαινα· εἰ οὖν ⟨ἐκ τοῦ⟩ Πριαμίδου, πῶς μὴ εἰς η τὸ θηλυκόν; οὐ γὰρ καθαρὸν ἢ τὸ ρ ἔχει, ὡς τὸ Ῥοδία φοβερά· πῶς καὶ εἰς ις καὶ βραχύ; πῶς δὲ καὶ τὸ νοητὸν ἕξει; Πριαμίς γὰρ οὐχ ἡ τοῦ Πριαμίδου, ἀλλ' ἡ τοῦ Πριάμου. Οὐκοῦν ἀπὸ τῆς γενικῆς τοῦ πρωτοτύπου καὶ τὸ Πριαμίδης καὶ τὸ Πριαμίς ⟨καὶ τὸ Θησείδησ⟩ καὶ τὸ Θησηΐς (ἡ Θησέως θυγάτηρ). Ἰστέον δὲ ὅτι ἀπὸ οὐδετέρων οὐ γίνονται πατρωνυμικά, ἐπειδὴ τὰ πατρωνυμικὰ ἀπὸ κυρίων παράγονται, οἷον Ἀτρεύς Ἀτρείδης, Λητώ Λητοΐδης, κύρια δὲ οὐδέτερα ἐπὶ ἐμψύχων οὐκ εἰσίν· πρόσκειται δὲ «ἐπὶ ἐμψύχων» διὰ τὰ ἐπὶ πόλεων, οἷον τὸ Ἴλιον, τὸ Δάρδανον. Διὰ τί δὲ τὰ πατρωνυμικὰ ἀπὸ κυρίων παράγονται μόνων καὶ οὐχὶ καὶ ἀπὸ προσηγορικῶν; Καί φαμεν, ἐπειδὴ τὰ προσηγορικὰ κοινὴν οὐσίαν σημαίνουσι καὶ κατὰ πολλῶν τίθενται, οἷον τὸ ἄνθρωπος προσηγορικὸν ὂν ἁρμόζει καὶ Πλάτωνι καὶ Ἀλκιβιάδῃ καὶ Σωκράτει· εἰ ἐγένοντο οὖν ἀπὸ προσηγορικῶν πατρωνυμικά, ἤμελλον κατὰ πολλῶν λαμβάνεσθαι, ὅπερ ἀδύνατον· οἷον εἰ ἐγένετο ἀπὸ τοῦ ἄνθρωπος ἀνθρωπίδης, ἤμελλε σημαίνειν τὸν υἱὸν τῶν ἀνθρώπων· ἄτοπον δὲ τὸ ἕνα πολλῶν ἀνθρώπων εἶναι υἱόν, τοῦτο γὰρ ἡ φύσις ἀλλότριον ἐκληρώσατο.

223 Ἀπὸ δὲ μητέρων οὐ σχηματίζει πατρωνυμικὸν εἶδος ὁ Ὅμηρο ς , ἀλ λ ' οἱ νεώτερο ι.] Μόνος ὁ ποιητὴς οὐκ ἐχρήσατο ἀπὸ μητέρων τοῖς πατρωνυμικοῖς· ἄτοπον γὰρ ἡγήσατο, τὰς τῶν ἡρώων πράξεις ἐξηγούμενος ἀπὸ μητέρων παράγειν· οἱ δὲ νεώτεροι ποιηταὶ καὶ τούτοις ἐχρήσαντο. Κτητικὸν δέ ἐστι τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκό ς , ἐμπεριειλημμένου τοῦ κτήτορο ς , οἷον ⟨Λ 597⟩ Νηλήϊοι ἵππο ι, ⟨cfr B 416⟩ Ἑκτόρεος χιτώ ν , Πλατωνικὸν βιβλίο ν.] Κτητικόν ἐστιν ὃ γεγονὸς ἐκ γενικῆς ὀνόματος εἰς αὐτὴν ἀναλύεται μετά τινος τῶν ὑπὸ τὴν κτῆσιν πεπτωκότων. Λέγουσι δέ τινες ὅτι, εἰ τὸ πατρωνυμικὸν καὶ τὸ κτητικὸν γενικῇ συντάσσεται καὶ ὁμόσημά εἰσι—Πηλείδης γὰρ καὶ Πηλήϊος ὁ τοῦ Πηλέως—, περιττὸν τὸ γράψαι περὶ κτητικοῦ. Πρὸς οὕς φαμεν ὅτι, εἰ καὶ μίαν ἔχουσι γένεσιν, τὴν γενικήν, ἀλλ' οὐχ ἑνός ⟨εἰσιν⟩ εἴδους, ἀλλὰ τὸ μὲν ἀπὸ μόνου κυρίου, τὸ δὲ καὶ ἀπὸ προσηγορικοῦ, οἷον Ἀρίσταρχος Ἀριστάρχειος, ἄνθρωπος ⟨ἀνθρώπειοσ⟩ . Ἄλλως τε δὲ οὐδὲ ὁμόσημά ⟨εἰσι⟩ · τὸ γὰρ πατρωνυμικὸν οὐ δεῖται τοῦ ὑπακουομένου, εἰ μὴ σκάζει περὶ τὸ γένος, οἷον ⟨Λ 490⟩ Πριαμίδην νόθον υἱό ν, καὶ νοούμενον ἔχει μόνον τὸ υἱός ἢ ἔγγονος· τὸ δὲ κτητικὸν δεῖται, καὶ οὐχ ἑνὸς μόνον ἢ δύο,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ καὶ πλειόνων· ἰδοὺ γοῦν Τελαμώνιον εἰπὼν υἱόν ὁ ποιητὴς 〈ex. gr. Λ 563〉 ἐδήλωσε τὸ κτῆμα διὰ τῆς ἐπαγωγῆς. Εἰ δέ τις εἴποι, εἴ ποτε ἀνάγκη τῷ Νεστόρειος ἐπάγειν τὸ οἶκος καὶ ἕτερα κτήματα, τί μὴ λέγομεν Νέστορος οἶκος; Ἀλλ' ἔστιν ὅτε τὰ κτητικὰ καὶ ἕνα καὶ πλείονας ὑποφαίνουσι κτήτορας, οἷον βασίλειος αὐλὴ ἡ τοῦ βασιλέως καὶ βασιλέων, Πυθαγόρεια δόγματα τὰ Πυθαγόρου καὶ τῶν ἀκολουθησάντων αὐτοῦ τῇ δόξῃ, ὕειαι τρίχες αἱ τοῦ ἑνὸς 〈ὑὸσ〉 καὶ πολλῶν. Τινὲς δέ φασι τεθνεώτων τῶν κτητόρων 〈μὴ〉 λέγεσθαι τὰ κτητικά. Τί οὖν 〈ex. gr. Ν 76〉 Τελαμώνιος Αἴας καὶ 〈η 324〉 Γαιήϊον υἱό ν ; Εἴδη δὲ τοῦ κτητικοῦ ταῦτα, οἰκειωτικόν, μετουσιαστικόν, συνεκφαντικόν· οἰκειωτικὸν μέν, 〈οἷον〉 Ὀλύμπιος θαλάσσιος, μετουσιαστικὸν δέ, οἷον ἀργύρεος χρύσεος, συνεκφαντικὸν δέ, οἷον γραμματικός γεωμετρικός. Τύποι δὲ τῶν κτητικῶν δύο· ἢ γὰρ εἰς ος καθαρὸν λήγει, οἷον λάγειος Ἀρήϊος πατρώϊος, ἢ εἰς κος , οἷον Ὁμηρικός Βοιωτικός. Φασὶ δέ τινες ὡς οὐ δεῖ λέγειν Πλατωνικὸν βιβλίον, ἀλλὰ Πλατώνειον· Πλατωνικὸν γὰρ βιβλίον λέγεται τὸ περιέχον περὶ Πλάτωνος, ὥσπερ καὶ Φιλιππικοὶ λόγοι λέγονται οἱ περὶ Φιλίππου 〈περι〉 ἔχοντες, καὶ Τυρσηνικαὶ ἱστορίαι αἱ περὶ Τυρσηνῶν περιέχουσαι· ἁμαρτάνουσιν οὖν οἱ λέγοντες Ὁμηρικὸν 〈ποίημα〉, Ὁμήρειον γὰρ δεῖ λέγειν· οὐ γὰρ περιέχει περὶ Ὁμήρου, ἀλλ' Ὁμήρου ἐστὶ τὸ ποίημα.

224 Ἰστέον δὲ καὶ τοῦτο, ὅτι οὐ δεῖ λέγειν 〈Λ 597〉 Νέστορα δ ' ἐκ πολέμοιο φέρον Νηλήϊαι ἵππο ι, ἀλλὰ Νέστορα δ' ἐκ πολέμοιο φέρον Νηλήϊον ἵπποι, τουτέστι Νέστορα τὸν Νηλήϊον, οὐ μὴν αἱ ἵπποι Νηλήϊαι· καὶ γὰρ οὐκ ἐδύναντο τοῦ Νηλέως εἶναι αἱ ἵπποι, ἐπειδὴ περαιτέρω, ὥς φασι, τῶν τριάκοντα ἐτῶν οὐ δύναται ζῆσαι ἵππος, ὁ δὲ Νέστωρ τῆς τρίτης γενεᾶς ἦν καὶ ἦν παρελθὼν τὸ ἑξηκοστὸν ἔτος· πῶς οὖν ἕως τότε ἠδύναντο εἶναι; Εἰς τὸ αὐτ ό. —Τὰ πατρωνυμικὰ ἀπὸ μόνων κυρίων παράγονται, οἷον Ἀτρεύς Ἀτρείδης· τὸ γὰρ Ἡρῴδης ἀπὸ τοῦ ἥρως προσηγορικοῦ ὂν οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι τῇ σημασίᾳ πατρωνυμικόν, ἀλλὰ τύπου πατρωνυμικοῦ ἐστιν. 〈Stephani.〉 —Ἀναγκαῖον δὲ εἰδέαι, τί διαφέρουσι τὰ κτητικὰ ὀνόματα τῶν κτητικῶν ἀντωνυμιῶν. 〈Καὶ ἔστιν εἰπεῖν, ὅτι ἐπὶ μὲν τῶν ἀντωνυμιῶν〉 δῆλος ἀεί ἐστιν ὁ τῶν κτητόρων ἀριθμός· ἐὰν 〈γὰρ〉 εἴπω ἐμός, οἶδα ὅτι ἕνα κτήτορα ἐδήλωσα· ἐὰν δὲ εἴπω νωΐτερος, οἶδα ὅτι δύο κτήτορας ἐδήλωσα· ἐὰν δὲ εἴπω ἡμέτερος, οἶδα ὅτι πολλοὺς κτήτορας ἐδήλωσα. Ἐπὶ δὲ τῶν ὀνομάτων οὐ πάντως δῆλός ἐστιν ὁ ἀριθμός· ἐπὶ μὲν γὰρ τῶν 〈ἀπὸ〉 κυρίων δῆλος ὁ ἀριθμός· ἐὰν γὰρ εἴπω Ἀριστάρχειος 〈δοῦλοσ〉, οἶδα ὅτι τοῦ Ἀριστάρχου δοῦλός ἐστιν· ἐπὶ δὲ τῶν 〈ἀπὸ〉 προσηγορικῶν οὐ δῆλος· ἐὰν γὰρ εἴπω ἀνθρώπειος πούς, ἄδηλον εἴτε ὁ τοῦ ἀνθρώπου πούς ἐστιν εἴτε ὁ τῶν ἀνθρώπων. Καὶ ἄλλως 〈δὲ〉 ἐπὶ 〈μὲν〉 τῶν ἀντωνυμιῶν οὐ μόνον τὰ ὑπὸ τὴν κτῆσιν πεπτωκότα συντάσσομεν, οἷον ἐμὸς δοῦλος, ἐμὸς ἀγρός, ἀλλὰ καὶ τὰ μὴ οὕτως ἔχοντα, 〈οἷον〉 ἐμὸς ἀδελφός, ἐμὸς πατήρ· ταῦτα δὲ οὐχ ὑποπεπτώκασιν· ἐπὶ μὲν γὰρ τοῦ ἀδελφοῦ ἰσότης ἐστίν, ἐπὶ δὲ τοῦ πατρὸς ὑπεροχή. Τοῖς δὲ κτητικοῖς ὀνόμασι μόνα τὰ ὑπὸ τὴν κτῆσιν πεπτωκότα συντάσσομεν, οἷον Νεστόρειος χιτών, Ἀριστάρχειος ἀγρός· 〈οὐκέτι μέντοι ἐπὶ τῶν ἴσων ἢ τῶν ὑπερεχόντων τοῦτο ποιοῦμεν· οὐ γάρ φαμεν Αἰάντειος ἐχθρός ἢ Ἀριστάρχειος ἀδελφός ἢ Νεστόρειος πατήρ,〉 ἐπειδὴ ταῦτα οὐχ ὑποπεπτώκασιν.

225 Ἰστέον δὲ ὅτι ἐν τοῖς δύο μόνοις μέρεσι 〈τοῦ〉 λόγου θεωρεῖται τὰ κτητικά, ἔν τε ὀνόμασι καὶ ἀντωνυμίαις, οἷον Ἀριστάρχου Ἀριστάρχειος, ἐμοῦ ἐμός. Συγκριτικὸν δέ ἐστι τὸ τὴν σύγκρισιν ἔχον ἑνὸς πρὸς ἕνα ὁμοιογεν ῆ , ὡς Ἀχιλλεὺς ἀνδρειότερος Αἴαντο ς , ἢ ἑνὸς πρὸς πολλοὺς ἑτερογενεῖ ς , ὡς Ἀχιλλεὺς ἀνδρειότερος τῶν Τρώω ν.] Τὰ συγκριτικὰ οὐκ ἐν κυρίοις γίνεται 〈οὐδὲ ἐν προσηγορικοῖσ〉, εἰ μὴ ἐν τοῖς προσηγορικοῖς προσώποις μετειληφόσι τοῦ αὐτοῦ πράγματος· εἰ δέ ποτε εὕροις ἐν ὀνόμασι κυρίοις ἢ ἐν ἀντωνυμίαις τὸ τοιοῦτο, παραγωγὴν μόνον λέγε καὶ μὴ σύγκρισιν, ὥσπερ ἔστι καὶ παρὰ Ἀριστοφάνει 〈Plut. 83〉 τὸ αὐτότατος καὶ παρὰ Μενάνδρῳ 〈fr. 986 K〉 τὸ αὐταιτιώτατο ς. Ὁ τεχνικὸς δὲ εἶπε τὴν σύγκρισιν λέγεσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈ἑνὸσ〉 πρὸς ἕνα ὁμόφυλον ἢ ἑνὸς πρὸς ἅπαντας ἑτεροφύλους· ἀλλόφυλοι γὰρ ἦσαν οἱ Τρῶες τῷ Ἀχιλλεῖ, πολλοὶ δ' οἱ Τρῶες πρὸς ἕνα Ἕλληνα. Φαμὲν ὅτι φιλέλλην ὢν ὁ ποιητὴς προσεχαρίσατο, βουλόμενος σεμνῦναι τὸ πᾶν γένος τῶν Ἑλλήνων. Οὐκ ἔστι δὲ εἰκῇ ποιεῖσθαι τὴν σύγκρισιν· οὔτε γὰρ ζωγράφου καὶ τέκτονος σύγκρισις γίνεται, ἀλλὰ δύο τινῶν ἢ καὶ πλειόνων τοῦ αὐτοῦ ἐπιτηδεύματος μετεχόντων. Τῶν δὲ συγκριτικῶν τύποι εἰσὶ τρεῖ ς , ὁ εἰς τερο ς , οἷον ὀξύτερο ς , καὶ ὁ εἰς ιων καθαρό ς , οἷον βελτίων καλλίω ν· ἀπὸ τοῦ κάλλος γίνεται καλλίων, καὶ κυρίως ὁ εὔμορφος 〈καλόσ〉 · καὶ ὁ εἰς ω ν , οἷον κρείσσων ἥσσω ν . Ἴδιόν ἐστι τῶν συγκριτικῶν τὸ ἀναλύεσθαι εἰς εὐθεῖαν καὶ τὸ μᾶλλον· τίς γάρ ἐστιν ὀξύτερος; ὁ μᾶλλον ὀξύς· βραδύτερος; ὁ μᾶλλον βραδύς. Ὑπερθετικὸν δέ ἐστι τὸ κα τ ' ἐπίτασιν ἑνὸς πρὸς πολλοὺς παραλαμβανόμενον ἐν συγκρίσε ι . Τύποι δὲ αὐτοῦ εἰσι δύ ο , ὁ εἰς τατο ς , οἷον ὀξύτατος βραδύτατο ς , καὶ ὁ εἰς το ς , οἷον ἄριστος μέγιστο ς.] Ὑπερθετικὸν δέ ἐστι τὸ ὑπὲρ πάντας ἔχον τὴν ὑπέρθεσιν ἐν ὁμοιογενέσιν, οἷον «ἀνδρειότατος ὁ Ἀχιλλεὺς πάντων τῶν Ἑλλήνων, σοφώτατος 〈ὁ〉 Ὀδυσσεὺς πάντων τῶν ἀνθρώπων»· ἐπαγγέλλεται γὰρ 〈καὶ〉 τὸ ὑπερθετικὸν σύγκρισιν, ἀλλὰ μείζονα, τὸ γὰρ ὑπερβάλλον τῆς συγκρίσεως ἐμφαίνει· ἐπὶ μὲν γὰρ τοῦ συγκριτικοῦ ἡ σύγκρισις μετριωτέρα ἑνὸς πρὸς πλειόνων, οὐ μὴν πάντων· τὸ δὲ ὑπερθετικὸν ὑπερέχον τῆς συγκρίσεως· τὸ γὰρ ἀνδρειότερος ἢ 〈ἑνὸς ἢ〉 πέντε ἢ δέκα, τὸ δὲ ἀνδρειότατος οὐ μέχρι ἀριθμοῦ ὡρισμένου διατείνει, ἀλλὰ καθόλου πάντων ὁμοῦ ἀνθρώπων [καὶ] τῶν τὸ αὐτὸ ἐπιτηδευόντων. Ἡ φωνὴ δὲ τοῦ συγκριτικοῦ τὸ μᾶλλον ἔχει· τί〈σ〉 γάρ ἐστι σοφώτερος; ὁ μᾶλλον σοφός· τί〈σ〉 δέ ἐστι σοφώτατος; ὁ ἄγαν σοφός· ἔχει οὖν ἡ φωνὴ τοῦ ὑπερθετικοῦ τὸ ἄγαν.

226 Ἐντεῦθεν οὐδὲ τὰ ὀνόματα τὰ ἐπιδεχόμενα ἐπίτασιν εἰς σύγκρισιν ὑπέρχεται, οἷόν ἐστι τὸ ἐρίτιμος καὶ περικλυτός καὶ ζάθεος καὶ ζάπλουτος. Τύποι δὲ αὐτοῦ εἰσι δύ ο , ὁ εἰς τατος καὶ ὁ εἰς το ς .] Τὸ ὑπερθετικὸν διαφέρει τοῦ συγκριτικοῦ, ὅτι ἐκεῖνο μὲν ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τοῦτο δέ ἐστιν ἀνεπίτατον, καὶ ὅτι ἐκεῖνο μὲν ἔχει τρεῖς τύπους, τοῦτο δὲ δύο· ἔχει γὰρ τὰ ὑπερθετικὰ καταλήξεις δύο, αἵτινες τὴν γένεσιν ἔσχον 〈ἀπὸ〉 τῶν συγκριτικῶν· ὁ γὰρ εἰς τερος ποιεῖ τὸν εἰς τατος , ὁ 〈δὲ〉 εἰς ων 〈καθαρὸσ〉 τὸν εἰς τος , οἷον τάχιστος ἀπὸ τοῦ ταχίων, καὶ βραχύτατος ἀπὸ τοῦ βραχύτερος· ἀπὸ γὰρ τοῦ εἰς σων οὐκέτι γίνεται. Ὑποκοριστικὸν δέ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦ ν , οἷον ἀνθρωπίσκος λίθαξ μειρακύλλιο ν.] — Στεφάνο υ. —Ὁ ὑποκορισμὸς ὄνομά ἐστι μικρότητος ἐμφαντικόν, 〈κόροισ〉 καὶ κόραις ἐοικός. Λαμβάνεται δὲ ἕνεκεν τοῦ πρέποντος, ὡς παρ' Ἀλκμᾶνι· κόραι γὰρ αἱ λέγουσαι· ἢ τοῦ χρειώδους, 〈ὡς τὸ〉 «ἱππάριόν μοι χάρισαι»· μειῶ γὰρ τὸ ζητούμενον, ἵνα ἑτοιμότερον πρὸς τὸ δοῦναι ποιήσω τὸν ἔχοντα· ἢ τοῦ γελοίου χάριν, ὡς τὸ Πριαμύλλιον ὁ Πρίαμος. Παρὰ δὲ τῷ ποιητῇ οὐκ ἂν εὑρεθείη ὑποκοριστικόν· ἡρωϊκὰ γὰρ τὰ παρ' αὐτῷ καὶ ἐπηρμένα. Τὸ τειχίον δὲ καὶ τὸ ἑρκίον οὐχ ὑποκοριστικά· διάφορον γὰρ τὸ δηλούμενον, τεῖχος καὶ ἕρκος ἐπὶ πόλεων, τειχίον καὶ ἑρκίον ἐπὶ ἐπαύλεων· πῶς δὲ μείωσις, ὅπου τὸ μέγα; 〈π 165〉 πα ρ ' ἐκ μέγα τειχίον αὐλῆ ς· οὕτω καὶ τὸ θηρίον, 〈κ 171〉 μάλα γὰρ μέγα θηρίον ἦε ν· καὶ τὸ μηρίον διάφορον· μηρία γὰρ τὰ ἐναγιζόμενα τοῖς θεοῖς, μηροὶ δὲ τὰ μὴ οὕτως ἔχοντα· οὐδὲ τὸ ὀγκίον, οὐ γὰρ τοῦ ὄγκος μείωσις· οὐδὲ τὸ ἴχνιον, 〈Ν 71〉 ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάω ν· καὶ 〈γὰρ〉 περὶ αὐτοῦ φησι 〈Ν 20〉 τρὶς μὲν ὀρέξα τ ' ἰώ ν , τὸ δὲ τέτρατον ἵκετο τέκμω ρ , Αἰγά ς. Μάχεται καὶ ὁ τόνος· τὰ γὰρ εἰς ιον ὑποκοριστικὰ τρισύλλαβα ἀρχόμενα ἀπὸ βραχείας 〈προπαροξύνεται, ἀπὸ δὲ μακρᾶς παρ〉οξύνεται, στόλιον πόδιον χέριον σάκιον, ὅτε δι' ἑνὸςκ · ὅτε δὲ διὰ δύο, παροξύτονον, σακκίον· κορρίον διὰ δύο ρρ παρὰ Ἀττικοῖς, κόριον δὲ δι' ἑνὸς ρ παρὰ τῷ Θεοκρίτῳ (11, 60): ἐχρῆν ἄρα ἰχνίον· ἔστι δὲ ῥηματικόν· ὥσπερ οὖν τὸ δέμω δέμνιον καὶ ἀράσ〈σ〉ω ἀράχνιον, οὕτως ἵκω ἴχνιον, ὑπερθέσει τοῦ πνεύματος.

227

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καὶ τὸ νήϊον πῶς ὑποκοριστικὸν ἐπὶ τῆς Ὀδυσσέως νεώς 〈cfr ι 498〉 , ἐφ’ ἧς ὁ ποιητὴς 〈Θ 222. Λ 5〉 τὸ μεγακητεϊ φησίν; Καὶ ἄλλως εἰς τὸ αὐτό. —Τῶν ὑποκοριστικῶν τύποι εἰσὶν 〈ἀρσενικῶν μὲν〉 ἕξ, ὧν ὁ μὲν πρῶτος εἰς ων , οἷον Βακχυλίδης Βάκχων, Λακεδαιμόνιος Λάκων· ὁ 〈δὲ〉 δεύτερος πάλιν εἰς ων παραλήγοντος τοῦ ι , οἷον μωρίων ὁ μωρός· ὁ δὲ τρίτος εἰς αξ , ὡς Ῥόδαξ ὁ Ῥόδιος καὶ πλούταξ ὁ πλούσιος· ὁ 〈δὲ〉 τέταρτος εἰς ας , ὡς Ζηνᾶς ὁ Ζηνόδωρος καὶ Μητρᾶς ὁ Μητρόδωρος· ὁ δὲ πέμπτος εἰς 〈σ〉 κος , ὡς γραμματίσκος ὁ γραμματικός καὶ πυργίσκος ὁ πύργος· ὁ 〈δὲ〉 ἕκτος εἰς λος , ὡς ναυτίλος ὁ ναύτης καὶ δριμύλος ὁ δριμύς. Ὁ δὲ Ὦρός φησιν, ὅτι καὶ ὁ εἰς υν καὶ ὁ εἰς υς καὶ ὁ εἰς ις ὑποκοριστικά εἰσιν, 〈εἰς υν 〉 μέν, οἷον 〈μόσυν〉 , εἰς υς δὲ Καμμῦς Κλαυσῦς Λαρδῦς ἀπφῦς Διονῦς, εἰς ις δὲ ὁ κομβῖς τοῦ κομβῖ. Τῶν δὲ θηλυκῶν τύποι τρεῖς, ὁ εἰς ω , οἷον Ὑψώ Ὑψιπύλη, Εἰδώ Εἰδοθέα καὶ Ἀφρώ ἡ Ἀφροδίτη, καὶ ὁ εἰς ις , οἷον λυρίς ἡ λύρα καὶ θεραπαινίς ἡ θεράπαινα, καὶ ὁ εἰς 〈σ〉 κη, οἷον λεκανίσκη ἡ λεκάνη καὶ παιδίσκη ἡ παῖς. Τῶν δὲ οὐδετέρων μία μέν ἐστιν ἡ εἰς ον κατάληξις, ἔχει δὲ παραλήξεις ἕξ· ἢ 〈γὰρ〉 τῇ νι συλλαβῇ παραλήγεται, ὡς κανόνιον ὀψώνιον χελιδόνιον τρυγόνιον· ἢ τῇ δι , ὡς παιδίον αὐλίδιον· ἢ τῇ ρι , ὡς ξυλάριον νηττάριον δελτάριον· ἢ τῇ δρι , ὡς μελύδριον λεξίδριον πολίδριον· ἢ τῇ λι , ὡς μειρακύλλιον· ἢ τῇ φι , ὡς χρυσάφιον ζωΰφιον δενδρύφιον. Τὸ ὑποκοριστικὸν ἐλάττωσίν τινα σημαίνει· εἴρηται δὲ παρὰ τοὺς κόρους, τουτέστι τοὺς μικροὺς νέους, ἢ τὰς κόρας· τούτους γὰρ πολλάκις ἢ ταύτας ὑποθωπεύοντες τοιούτοις κεχρήμεθα ὀνόμασιν, ὡς παρὰ Μενάνδρῳ 〈fr. 1041 K〉 νηττάριον, ἢ 〈ὅταν〉 τὸν Πρίαμον Πριαμύλλιον εἴπωμεν καὶ τὸ μικρὸν παιδίον παιδάριον. Τύπους δὲ ἔχει ἡ φωνὴ τῶν ὑποκοριστικῶν διαφόρους· γίνονται δὲ ἀπὸ τῶν εἰς κος κτητικῶν κατὰ πλεονασμὸν τοῦ ς , πυργίσκος ὁ μικρὸς πύργος, καὶ ἰατρικός προσθέσει τοῦ ς ἰατρίσκος.

228 〈Stephani.〉 — Παρώνυμον δέ ἐστι τὸ πα ρ ’ ὄνομα ποιηθέ ν , οἷον Θέων Τρύφω ν.] Ἕκαστον τῶν 〈ἄλλων〉 εἰδῶν μίαν ἔχει σημασίαν, ἐξ ἧς καὶ ὀνομάζεται, τὸ πατρωνυμικὸν ὡς δηλοῦν πατέρα, τὸ κτητικὸν κτῆσιν, τὸ συγκριτικὸν σύγκρισιν, τὸ ὑπερθετικὸν ὑπέρθεσιν, τὸ ὑποκοριστικὸν ὑποκορισμόν· τὸ παρώνυμον δὲ πολλὰ ἐδήλου, περιεκτικά, ἄμπελος ἀμπελών, ἐθνικά, 〈Ἀκράγασ〉 Ἀκραγαντῖνος, μετουσιαστικά, 〈δέρμα〉 δερμάτινος, κύρια, 〈κράτοσ〉 Κρατῖνος, κατὰ τοῦ αὐτοῦ, ἐργάτης ἐργατίνης· ἐπεὶ οὖν οὐκ ἠδύνατο ἐξ ἑνὸς τὴν ὀνομασίαν ἔχειν, ἐκ τοῦ παρεπομένου πᾶσιν ἐκλήθη, τοῦ παρωνύμου, οἷόν τι καὶ ἐπὶ τῆς ὑποτακτικῆς ἐγκλίσεως γέγονεν. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Ζητῆσαι ἄξιον, τίνος ἕνεκα τὴν κοινὴν ὀνομασίαν ἰδίαν τοῦτο ἐποιήσατο· τὰ γὰρ πάντα παρώνυμά ἐστιν. Λέγομεν ὅτι τὰ μὲν ἄλλα πάντα, εἰ καὶ παρώνυμά ἐστιν, ἀλλ’ οὖν γε ἔχει ἕκαστον ᾧ διαστέλλεται ἀπὸ τοῦ ἑτέρου, τοῦτο δὲ μόνον αὐτὸ τὸ τῆς παραγωγῆς κέκτηται, καὶ οὐδὲν ἄλλο ᾧ διασταλῇ· καὶ γὰρ τὸ πατρωνυμικὸν παρώνυμόν ἐστι, καθὸ παρήχθη ἀπὸ τοῦ πρωτοτύπου, ἀλλὰ πρὸς τῷ εἶναι αὐτὸ παρώνυμον καὶ ἔχειν τὴν γένεσιν ἀπὸ ὀνόματος τὸ διαστέλλον ἔχει, παῖδα ἢ πρόγονον 〈δηλοῦν〉 , καὶ τὰ ἄλλα πάνθ’ οὕτως· τοῦτο δὲ αὐτὸ μόνον τὸ τῆς παραγωγῆς ὁμολογεῖ, ὅτι ἀπὸ ὀνόματος ὄνομα παρηνέχθη, ὡς ἀπὸ τοῦ θεός 〈Θέων〉 καὶ ἀπὸ τοῦ τρυφή 〈Τρύφων〉 καὶ ἀπὸ τοῦ Ἡρακλῆς Ἡρακλέων. 〈Stephani.〉 — Ῥηματικόν ἐστιν ὄνομα ὃ γεγονὸς ἀπὸ ῥήματος ἐνέργειαν ἢ πάθος δηλο ῖ , οἷον πεποίηται ποιητής ὁ ποιῶν τ ι , πεποίημαι ποίημα τὸ ποιηθέν · πᾶν δὲ ῥηματικὸν ὄνομα διὰ τοῦ μ λεγόμενον οἰκειοῦται τῷ πρώτῳ προσώπῳ παθητικῷ κατὰ τὸ σύμφωνο ν , διὰ δὲ τοῦ τ τῷ τρίτ ῳ , οἷον πέπραγμαι πρᾶγμα πολυπράγμω ν , πεποίημαι 〈ποίημα 〉 , πεποίηται ποιητή ς , πέπρακται πρακτό ς , ἤνυσται ἀνυστό ς . Εἰς τὸ αὐτὸ καὶ ἄλλω ς .

229 —Ῥηματικόν ἐστιν ὃ παρῆκται ἀπὸ [ το ῦ ] ῥήματο ς , οἷον ποιῶ ποιητή ς , γράφω γραφεύ ς . Δεῖ δὲ εἰδένα ι , ὅτι θέλει τὸ ὄνομα μέρος τι φυλάττειν τοῦ ῥήματο ς , ὥσπερ καὶ τὸ φερώνυμον Νοήμω ν , ἵνα τὴν παραλήγουσαν τοῦ μέλλοντος φυλάξῃ καὶ ἐν τῇ παραληγούσῃ τοῦ ὀνόματο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ς , καὶ τὸ Φιλήμων ὁμοίω ς . Τὰ παρὰ μετοχὴν ἢ ἀντωνυμίαν ἢ πρόθεσιν ἢ ἐπίρρημα [ καὶ τὰ ὅμοι α ] παρηγμένα ἐστὶν ἄπειρα · ταῦτα δ ʼ ὁμοίως παραγώγοις ἐτάξαμε ν . 〈Stephan i .〉 — Σχήματα ὀνομάτων εἰσὶ τρί α , ἁπλοῦ ν , σύνθετο ν , παρασύνθετο ν.] Σχῆμα εἴρηται παρὰ τὴν σχέσιν τὴν πρὸς τὸ σημαινόμενον· ἀπὸ γὰρ τοῦ σχήματος νοοῦμεν, τί ἐστιν ὃ θέλει σημαίνειν ἡ λέξις· ἢ παρὰ τὸ σχῆμα, τουτέστιν τὴν θέσιν, ὥσπερ σχῆμα ἀνδριάντος δηλοῖ αὐτὴν τὴν στάσιν καὶ τὸν τύπον. Τὸ δὲ παρασύνθετον καλεῖται, ἐπειδὴ ἀπὸ συνθέτου γίνεται, ὡς καὶ αὐτός φησιν· ἀπὸ γὰρ τοῦ Ἀγαμέμνων 〈συνθέτου〉 Ἀγαμεμνονίδης παρασύνθετον καλεῖται. Τῶν δὲ συνθέτων ὀνομάτων διαφοραί εἰσι τέσσαρες · ἃ μὲν γὰρ αὐτῶν ἐστιν ἐκ δύο τελείω ν , ὡς Χειρίσοφο ς , ἃ δὲ ἐκ δύο ἀπολειπόντω ν , ὡς Σοφοκλῆ ς , ἃ δὲ ἐξ ἀπολείποντος καὶ τελείο υ , ὡς Φιλόδημο ς , ἃ δὲ ἐκ τελείου καὶ ἀπολείποντο ς , ὡς Περικλῆ ς.] Ἐνταῦθα τεχνική τις γίνεται συζυγία· ὅταν γὰρ ὦσι δύο συζυγίαι καὶ συμπλακῶσιν ἀλλήλαις, ἀποτελοῦσιν ἡμῖν ἑτέρας δύο συζυγίας, ὥσπερ καὶ ἐν τοῖς ποσὶν ἔστιν εὑρέσθαι· [δύο] δισύλλαβοι 〈γὰρ〉 πόδες δύο, σπονδεῖος καὶ πυρρίχιος· ἀλλʼ ἐπειδὰν συμπλακῶσιν ἀλλήλοις καὶ σύγκρισιν ποιήσωνται, τίκτουσιν ἡμῖν ἄλλους δύο, τόν τε τροχαῖον καὶ τὸν ἴαμβον. Τινὲς δὲ τὰ μὲν τέλεια καλοῦσι ἄφθαρτα, τὰ δὲ ἀπολείποντα ἐφθαρμένα. Ἰστέον δὲ ὅτι πᾶσαι αἱ πτώσεις συντίθενται, οἷον χηναλώπηξ Ἑλλήσποντος 〈ἀρηΐφιλοσ〉 νουνεχής· κλητικὴ δὲ οὐκέτι, καθὸ πρὸς δεύτερόν ἐστι πρόσωπον, ἡ δὲ εὐθεῖα πρὸς τρίτον, 〈καὶ〉 τὸ δεύτερον πάρεστι, τὸ 〈δὲ〉 τρίτον ἄπεστι· τὸ οὖν παρὸν ἀπόντι πῶς ἑνωθήσεται; Τὸ γυναιμανής ἢ τροπῇ, γυνομανής γυναιμανής γυναιμανής, 〈ἢ συγκοπῇ ἐκ τοῦ γυναικομανήσ〉 · τὸ βακχέβακχος τροπὴν ἔσχε τοῦ ο εἰς ε . Ἀριθμοὶ τρεῖ ς , ἑνικό ς , δυϊκό ς , πληθυντικό ς.] Τὸν τρίτον ἀριθμὸν πληθυντικὸν ὀνομάζομεν, ἐπεὶ ὁ τρεῖς ἀριθμὸς ἀρχὴ πλήθους ἐστίν, ὡς καὶ ἐν τῇ παροιμίᾳ «τρεῖς πολλοί»· διὰ τοῦτο καὶ οἱ παλαιοὶ πολλὰ βουλόμενοι σημαίνειν τρεῖς λέγουσιν, ὡς καὶ ὁ ποιητής 〈ε 306〉 τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, ἀντὶ τοῦ πολλάκις.

230 Εἰσὶ δέ τινες ἑνικοὶ χαρακτῆρες καὶ κατὰ πολλῶν λεγόμενο ι.] Συμβαίνει πολλάκις ἑνικὸν μὲν εἶναι τὸν χαρακτῆρα τοῦ ὀνόματος, σημαίνειν δὲ πληθυντικόν, ὥσπερ ἔστιν εὑρεῖν ἐν τοῖς περιληπτικοῖς ὀνόμασιν· τὸ γὰρ χορός ὄνομά ἐστιν ἔχον χαρακτῆρα ἑνικόν— ὥσπερ γὰρ καλός, οὕτω καὶ χορός—ἀλλὰ τὸ ἐξ αὐτοῦ σημαινόμενον πληθυντικόν ἐστιν· οὐ γὰρ ἂν συσταίη χορὸς ἐξ ἑνὸς μόνου ἀνθρώπου, ἀλλʼ ἐκ πλειόνων· καὶ τὸ δῆμος δὲ τὸ ὅμοιον σημαίνει. Καὶ πληθυντικοὶ κατὰ ἑνικῶν τε καὶ δυϊκῶ ν.] Συμβαίνει πάλιν, φησίν, ἐκ τοῦ ἐναντίου, πληθυντικὸν ἔχειν χαρακτῆρα τὸ ὄνομα, σημαίνεσθαι δὲ ἐξ αὐτοῦ ἐναντίως 〈ἑνικόν〉 · Θῆβαι γὰρ τύπος πληθυντικός, ἡ δὲ πόλις μία ἐστίν. Τὰ δὲ τοιαῦτα καὶ οἱ ποιηταὶ οὕτω προφέρονται, τὰς μὲν Ἀθήνας 〈η 80〉 εὐρυάγυιαν 〈Ἀθήνην 〉 , ὅτι τῇ φωνῇ μὲν πληθυντικόν ἐστιν, τῷ δὲ σημαινομένῳ ἑνικόν· τοιοῦτο δὲ καὶ τὸ Θῆβαι, ὡς καὶ ὁ ποιητὴς εἶπε πρὸς τὸ σημαινόμενον 〈Z 416〉 Θήβην ὑψίπυλο ν. Καὶ τὸ ἀμφότεροι δὲ δυϊκὸν ὄν, ὡς αὐτὸς λέγει, πληθυντικὸν χαρακτῆρα ἔχει, σημαίνει δὲ δύο μόνους· καὶ γὰρ οὐδὲ τολμήσει τις ἐπὶ πλήθους τῇ λέξει χρήσασθαι. Πτώσεις δὲ ὀνομάτων πέντ ε , ὀρθ ή , γενικ ή , δοτικ ή , αἰτιατικ ή , κλητικ ή.] Πτώσεις λέγονται, ἐπειδὴ ἡ φωνὴ ἀπʼ ἄλλου εἰς ἄλλο μεταπίπτει· πτῶσις δέ ἐστι πτωτικῆς λέξεως μετασχηματισμὸς τῆς τελευταίας συλλαβῆς ἄλλοτε εἰς ἄλλο τρεπομένης. Λέγεται δὲ ἡ μὲν ὀρθὴ ὀνομαστικὴ καὶ εὐθεῖ α.] Εἰ ὀρθή, πῶς πτῶσις; Ὅτι πέπτωκεν ἐκ τοῦ ἀσωμάτου καὶ γενικοῦ εἰς τὸ εἰδικόν· ὀρθὴ δέ, ὅτι οὔπω ἐκινήθη εἰς πλάγιον, ἢ ὅτι ἐξ αὐτῆς τὰ καλούμενα παρὰ τοῖς Στωϊκοῖς ὀρθὰ ῥήματα, ἅ εἰσιν ἐνεργητικά, οἷον «Σωκράτης τύπτει»· πᾶς γὰρ λόγος ἔχων αὐτὴν ἐρήρεισται καὶ ὀρθός ἐστιν· πλάγιος 〈δʼ〉 οὐκέτι ποιεῖ τὸν λόγον ὀρθόν, εἰ μὴ εὐθεῖα φαίνοιτο, «Σωκράτους ἀναγινώσκοντος ἤκουσα» δηλονότι ἐγώ. Ἀλλὰ καὶ ἡ κλητικὴ συνίστησι λόγον, οἷον «ἀναγίνωσκε ἄνθρωπε»· δυνάμει οὖν 〈καὶ〉 αὕτη [ἡ] εὐθεῖα· ἀλλʼ ὀνομαστικῆς μὲν ἴδιον τὸ τρίτον πρόσωπον, ἡ δὲ κλητικὴ πρὸς δεύτερον· οὐκ ἄρα εὐθεῖα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰστέον δὲ ὡς τῶν σημαινομένων, οὐ τῶν φωνῶν εἰσιν αἱ πέντε πτώσεις, ἐπεί τοι τοῦ Ἀτρείδης πλείους τῶν πέντε ἔσονται πτώσεις· Ἀτρείδου γὰρ 〈ἡ γενική〉 καὶ Ἀτρείδεω καὶ Ἀτρείδαο καὶ Ἀτρείδα. Τῶν δὲ ὀνομάτων τὰ μὲν μονόπτωτα, τὰ δὲ δίπτωτα, τὰ δὲ τρίπτωτα, τὰ δὲ τετράπτωτα, τὰ δὲ πεντάπτωτα.

231 Τί ἐστι πεντάπτωτον; Τὸ ἔχον πέντε πτώσεις ἤγουν φωνάς, οἷον ὁ Αἴας τοῦ Αἴαντος τῷ Αἴαντι τὸν Αἴαντα ὦ Αἶαν· τοῦτο γὰρ πέντε φωνὰς ἔχει, μὴ ἔχον διπλῆν τινα φωνήν. Τετράπτωτον δὲ τὸ ἔχον φωνὰς τέσσαρας, οἷον φοῖνιξ φοίνικος φοίνικι φοίνικα ὦ φοῖνιξ· τοῦτο γὰρ τέσσαρας φωνὰς ἔχει, ἔχον τὴν αὐτὴν φωνὴν καὶ ἐπὶ τῆς εὐθείας καὶ ἐπὶ τῆς κλητικῆς. Τρίπτωτον δέ ἐστι τὸ ἔχον τρεῖς πτώσεις, οἷον τὸ βῆμα τοῦ βήματος τῷ βήματι τὸ βῆμα ὦ βῆμα. Δίπτωτον δέ ἐστι τὸ ἔχον δύο πτώσεις, οἷον τὸ χρέος τοῦ χρέους τὸ χρέος ὦ χρέος. Μονόπτωτα δέ εἰσιν ὡς τὰ ὀνόματα τῶν στοιχείων [μονόπτωτον δέ ἐστιν ὡς τὸ δώς θηλυκὸν ὄνομα, καὶ σημαίνει τὴν δόσιν] καὶ οἷον 〈ὁ〉 Ἀβραάμ τοῦ Ἀβραάμ τῷ Ἀβραάμ τὸν Ἀβραάμ ὦ Ἀβραάμ. —Τί διαφέρει τὸ μονόπτωτον τοῦ ἀκλίτου; Διαφέρει 〈ὅτι〉 τὸ μονόπτωτον ἄρθρα μόνα ἐπιδέχεται, ὡς τὸ Ἀβραάμ, ἄκλιτον δέ ἐστι τὸ μήτε ἐνδεχόμενον μήτε ὅλως κλινόμενον, οἷον τὸ οὗς, [τὸ δέπας,] τὸ δέμας. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Ἀπαριθμησάμενος τὰς πτώσεις διδάσκει ἡμᾶς πῶς ἑκάστη λέγεται. Λέγει δὲ τὴν εὐθεῖαν καὶ ὀνομαστικήν, καθὸ ὀνομάζειν τινὰ βουλόμενοι ταύτῃ κεχρήμεθα· εἰ γάρ τις ἔροιτο περί τινος, ὅτι «οὗτος πῶς λέγεται;» ἐρεῖ τῇ εὐθείᾳ χρησάμενος «Πλάτων» ἢ «Σωκράτης». Πῶς δὲ οἷόν τέ ἐστι τὴν αὐτὴν εὐθεῖαν καὶ πτῶσιν λέγεσθαι; Καί φαμεν ὅτι δυνατὸν τὴν πτῶσιν λέγεσθαι καὶ εὐθεῖαν κατά τινα λόγον· καθὸ μὲν γὰρ πέπτωκεν ἀπὸ τοῦ κοινοῦ εἰς ἰδιότητα, ὀνομάζεται πτῶσις· καθὸ δὲ πεσοῦσα ἔμεινεν ὀρθὴ καὶ ἔστιν ὥσπερ ἦν ἐν τῷ γενικῷ, καλοῖτο ἂν ὀρθή, ὡς ἂν εἴποιμεν καὶ περὶ γραφείου, ὥσπερ ἐάν τις λάβῃ γραφεῖον καὶ ἀφῇ εἰς γῆν καὶ ὀρθὸν στῇ, καθὸ μὲν πέπτωκεν 〈ἐκ〉 τῆς χειρός, δοκεῖ πεπτωκέναι, καθὸ δὲ πεσὸν ὀρθὸν ἔστη, λέγεται ὀρθόν. 〈Stephani.〉 — Ἡ δὲ γενικὴ κτητική τε καὶ πατρικ ή.] Τὴν πτῶσιν ταύτην εἶπε κτητικὴν καὶ πατρικήν, καθὼς ἔναγχος εἴρηται, ὅτι πᾶν κτητικὸν ἢ πατρωνυμικὸν ἀπὸ γενικῆς ἐστι καὶ εἰς αὐτὴν ἀναλύεται. Ἡ δὲ δοτικὴ ἐπισταλτικ ή.] Καλῶς οὕτως εἴρηται, ἐπείπερ καὶ τοῖς φίλοις ἐπιστέλλοντες ταύτῃ χρώμεθα, ὥς ποτε Κλέων ὁ στρατηγὸς τοῖς Ἀθηναίοις ἐπιστέλλων γέγραφε «Κλέων Ἀθηναίοις χαίρειν».

232 Ἡ δὲ αἰτιατικὴ κατὰ αἰτιατική ν.] Κατ' αἰτίαν φησὶν ἤτοι αἴτησιν ἢ καὶ αἰτίασιν, ἐπείπερ αἰτούμενοι λαβεῖν τι ἢ αἰτιώμενοί 〈τινα〉 ταύτην προφερόμεθα, ὡς ἂν εἴποις «αἰτοῦμαί σε δοῦναί μοι βιβλίον»· τὸ γὰρ σέ καὶ τὸ βιβλίον αἰτιατικῆς εἰσι πτώσεως· καὶ πάλιν «αἰτῶμαι Ἀρίσταρχον». Ἡ δὲ κλητικὴ προσαγορευτικ ή.] Τὴν κλητικὴν προσαγορευτικὴν εἶπεν, ἐπειδὴ προσκαλούμενοί τινα καὶ ἀσπαζόμενοι ταύτῃ πάλιν χρώμεθα, ὡς καὶ ὁ ποιητὴς λέγει 〈Κ 462〉 χαῖρ ε , θε ά , τοῖσδεσ〈σ〉 ι . Ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτ α , ἃ καὶ αὐτὰ εἴδη προσαγορεύετα ι.] Διεξελθὼν ὁ τεχνικὸς τὰ πρῶτα δύο εἴδη, ἐπεὶ ἅπαν ὄνομα ὑπὸ ταῦτα τὰ δύο εἴδη εὐθύνεται—πᾶν γὰρ ὄνομα ἢ πρωτότυπόν ἐστιν ἢ παράγωγον—καὶ τὰ τοῦ παραγώγου εἴδη ἑπτά, βούλεται διδάξαι καὶ τὰ συμβεβηκότα τῷ ὀνόματι. Κύριον μὲν οὖν ἐστι τὸ τὴν ἰδίαν οὐσίαν σημαῖνο ν , οἷον Ὅμηρος Σωκράτη ς.] Ἀπαριθμησάμενος τὰ εἴδη ἐπὶ τὴν ἑκάστου διδασκαλίαν ἔρχεται, καὶ λέγει κύριον εἶναι τὸ τὴν ἰδίαν 〈οὐσίαν〉 ἐπαγγελλόμενον, τουτέστι τὴν ἰδικὴν ἑκάστου· τῶν γὰρ οὐσιῶν αἱ μέν εἰσιν ἰδικαί, αἱ δὲ κοιναί, ὡς Σωκράτης, ἄνθρωπος. Ὃν δὲ τρόπον εἰρήκαμεν, ὅτι πᾶν ὄνομα ὑπὸ τὰ δύο εἴδη ἐστὶ τὰ πρῶτα, οὕτω καὶ ἐνταῦθα ἐροῦμεν, ὅτι πᾶν ὄνομα ὑπὸ τὰ δύο εἴδη ἐστὶ τὰ πρῶτα, φημὶ κύριον καὶ προσηγορικόν, μετὰ δὲ τοῦ εἶναι κύριον ἢ προσηγορικὸν καὶ ἑτέρῳ συμβαίνει σημαινομένῳ κατέχεσθαι, οἷον ἐπιθέτῳ καὶ ἑξῆς. Προσηγορικὸν δέ ἐστι τὸ τὴν κοινὴν οὐσίαν σημαῖνο ν , οἷον ἄνθρωπος ἵππο ς.] Τὸ προσηγορικὸν τὸ κοινὸν ἐπαγγέλλεται κοινῆς οὐσίας δηλωτικὸν καὶ ἐπὶ κοινοῦ πράγματος τιθέμενον καὶ οὐκ ἀφ' ἡμῶν ἔχον τὴν ὀνομασίαν, οἷον ἄνθρωπος ἵππος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρετή παιδεία βοῦς καὶ τὰ ὅμοια. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Ζητῆσαι ἄξιον, τί διαφέρει ἰδία οὐσία κοινῆς οὐσίας. Καὶ ἔστιν εἰπεῖν, ὅτι ἐν μὲν τῇ κοινῇ οὐσίᾳ ἅπαν τὸ εἶδος τῷ αὐτῷ ὀνόματι λέγεται· οἷον τὸ ἄνθρωπος κοινὴν οὐσίαν δηλοῖ, καὶ οὐ μόνος Σωκράτης λέγεται ἄνθρωπος, ἀλλὰ καὶ Πλάτων καὶ Ἀλκιβιάδης καὶ ἕκαστος, καὶ πάλιν τὸ ἵππος κοινὴν οὐσίαν σημαίνει, καὶ οὐχ οὗτος ὁ ἵππος λέγεται ἵππος ἢ ἐκεῖνος, ἀλλὰ πᾶν τὸ τοιοῦτον εἶδος· τὸ δὲ Σωκράτης ἰδίαν οὐσίαν δηλοῖ, καὶ οὐ πᾶς ἄνθρωπος λέγεται Σωκράτης, καὶ πάλιν τὸ Αἴας ἰδίαν οὐσίαν δηλοῖ, καὶ οὐ πᾶς ἄνθρωπος λέγεται Αἴας· εἰ δέ τις εὕροι τὸ Αἴας μὴ μόνον ἐπὶ ἑνὸς λεγόμενον, ἀλλὰ καὶ ἐπὶ ἑτέρου, μὴ οἰέσθω κοινὴν αὐτὸ οὐσίαν σημαίνειν· οὐ λέγεται γὰρ ἅπαν τὸ εἶδος οὕτως—οὐδὲ γὰρ πᾶς ἄνθρωπος λέγεται Αἴας—ἀλλ' ὁμώνυμός ἐστιν ἡ φωνή.

233 Ἐπίθετον δέ ἐστι τὸ ἐπὶ κυρίων ἢ προσηγορικῶν ὁμωνύμως τιθέμενον καὶ δηλοῦν ἔπαινον ἢ ψόγον καὶ ἑξῆ ς.] Ἐπίθετόν ἐστι τὸ δυνάμενον ἐπιτεθῆναι κυρίῳ καὶ προσηγορικῷ· ἐντεῦθεν γὰρ καὶ τρίτον τῇ τάξει τέτακται· ὥσπερ γὰρ ἐν τοῖς παραγώγοις πρῶτον μὲν τέτακται τὸ πατρωνυμικόν, καθὸ ἀπὸ κυρίων ἔχει τὴν γένεσιν, καὶ δεύτερον τὸ κτητικόν, καθότι τοῖς κυρίοις καὶ προσηγορικοῖς ὕλῃ κέχρηται, καὶ τρίτον τὸ συγκριτικὸν τὸ ἐπισυμβαῖνον κυρίῳ τε καὶ προσηγορικῷ, οὕτω καὶ ἐνταῦθα τὸ ἐπίθετον τρίτον τέταχεν ὡς ἐπισυμβαῖνον κυρίῳ καὶ προσηγορικῷ. Δεῖ δὲ ἡμᾶς εἰδέναι, ὅτι ἐκεῖνό ἐστιν ἐπίθετον τὸ παραλαμβανόμενον ψόγου ἢ ἐγκωμίου χάριν, ὡς τὸ ταχὺς ἵππος ἢ λευκὸς Αἴας. Ἔτι γε μὴν ἔστι τινὰ τῶν ἐπιθέτων, ἅτινα οἰκείως εἴληπται καὶ πολλάκις ἀντὶ τοῦ κυρίου παραλαμβάνεται· ὥσπερ γλαυκῶπιν ἐὰν εἴπω, τὸ ἐπίθετον τῆς Ἀθηνᾶς, μὴ ἐπαγαγὼν τὸ κύριον ὄνομα αὐτῆς, ἐπίσταμαι τίνα ὀνομάζω καὶ ἀρκοῦμαι· ὁμοίως καὶ ἐνοσίχθων εἰπὼν οὐ πάντως δεήσει μοι καὶ τὸ κύριον ἐπαγαγεῖν, εἰ μὴ κατὰ ζῆλον τῶν ποιητῶν· ἐκεῖνοι γὰρ ἀνοικείως τάσσουσιν· ἰδοὺ γὰρ Εὐφορίων ὁ ποιητὴς περὶ τοῦ ἀρότρου εἶπεν ἐνοσίχθονι, καὶ τὴν ἐλαίαν γλαυκῶπι ν. Στεφάνου εἰς τὸ αὐτό. —Τὸ ἐπίθετον τοῦτο κατηγορικὸν ὑπ' ἐνίων καλεῖται διὰ τὸ πάντῃ κατηγορεῖν κυρίων ἢ προσηγορικῶν· ὡς γὰρ τὰ ἐπιρρήματα τοῖς ῥήμασι πάντως συναρτᾶται, οὕτω καὶ τὰ ἐπίθετα τοῖς ὀνόμασιν. Διαφέρει οὖν προσηγορικοῦ ἐπίθετον, ὅτι τὸ μὲν αὐτοτελές, οἷον ἄνθρωπος, τὸ δὲ τῆς ἑτέρου δεόμενον ἐπαγωγῆς, οἷον «ἀγαθὸς ὁ δεῖνα». Ὅσα δὲ τῶν ἐπιθέτων τὴν αἰτίαν τοῦ λέγεσθαι ἐξ ἡμῶν ἔχει, ταῦτα ἐπαίνου ἢ ψόγου ὑπάρχει σημαντικά, οἷον ταχύς βραδύς· τὰ δὲ μὴ οὕτως ἔχοντα μέσα, οἷον ὑγιής ἀσθενής πλούσιος πένης, ταῦτα ἀπὸ τῶν ἐκτός ἐστι τῶν ἐκ τύχης συμβαινόντων, ἃ μήτε ἔπαινον μήτε ψόγον δηλοῦσιν, ἀλλὰ μακαρίζουσι ἢ οἰκτείρουσιν. Λαμβάνεται δὲ τὸ ἐπίθετον παρὰ ποιηταῖς ἀπὸ τῶν μάλιστα συνεχῶν τρόπων κδ' τούτων· ἀπὸ φύσεως, 〈Ε 442〉 ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ ' ἀνθρώπω ν· ἀπὸ γένους, 〈cfr Α 1〉 Πηλείδης Ἀχιλλεύς, 〈ex.

234 gr. Λ 246〉 Ἀτρείδης Ἀγαμέμνω ν· ἀπὸ εἴδους, 〈ex. gr. Α 206〉 γλαυκῶπις Ἀθήν η, 〈ex. gr. Α 551〉 βοῶπις πότνια Ἥρ η· ἀπὸ τόπου, 〈ω 1〉 Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτ ο· ἀπὸ τόπου, 〈cfr κ 277〉 χρυσόρραπις Ἑρμῆς, 〈ex. gr. Β 816〉 κορυθαίολος Ἕκτω ρ· ἀπὸ τύχης, 〈Γ 182〉 ὦ μάκαρ Ἀτρείδ η , μοιρηγενέ ς , ὀλβιόδαιμο ν· ἀπὸ ἕξεως, 〈ex. gr. Α 311〉 πολύμητις Ὀδυσσεύς, 〈Δ 59〉 Κρόνος ἀγκυλομήτη ς· ἀπὸ δυνάμεως, 〈ex. gr. β 100〉 μοῖ ρ ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοι ο· ἀπὸ αἱρέσεως, 〈ex. gr. Γ 424〉 φιλομμειδὴς Ἀφροδίτ η· ἀπὸ πράξεως, 〈θ 335〉 Ἑρμεί α , Διὸς υἱ έ , διάκτορ ε , δῶτορ ἑάω ν· ἀπὸ ἐνεργείας, 〈Ε 31. 455〉 Ἆρες Ἄρε ς , βροτολοιγ έ , μιαιφόν ε , τειχεσιβλῆτ α· ἀπὸ πάθους, 〈λ 41〉 ἄνδρες ἀρηΐφατο ι , βεβροτωμένα τεύχ ε ' ἔχοντε ς· ἀπὸ συμβεβηκότος, 〈Β 496〉 Αὐλίδα πετρήεσσαν, 〈Β 497〉 πολύκρημνόν τ ' Ἐτεωνό ν· ἀπὸ ἐπιπολάζοντος, 〈Β 503〉 ποιήεν θ ' Ἁλίαρτον, 〈Β 537〉 πολυστάφυλόν θ ' Ἱστίαια ν· ἀπὸ κτήματος, 〈Γ 185〉 Φρύγας ἀνέρας αἰολοπώλου ς· ἀπὸ χρώματος, 〈cfr ι 125 cum λ 124. ψ 271〉 νέας μιλτοπαρήου ς· ἀπὸ σχήματος, 〈ex. gr. Ε 453〉 ἀσπίδας εὐκύκλου ς· κατὰ τὸ ἑστώς, 〈Ν 799〉 κυρτὰ φαληριόωντ α· κατὰ τὸ κινούμενον · ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναλογισμοῦ, 〈ex. gr. A 55〉 λευκώλενος Ἥρ η· δεῖ γὰρ ἀναλογίσασθαι, ὅτι ὁ ἀὴρ λευκὸς λέλεκται διὰ τὸ τὰ ἄκρα περιλάμπεσθαι· 〈cfr ex. gr. A 607〉 Ἥφαιστος ἀμφιγυήεις, διὰ τὴν κρᾶσιν τοῦ πυρός· 〈E 500〉 ξανθὴ Δημήτηρ, διὰ τὸ περὶ τὴν ὥραν τοῦ θέρους χρῶμα· ἐκ τοῦ ὁμολογουμένου, 〈Δ 434. E 902〉 γάλα λευκόν καὶ τὸ 〈δ 458〉 ὑγρὸν ὕδω ρ, 〈cfr ex. gr. B 699〉 γῆ μέλαιν α· ἀπὸ ἰδιωνύμου, ὅταν ἰδίως καὶ μόνως ἐπί τινων τιθῆται, 〈ex. gr. A 511〉 νεφεληγερέτα Ζεύ ς , ἐνοσίχθων ὁ Ποσειδῶ ν· ἀπὸ τοῦ πάσχοντος · ἐπὶ τὸ ποιοῦν, 〈ex. gr. H 479〉 χλωρὸν δέο ς, 〈ex. gr. B 455〉 πῦρ ἀΐδηλο ν. Πρὸς ἱστορίαν ζῴων τετραχῶς· κατὰ κίνησιν, 〈Γ 327. Ψ 475〉 ἵπποι ἀερσίποδες, 〈ex. gr. I 466〉 εἰλίποδας βοῦ ς· κατὰ σχῆμα, 〈cfr τ 538〉 ἀγκυλοχεῖλαι ἀετο ί, 〈cfr B 460. O 692〉 κύκνοι δουλιχόδειροι, 〈cfr ε 66〉 τανύγλωσσοι κορῶνα ι· κατὰ χρῶμα, 〈κ 85〉 ἄργυφα μῆλ α, 〈τ 518〉 χλωρηῒς ἀηδών [καὶ 〈Rufinus in Anthol. V 73, 4〉 κυαναυγὲς ἴο ν]· κατὰ συμβεβηκὸς ἰδίωμα, 〈cfr ex. gr. B 474〉 πλατέα τὰ τῶν αἰγῶν αἰπόλια, διεσπαρμένως γὰρ βόσκονται, 〈κ 243〉 σύες χαμαιευνάδες, καθεύδουσι γὰρ πολὺ εἰς τὸ κάτω τῆς γῆς ἑαυτὰς καλινδοῦσαι, καὶ 〈O 690〉 αἰετὸς αἴθω ν· οὕτω γὰρ θερμός, ὡς τὰ πτερὰ αὐτοῦ πλησιάζοντα ἄλλοις πτεροῖς καίειν αὐτά· 〈cfr Δ 105〉 ἴξαλον αἶγ α, τὸν ἱκνούμενον εἰς τοὺς ἅλας· ἱστορεῖται γὰρ περὶ τὰς τῶν σωμάτων ἐξανθήσεις ἁλσὶ χρῆσθαι.

235 Πρὸς ἱστορίαν δὲ φυτῶν, ὡς 〈κ 510〉 ἰτέαι ὠλεσίκαρπο ι· ἱστορεῖται γὰρ ὅτι ἡ πιοῦσα γυνὴ τὸ τῆς ἰτέας ἄνθος ἀποβάλλει τὸ ἐν τῇ γαστρὶ βρέφος. Πρός τι δέ ἐστιν ἔχον ὡς πατήρ υἱός φίλος δεξιό ς.] Πρός τι ἔχον ἐστὶ τὸ κατὰ πᾶν πρὸς ἑτέραν σχέσιν νοούμενον, καθ᾽ αὑτὸ δ᾽ ἀνυπόστατον, οἷον πατήρ υἱός ἑταῖρος· ταῦτα 〈γὰρ〉 σὺν ἑτέροις νοεῖται, οἷον πατήρ τινος, υἱός τινος. Διαφέρει 〈δὲ〉 τὸ πρός τι τοῦ ὡς πρός τι ἔχοντος, ὅτι τὸ μὲν πρός τι ἔχον συνιστάμενον συνίστησι 〈καὶ ἀναιρούμενον συναναιρεῖ τὸ ἕτερον· συνιστάμενος γὰρ ὁ πατὴρ συνίστησι〉 καὶ παρεισάγει 〈καὶ〉 τὸν υἱόν, καὶ πάλιν ἀναιρούμενος ὁ πατὴρ συναναιρεῖ καὶ τὸν υἱόν· μὴ γὰρ ὄντος τοῦ πατρὸς ἀνάγκη καὶ τὸν υἱὸν μὴ εἶναι· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. Τὸ δὲ ὡς πρός τι τὸ ἐναντίον συνιστάμενον ἀναιρεῖ, ἀναιρούμενον δὲ συνίστησιν, ὡς νὺξ τὴν ἡμέραν. Ὡς πρός τι ἔχον δέ ἐστιν ὡς νύξ ἡμέρ α , θάνατος ζω ή.] Καὶ αὐτὸ τὸ ὡς πρός τι ἔχον 〈πρὸς ἕτερον〉 τὴν σχέσιν ἔχει, ἀλλ᾽ ἀναιρετικὸν γίνεται τοῦ ἑτέρου· τούτῳ γὰρ καὶ διαφέρει τοῦ πρός τι ἔχοντος τὸ ὡς πρός τι ἔχον, καίπερ δοκοῦν ὅμοιον εἶναι. Τὸ μὲν γὰρ πρός τι ἔχον καὶ συνευρίσκεται καὶ συναπόλλυται, τὸ δὲ ὡς πρός τι ἔχον ἓν τοῦ ἑτέρου ἀναιρετικόν ἐστιν· οἷον ἐπὶ τοῦ πρός τι ἔχοντος, ὠνόμασας πατέρα, συνονομάζεις καὶ υἱόν, ἀνεῖλες τὸν υἱόν, συναναιρεῖς καὶ τὸν πατέρα· υἱοῦ γὰρ μὴ ὄντος πατέρα εἶναι πῶς ἐγχωρεῖ; Ἔστι δὲ τοῦτο σαφέστατα γνῶναι καὶ ἀπ᾽ αὐτοῦ τοῦ ποιητοῦ· ἡνίκα γὰρ τὸν Ὀδυσσέα παρεισάγει ἐπαπειλούμενον τῷ Θερσίτῃ, διδάσκει τοῦτο 〈B 259〉 〈 μηκέ τ ᾽〉 ἔπει τ ᾽ Ὀδυσ [σ ]ῆϊ κάρη ὤμοισιν ἐπεί η· καὶ ταύτην μὲν τὴν ἀρὰν ἑαυτῷ ἔθετο, τουτέστι «μὴ εἴην ἐν τοῖς ζῶσιν»· τὸν δὲ ἑξῆς στίχον κατὰ τοῦ παιδός· ἔφη γὰρ 〈B 260〉 μη δ ᾽ ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴη ν· τινὲς δὲ ἐνόμισαν καὶ τοῦτο ἑαυτῷ 〈αὐτὸν〉 τεταχέναι, ἵνα τὸ ῥητὸν εἴη «ἀποθάνοιμι καὶ μὴ εἴην πατὴρ Τελεμάχου». Ἐπὶ δὲ τοῦ ὡς πρός τι οὐκέτι τοῦτον ἔχεις τὸν τρόπον, ἀλλ᾽ ὀνομάζεις ἓν καὶ τὸ ἕτερον ἀναιρεῖς· ἐὰν γὰρ εἴπῃς νύξ, ἀνῄρηται ἡ ἡμέρα, καὶ φῶς εἰπὼν ἀναιρεῖς τὸ σκότος. Ὁμώνυμον δέ ἐστιν ὄνομα τὸ κατὰ πολλῶν ὁμωνύμως τιθέμενο ν , οἷον ἐπὶ μὲν κυρίω ν , ὡς Αἴας ὁ Τελαμώνιος καὶ Αἴας ὁ Ἰλέω ς , ἐπὶ δὲ προσηγορικῶ ν , ὡς μῦς θαλάσσιος καὶ μῦς γηγενή ς.

236 ] —Στεφάνο υ. —Ὁμώνυμόν ἐστι τὸ ἐναντίον τῷ συνωνύμῳ, καὶ λέξις δὲ διὰ μιᾶς φωνῆς δύο ἢ καὶ πλείονας διαφορὰς σημαίνουσα, οἷον Φοῖνιξ 〈κύων〉 · Φοῖνιξ γὰρ καλεῖται ὁ ἀπὸ Φοινίκης, καὶ τὸ δένδρον, καὶ ὁ Ἀχιλλέως τροφεύς, καὶ κύων ὁ ἐπίγειος καὶ ὁ θαλάσσιος καὶ ὁ οὐράνιος, καὶ τὰ ὅμοια. Εἰς τὸ αὐτό. —Ὁμώνυμόν ἐστι τὸ ὅμοιον ὄν, διαφόροις δὲ οὐσίαις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑποκείμενον· διαφέρει δὲ τοῦ συνωνύμου, ὡς ὁμόδουλος τοῦ συνδούλου· ὁμόδουλοι γάρ εἰσιν οἱ μετέχοντες ὁμοίας τύχης δουλικῆς, σύνδουλοι δὲ οἱ σὺν ἀλλήλοις δουλεύοντες. Συνώνυμον δέ ἐστι τὸ ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦ ν , οἷον ἄορ ξίφος μάχαιρα φάσγανον σπάθ η.] Συνώνυμον δέ ἐστιν ὃ διὰ πλειόνων ἓν ὑποκείμενον σημαίνει, οἷον μέροψ βροτός ἄνθρωπος, πολλὰ ὀνόματα καθ' ἑνὸς πράγματος τιθέμενα· τὸ μὲν γὰρ ξίφος ἕν ἐστι, κατ' αὐτοῦ δὲ πολλὰ ὀνόματα, ὡς ἔγχος φάσγανον κνώδων καὶ ἐγχειρίδιον, καὶ εἴ τι ἕτερον περὶ τούτου τοῖς ἀρχαίοις εἴρηται· τὰ γὰρ πάντα ἓν μόνον σημαίνει, τὸ ξίφος. Καὶ ἄλλως. — Στεφάνο υ. — Συνώνυμόν ἐστι τὸ ἐν πλείοσιν ὀνόμασι μιᾷ οὐσίᾳ ὑποκείμενον, οἷον μέροψ βροτός ἄνθρωπος, ἅπερ οἱ Περιπατητικοὶ πολυώνυμα λέγουσιν, ὁμώνυμα δὲ τὰ τὸ αὐτὸ γένος ἔχοντα καὶ τὴν αὐτὴν οὐσίαν, 〈οἷον〉 τὸ ἄνθρωπος ἵππος ἔλαφος ὁμώνυμά φασιν, ἐπεὶ τὰ τρία κατὰ ἀρρένων καὶ 〈θηλέων〉 ζῴων ἐτάχθη. Φερώνυμον δέ ἐστι τὸ ἀπό τινος συμβεβηκότος τεθέ ν , ὡς Τισαμενός καὶ Μεγαπένθη ς.] Τὸ φερώνυμον δύναμιν ἔχει τοιαύτην· φορὰν καλοῦσιν οἱ φιλόσοφοι τὴν τύχην· τὸ οὖν ἀπὸ τύχης τινὸς συμβαινούσης ὀνομαζόμενον ὄνομα λέγεται [τὸ] φερώνυμον· τὸν γὰρ Μενελάου παῖδα Μεγαπένθην εἰρῆσθαι διὰ τὰ τῷ Μενελάῳ συμβεβηκότα· τῆς γὰρ Ἑλένης ἁρπαγείσης συνέβη τὸ τηνικαῦτα τὸν Μενέλαον οὐ τὰς τυχούσας λύπας ἔχειν· καὶ πάλιν Ὀρέστης ἐπειδὴ τὴν Κλυταιμνήστραν ἐτίσατο Τισαμενὸν τὸν παῖδα αὐτοῦ ἐκάλεσεν. Λέγει δὲ καὶ ὁ ποιητὴς περὶ Ὀδυσσέως 〈τ 407. 409〉 πολλοῖσι 〈ν〉 γὰρ ἔγωγ 〈ε〉 ὀδυσ 〈σ〉 άμενος τό δ ' ἱκάν ω . Τῷ δ ' Ὀδυσ [σ ]εὺς ὄνο μ ' ἔστω ἐπώνυμον, ἀντὶ τοῦ φερώνυμον.

237 〈Λέγεται δὲ φερώνυμον〉 καὶ τὸ τεθὲν ἐκ γενετῆς, ὕστερον δὲ τῷ ὀνομασθέντι οἰκεῖον γενόμενον, οἷον ὡς ἔτυχεν οἱ γονεῖς τὸν Δημοσθένην ὠνόμασαν, ὕστερον δὲ σθένος εὑρέθη τοῦ δήμου· καὶ Θυέστης δὲ καὶ Πενθεύς καὶ Μελέαγρος· οὕτω μὲν γὰρ ἐκ γενετῆς ὠνόμαστο, ἀνδρωθέντι δὲ αὐτῷ ἐμέλησε περὶ ἄγρας. Διώνυμον δέ ἐστιν ὀνόματα δύο κα θ ' ἑνὸς κυρίου τεταγμέν α , οἷον Ἀλέξανδρος ὁ καὶ Πάρι ς.] Διώνυμον δέ ἐστιν οὗ τὰ δύο ὀνόματα καθ' ἑνὸς τέτακται, ἔκ τε τῆς τῶν κυρίων ὕλης καὶ τῆς τῶν ἐπιθέτων 〈τῶν〉 μόνῳ συμβάν〈των〉, ὡς τὸ Φοῖβος Ἀπόλλων καὶ ἐνοσίχθων ὁ Ποσειδῶν· καὶ τούτων ἓν ἀντὶ ἑνὸς παραλαμβανόμενον ἀναπληροῖ τὸ ζητούμενον. Εἰς τὸ αὐτό. —Διώνυμόν ἐστιν ὅταν δύο ὀνόματα τεθῇ τινι, καὶ μετὰ τοῦ κυρίου συμπαραλαμβάνηται ἕτερόν τι ἐπίθετον ἐκείνῳ μόνῳ συμβάν, ὥσπερ Ἀλέξανδρος καὶ Πάρις ὁ αὐτός· διὰ τοῦτο δὲ εἶπον «μόνῳ συμβάν», μόνῳ γὰρ τῷ Ἀλεξάνδρῳ συμβέβηκε τὸ Πάριν καλεῖσθαι· διὰ τοῦτο γὰρ καὶ ὁ τεχνικὸς εἶπεν «οὐκ ἀναστρέφοντος τοῦ λόγου»· οὐ γὰρ εἴ τις Ἀλέξανδρος κέκληται, πάντως ἤδη καὶ Πάρις ὀνομάζεται. Εἴρηται δὲ ἐκεῖνος Πάρις ἢ διὰ τὸ παρεῖναι ἐν τῇ κρίσει τῶν θεῶν, ὅτε περὶ τοῦ μήλου ἤρισαν αἱ τρεῖς θεαί, Ἥρα, Ἀθηνᾶ καὶ Ἀφροδίτη· ἢ διὰ τὸ ἀπὸ πήρας τὴν τροφὴν ἐσχηκέναι· ἐκτεθεὶς γὰρ ὑπὸ Πριάμου ἀνηρέθη ὑπό τινος βουκόλου, παρ' οὗ καὶ ἀνετράφη ἀπὸ τῆς πήρας· ὥστε οὖν τοῦτο οὐκ ἂν συμβαίη ἑτέρῳ Ἀλεξάνδρῳ λεγομένῳ. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνο υ. —Διώνυμόν ἐστι τὸ μίαν οὐσίαν δυσὶν ὀνόμασι δηλοῦν, Ξάνθος Σκάμανδρος, Πάρις Ἀλέξανδρος. Διωνυμίας δὲ τρόποι παρὰ τῷ ποιητῇ τέσσαρες· ἢ γὰρ ὑπ' ἀνδρῶν καὶ γυναικῶν ποιεῖ καλούμενόν τινα τῷ αὐτῷ ὀνόματι, 〈Η 138 seq〉 δίου Ἀρηϊθόο υ , τὸν ἐπίκλησιν Κορυνήτην Ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκε ς· ἢ ἑτέρως τοὺς οἰκείους καλοῦντας, ἑτέρως δὲ τοὺς ἐκτός, 〈Ζ 402〉 τόν ῥ ' Ἕκτωρ καλέεσκε Σκαμάνδριο ν , αὐτὰρ οἱ ἄλλοι Ἀστυάνακτ α· ἢ δύο ὀνομάτων ὄντων τὸ μὲν σεμνότερον ἤγουν ἐντιμότερον τοῖς θεοῖς, τὸ δὲ δυσφορώτερον τοῖς ἀνθρώποις περιάπτει, 〈Υ 74〉 ὃν Ξάνθον καλέουσι θεο ί , ἄνδρες δὲ Σκάμανδρο ν· ἢ μόνον τὸ τῶν θεῶν λέγει, τὸ τῶν ἀνθρώπων ἀποσιωπῶν, 〈μ 61〉 Πλαγκτὰς δή τοι τάς γε θεοὶ μάκαρες καλέουσι, καὶ 〈κ 305〉 μῶλυ δέ μιν καλέουσι θεο ί .

238 Ἐπώνυμον δέ ἐστι ν , ὃ καὶ διώνυμον καλεῖτα ι , τὸ με θ ' ἑτέρου κυρίου κα θ ' ἓν λεγόμενο ν , ὡς ἐνοσίχθων ὁ Ποσειδῶν καὶ φοῖβος ὁ Ἀπόλλω ν.] Ἐπώνυμόν ἐστι τὸ ἐπιθετικὸν καὶ κυρίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τάξιν ἔχον καὶ δυνάμενον ἀπὸ τῆς τοῦ συμβεβηκότος δυνάμεως καθ’ αὑτὸ δηλῶσαι τὸ κύριον, οἷον ὑψιβρεμέτης φανερὸν ὅτι ὁ Ζεύς, γλαυκῶπις ἡ Ἀθηνᾶ, καὶ φοῖβος ὁ Ἀπόλλων, καὶ τὰ ὅμοια. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνο υ. —Ἐπώνυμον δέ ἐστι δύο ὀνόματα καθ’ ἑνὸς τεταγμένα, ὧν τὸ μὲν κύριον, τὸ δ’ ἐπίθετον δύναμιν ἔχον κυρίου διὰ τὸ ἴδιον εἶναι τοῦδέ τινος, ὡς ἃ παρέθετο, καὶ τὸ γλαυκῶπις καὶ ἐριούνης εὐρύοπα νεφεληγερέτα. Διαφέρει οὖν τὸ διώνυμον τοῦ ἐπωνύμου, καθὸ τοῦτο μὲν οὐκ ἀντιστρέφει, ὡς καὶ αὐτός φησιν, οὐ γὰρ εἴ τις Ἀλέξανδρος οὗτος καὶ Πάρι ς· τὸ δὲ ἐπώνυμον ἀντιστρέφει· ὁ γὰρ Ποσειδῶν 〈ὁ〉 αὐτὸς 〈καὶ〉 ἐνοσίχθων 〈καὶ ὁ ἐνοσίχθων ὁ〉 αὐτὸς καὶ Ποσειδῶν, ὁ Ἀπόλλων φοῖβος καὶ φοῖβος Ἀπόλλων, ἡ Ἡμέρα ἠριγένεια καὶ ἠριγένεια Ἡμέρα. Ἐθνικὸν δέ ἐστι τὸ ἔθνους δηλωτικό ν , οἷον Φρύξ Γαλάτη ς.] Τὸ ἐθνικὸν δεῖ ἀκριβῶς εἰδέναι πόθεν. Γίνεται τετραχῶς, ἀπὸ γένους, ἀπὸ χώρας, ἀπὸ πόλεως, ἀπὸ βασιλέως· ἀπὸ γένους μέν, ὡς Ἕλλην καὶ βάρβαρος, ἀπὸ δὲ χώρας, ὡς Θεσσαλός, ἀπὸ δὲ πόλεως, ὡς Φθιώτης, ἀπὸ δὲ βασιλέως, ὡς Ἀχαιός καὶ Δαναός. Τοῦτο οὖν ἐστι τὸ ἔθνους δηλωτικόν, ὡς καὶ αὐτὸς παρέθετο, ὁ Φρύξ Γαλάτης, ὡς ἐν εἰσαγωγῇ. Ἐρωτηματικὸν δέ ἐστι ν , ὃ καὶ πευστικὸν καλεῖτα ι , τὸ κα τ ’ ἐρώτησιν λεγόμενο ν , οἷον τίς ποῖος πόσος πηλίκο ς.] Διαφέρει τὸ ἐρωτηματικὸν τοῦ πευστικοῦ τῇδε, καθὸ τὸ μὲν ἐρωτηματικὸν σύντομον ἔχει καὶ συμβολικὴν τὴν ἀπόκρισιν· ἐὰν γὰρ ἐρωτήσῃς τινά, ἢ τὸ ναί λέγει ἢ τὸ οὔ, ἅπερ ἐστὶ συμβολικά· τὸ δὲ πευστικὸν μακρηγορίας δεῖται καὶ διὰ πολλῶν ἀπολογίας, ὡς καὶ παρὰ τῷ Μενάνδρῳ εὑρίσκομεν 〈fr.

239 869 K〉 πυθοῦ πα ρ ’ αὐτῆς διὰ τί ν ’ αἰτίαν, ἀντὶ τοῦ «ἐρωτήσας ἄκουσον»· ἧδε 〈δὲ〉 διὰ πολλῶν ἀπόδοσις ἦν καὶ οὐ συμβολική, ὥσπερ ἡ τοῦ ἐρωτηματικοῦ. Οὕτως καὶ ὁ τεχνικὸς παρατίθεται τὸ τίς ποῖος πόσος 〈πηλίκοσ〉 · ταῦτα γὰρ ὀνόματά ἐστιν ἐρωτήσεις σημαίνοντα. Ἰστέον δὲ ὅτι τοῦ μὲν πευστικοῦ ἐννέα λέξεις μόναι εἰσίν, τέσσαρα ὀνόματα, τίς ποῖος πόσος πηλίκος, πέντε δὲ ἐπιρρήματα, πῇ ποῦ πότε πηνίκα πῶς· ἐρωτηματικαὶ δὲ σχεδὸν εἰπεῖν πᾶσαι αἱ λέξεις· δύναται γὰρ πᾶσα λέξις εἶναι ἐρωτηματική, τῆς φωνῆς καὶ τῆς ὑποκρίσεως μόνον καθελκομένης. Καὶ ὅτι τῷ μὲν ἐρωτηματικῷ ἢ τὸ ναί ἢ τὸ οὔ πάντως προσυπακούεται, τῷ δὲ πευστικῷ οὐκέτι, ἀλλὰ ἢ οὐσία ἢ ποιότης ἤ τι τοιοῦτον. —Τὸ δὲ τίς μόριον ὅταν μὲν ὀξυτονῆται, τότε ἐρωτηματικόν ἐστιν, ἐὰν δὲ ἐγκλίνηται, ἔσται ἀόριστον ἢ ἀποφαντικόν, καὶ ἀρσενικοῦ καὶ θηλυκοῦ κοινόν. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνο υ. —Διαφέρει πευστικὸν ἐρωτηματικοῦ· τῷ γὰρ ἐρωτηματικῷ ἀποχρήσει τὸ ναί ἢ τὸ οὔ, καὶ ἀνάνευσις ἢ ἐπίνευσις, τῷ δὲ 〈πευστικῷ〉 πάντως ἀποκρίσεως δεῖ· καὶ ἡ μὲν ἐρώτησις ἐπὶ παντὸς μέρους λόγου 〈γίνεται〉 , ἡ δὲ πεῦσις ἐπ’ ὀνομάτων ἢ ἐπιρρημάτων. Ἐρωτῶμεν δὲ μαθεῖν ἐθέλοντες διὰ τοῦ τίς οὐσίαν, [ἄνθρωπος ἢ λέων]· τῷ δὲ ποῖος [καὶ πότερος] πᾶν ἐπίθετον ἐπαχθήσεται, πλὴν τῶν ἐπὶ σωματικοῦ μεγέθους· «ποῖος Στέφανος; ὁ ἰατρός· ποῖος πύκτης; ὁ ταχύς, ὁ λευκός, ὁ μέγας»· τῷ δὲ πόσος τὸ πολύς ἢ μικρός· τοῦτο δὲ καὶ ἐπὶ μεγέθους τάττεται, «πόσος ὄχλος; πόσος στρατός»· τῷ πηλίκος τὰ ἐπὶ μεγέθους, μέγας βραχύς παχύς λεπτός· τῷ δὲ πόστος τὰ ἀριθμητικά, δεύτερος τρίτος· τῷ ποδαπός τὰ ἐθνικά, Ῥόδιος Θρᾶξ, ἔσθ’ ὅτε 〈δὲ〉 καὶ τὰ τῆς ποιότητος, λευκός ξανθός· Σοφοκλῆς οὖν ἐν Ὀδυσσεῖ Ἀκανθοπλῆγι τῷ ποδαπός ἀντὶ τοῦ ποῖος χρησάμενος ἀκυρολογεῖ, 〈fr. 415 N 2 〉 ποδαπὸν τὸ δῶρον ἀμφὶ φαιδίμοις ἔχων Ὤμοι ς; —Τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν ἐρωτηματικὰ καταβιβάζοντα τὸν τόνον ἀόριστα γίνεται, οἷον ποιός ποσός πηλικός· ἀποβάλλοντα δὲ τὸ κατ’ ἀρχὴν σύμφωνον ἀναφορικὰ γίνεται, οἷον πόσος ὅσος, ποῖος οἷος, πηλίκος ἡλίκος, ἃ προσλαμβάνοντα τὸ τ ἀνταποδοτικὰ γίνεται, τόσος τοῖος τηλίκος· ταῦτα δὲ τὰ διὰ τοῦ τ καὶ παράγεται διὰ τοῦ ουτος , τοιοῦτος τοσοῦτος τηλικοῦτος—ἔστι δὲ ἡ παραγωγὴ κατὰ γένος, κατὰ πτῶσιν, κατὰ ἀριθμόν—καὶ ἐπεκτείνεται διὰ τοῦ δε , τοιόσδε τοσόσδε τηλικόσδε.

240

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—Τὸ τίς ἐρωτηματικόν ἐστι καὶ ἀόριστον, « 〈τίς ἦλθε;〉 ἦλθέ τις»· δύο οὖν τόνων ἐστὶ δεκτικόν, ἀλλ' ἐπεὶ μονοσύλλαβος βραχεῖα λέξις οὐ δύναται δύο τόνους λαβεῖν, ἕνα λαμβάνει τὸν ὀξὺν ἀεί, ἐν δὲ ταῖς πλαγίαις δείκνυται τὸ διάφορον διὰ τῆς ποσότητος τῆς ἐπιδεκτικῆς ἑκατέρου τόνου, 〈τίνοσ〉 τινός, 〈τίνι〉 τινί, 〈τίνα〉 τινά· τὸ ποδαπός ἕνα τόνον ἔχει τὸν ὀξὺν ἐπ' ἐρωτήσεως, ἐπεὶ ὁ χαρακτὴρ ὁ διὰ τοῦ δαπος τοιοῦτος ἦν, ἀλλοδαπός ἡμεδαπός παντοδαπός. — Ἔτι τὰ ἐρωτηματικὰ ἄπειρά εἰσιν, ἑκάστη γὰρ λέξις δύναται προφέρεσθαι ἐρωτηματικῶς· τὰ δὲ πευστικὰ ὑπὸ ἀριθμὸν ἀνάγονται· ἓξ γάρ εἰσιν ἐν τοῖς ὀνόμασιν, οἷον τίς ποῖος πόσος πηλίκος πόστος ποδαπός, καὶ τρία κατὰ τὸ σημαινόμενον ἐν τοῖς ἐπιρρήμασιν· ἢ γὰρ πράξεώς εἰσι ζητητικά, οἷον 〈γ 248〉 πῶς ἔθα ν ' Ἀτρείδη ς; ἢ τόπου, οἷον 〈Κ 406〉 ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορ α; ἢ χρόνου, οἷον 〈δ 642〉 πό τ ' 〈ᾤχετο 〉 · Πρόσκειται «κατὰ τὸ σημαινόμενον», ἐπειδὴ κατὰ φωνὴν πλείονά εἰσιν, οἷον πῇ ποῖ πηνίκα πότε ποῦ πόθεν πῶς. Ἀόριστον δέ ἐστι τὸ τῷ ἐρωτηματικῷ ἐναντίως λεγόμενο ν , οἷον ὅστις ὁποῖος ὁπόσος ὁπηλίκο ς.] Ἀόριστόν ἐστιν ὃ μὴ ὁρίζει, τὸ γὰρ α στερητικόν ἐστι· τὸ δὲ ἐρωτηματικὸν καὶ γνωστὸν καὶ ὡρισμένον· ἐναντίον οὖν τί ἐστι τοῦτο τῷ ἐρωτηματικῷ. Ἔχει δὲ τὴν γένεσιν τὸ ἀόριστον ἀπὸ τοῦ ἐρωτηματικοῦ· πᾶν γὰρ ἐρωτηματικὸν ὄνομα ἔξωθεν προσλαβὸν πλεονασμόν τινα γίνεται ἀόριστον· προσλαβόντα γὰρ τὰ ἐρωτηματικὰ ἔξωθεν τὸ ο ἀόριστον ἐπαγγέλλεται, πῶς ὅπως, πῇ ὅπῃ. Καὶ συντείνει εἰς δύο μέρη λόγου, εἴς τε ἐπίρρημα καὶ ὄνομα· ἐρώτησις γὰρ οὐ γίνεται εἰ μὴ δι' ὀνόματος καὶ ἐπιρρήματος. Ἀναφορικὸν δέ ἐστι ν , ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖτα ι , τὸ ὁμοίωσιν σημαῖνο ν , οἷον τοιοῦτος τοσοῦτος τηλικοῦτο ς.] Ἀναφορά ἐστιν ἀνάμνησις προεγνωσμένου προσώπου καὶ ἀπόντος τινὸς γνῶσις καὶ ἀναπόλησις. Τοῖς δ' ἄλλοις ὀνόμασιν οὕτως ὠνόμασται, ἐπειδὴ ταύτῃ τῇ φωνῇ χρώμεθα καὶ ὁμοιοῦντες, ὅτι οὗτος ὅμοιος τῷδε τῷ μὴ παρόντι, καὶ ἀνταποδιδόντες, ὡς ἄν τις εἴποι «τοιοῦτός ἐστιν ἀνδρεῖος οἷός ποτε ὁ Ἀχιλλεύς». Περιληπτικὸν δέ ἐστι τὸ τῷ ἑνικῷ ἀριθμῷ πλῆθος σημαῖνο ν , οἷον δῆμος χορός ὄχλο ς.] Περιληπτικὸν ὄνομα λέγεται, ὅταν ὁ μὲν χαρακτὴρ ἑνικὸς ᾖ, ἐμφαίνηται δὲ διὰ τοῦ σημαινομένου πολύ τι πλῆθος, οἷον στρατός χορός. Εἴρηται δὲ περιληπτικὸν παρὰ τὸ περιέχειν τὰ ἐξ αὐτοῦ σημαινόμενα, οἷον, ὡς ὁ τεχνικός φησι, δῆμος χορός ὄχλος· ταῦτα γὰρ ἑνικὸν μὲν ἔχει τὸν τύπον, εἰς ος γὰρ λήγει, τὸ δὲ ἐξ αὐτῶν σημαινόμενον πλῆθός ἐστιν· οὔτε γὰρ ἂν δῆμος οὔτε χορὸς οὔτε ὄχλος ἐξ ἑνὸς προσώπου συσταίη.

241 Ἐντεῦθεν οὖν καὶ οἱ ποιηταὶ εἰδότες τὴν δύναμιν τῆς λέξεως πολλάκις πρὸς τὸ σημαινόμενον ὑπαντῶσι καὶ ῥήματα πληθυντικοῦ ἀριθμοῦ ἐπάγουσιν, οἷον 〈Υ 166〉 ἀγρόμενοι πᾶς δῆμος καὶ 〈Ο 305〉 ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντ ο . Ἐπιμεριζόμενον δέ ἐστι τὸ ἐκ δύο 〈ἢ〉 καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφορά ν , οἷον ἑκάτερος ἕκαστο ς.] Ἐπιμεριζόμενόν ἐστιν ὃ ποιεῖται ἀπὸ πλήθους προσώπων ἐξαναρίθμησιν· εἴρηται δὲ ἐπιμεριζόμενον, ὅτι ἀπομερίζει ἀπὸ τοῦ πλήθους τὸ καταληπτόν, ὡς τὸ ἕκαστος καὶ τὸ ἑκάτερος· λέγοιτο μέν γε τὸ ἕκαστος ἐπὶ πλήθους, τὸ δὲ ἑκάτερος ἐπὶ μόνου δυϊκοῦ. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Τὸ μὲν ἑκάτερος ἐκ δύο ἐπὶ ἓν ἔχει τὴν ἀναφοράν, οἷον ὡς ὅταν εἴπω «ἑκάτερος τῶν φίλων γνήσιός ἐστιν»· οὗτοι γὰρ ἐπὶ ἓν ἔχουσι τὴν ἀναφοράν, λέγω δὴ τὴν γνησιότητα· καὶ πάλιν τὸ ἕκαστος 〈ἐκ πολλῶν ἐπὶ ἓν ἔχει τὴν ἀναφοράν, οἷον ὡς ὅταν εἴπω «ἕκαστοσ〉 τῶν φίλων ἐλεύθερός ἐστιν»· οὗτοι γὰρ ἐπὶ ἓν ἔχουσι τὴν ἀναφοράν, λέγω δὴ τὴν ἐλευθερίαν. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Τὸ ἐπιμεριζόμενον διὰ τὸ ἐκ τῆς κατὰ μέρος διαιρέσεως ὡς ἐπὶ τὸ πᾶν χωρεῖν καὶ [ὥσπερ] τὴν αὐτὴν ἔννοιαν δοκεῖ πως ἔχειν τῷ περιληπτικῷ [τὸ ἐπιμεριζόμενον], εἴ γε ἑκάτερον αὐτῶν ἐπὶ τὸ πάντας δηλοῦν ἀναφέρεται· ἡ δὲ διαφορά ἐστιν αὕτη, ὅτι τὸ μὲν ἐκ τοῦ καθ' ἕκαστον ἐπιμερισμοῦ τὴν πρὸς πάντας ἔμφασιν ἔχει, τὸ δὲ οὐκ ἐξ ἐπιμερισμοῦ τὴν πρὸς πάντας ἔμφασιν ἔχει, [τὸ δὲ] ἀλλ' αὐτὸ μόνον τὴν περίληψιν σημαίνει [τὸ περιληπτικόν]. 〈Stephani.〉 — Περιεκτικὸν δέ ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ἐμφαῖνον ἐν ἑαυτῷ τι περιεχόμενο ν , οἷον δαφνών παρθενώ ν.] Τοῦ περιεκτικοῦ ἡ φωνὴ γίνεται ἀπὸ τοῦ περιεχομένου, οἷον εἰπεῖν παρθενὼν ὁ παρθένους ἔχων καὶ φοινικὼν ὁ φοίνικας ἔχων. Δόξειε δ' ἄν τισι τὸ περιληπτικὸν ἑνικῇ φωνῇ πλῆθος περιέχον, ὅπερ καὶ τὸ περιεκτικὸν ἐπαγγέλλεται, ὅμοιον εἶναι τῷ περιεκτικῷ. Ἀλλὰ ῥητέον ὅτι ἔστι τις διαφορὰ ἐν μέσῳ· τὸ μὲν γὰρ περιεκτικὸν ἐν αὑτῷ τὴν σύστασιν ἔχει καὶ τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου, κἂν διαλυθῇ τὸ περιεχόμενον, ἔτι συνίσταται τὸ περιεκτικόν· τὸ μέντοι περιληπτικὸν οὐκ ἄλλο τι σημαίνει αὐτὸ τὸ περιέχον καὶ ἄλλο αὐτὸ τὸ περιεχόμενον· οἷον εἰπεῖν ἐπὶ τοῦ περιεκτικοῦ, παρθενὼν τόπος παρθένων καὶ δαφνὼν ὁμοίως 〈τόπος δαφνῶν〉 · καὶ εἰ ἀφέλοις τὰ περιεχόμενα, οὐκ ἀπώλετο τὸ περιεκτικόν, ἐπειδὴ τόπος ἐστίν· εἰ μή τις εἴποι, ἀλλ' οὐκ ἔστι τοιόσδε τόπος.

242 Ἐπὶ δὲ τοῦ περιληπτικοῦ οὐκέτι· ὁ γὰρ χορὸς οὐκ ἔστι σύστημα ἢ τόπος χορῶν, οὐδὲ δῆμος ἀπὸ δήμων, ἀλλ' ἀπὸ ἀνδρῶν. Πεποιημένον δέ ἐστι τὸ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς εἰρημένο ν , οἷον φλοῖσβος ῥοῖζος ὀρυγμαδό ς.] Πεποιημένον ὄνομά ἐστιν, ὅταν κατὰ μίμησιν ἤχου τινὸς καὶ τῆς ποιότητος τοῦ ὑποκειμένου πράγματος προενεχθῇ, ὥσπερ τὸ φλοῖσβος κάρκαιρος δοῦπος ἄραβος κόναβος· καὶ φλοῖσβος κατὰ μίμησιν εἴρηται τῶν κυμάτων, ἐν τῷ προσβράττεσθαι γὰρ τὴν θάλασσαν τοιαύτην ποιότητα φαίνονται τὰ κύματα ποιοῦντα· καὶ πάλιν τὸ ὀρυγμαδὸς ἦχός ἐστι πολλοῦ πλήθους ἀνθρώπων ἐπιρρεόντων· ὁ δὲ ῥοῖζος πάλιν ἦχός ἐστι τοῦ βέλους διιπταμένου καὶ διατέμνοντος τὸν ἀέρα καὶ τὴν τοιαύτην ποιότητα ἀποτελοῦντος. Γίνεται δὲ καὶ ἐν ἄλλοις μέρεσι λόγου κατὰ μίμησιν φωνῆς, ὡς το 〈Δ 125〉 λίγξε βιός καὶ 〈ι 394〉 ὣς τοῦ σί ζ ' ὀφθαλμό ς· ἀλλ' ἐν μὲν ἐκείνοις λέγεται ὁ τρόπος ὀνοματοποιία, ἐνταῦθα δὲ πεποιημένον ὄνομα. Γενικὸν δέ ἐστι τὸ δυνάμενον εἰς πολλὰ εἴδη διαιρεθῆνα ι , οἷον ζῷον φυτό ν.] Γενικόν ἐστιν ᾧ περιέχεται καὶ περιείληπται πολλὰ καὶ ἀνόμοια εἴδη· ἐν μὲν γὰρ τῷ ζῴῳ πολλὰ ἔστιν εἴδη, ἄνθρωπος ἵππος βοῦς, ἐν δὲ τῷ φυτῷ ἄμπελος δρῦς ἐλαία καὶ πάντα τὰ φυόμενα· φυτὸν γὰρ τὸ γένος, καὶ πᾶν φυόμενον ὑπὸ τοῦτο ἀνάγεται. Εἰδικὸν 〈δέ〉 ἐστι τὸ ἐκ τοῦ γένους διαιρεθέ ν , οἷον βοῦς ἵππος ἄμπελος ἐλαί α.] Εἰδικόν ἐστιν ᾧ οὐ περιέχεται οὐδὲ περιείληπται πολλὰ καὶ ἀνόμοια εἴδη, ἀλλ' ἕν τι τῶν προειρημένων δηλοῦται, οἷον ἵππος ἄμπελος· ὁ μὲν γὰρ ἵππος ζῴου εἶδος, ἡ δὲ ἄμπελος φυτοῦ. Τακτικὸν δέ ἐστι τὸ τάξιν δηλοῦ ν , οἷον πρῶτος δεύτερος τρίτο ς.] Τοῦτο σύγκρισιν οὐκ ἀναδέχεται· εἰ δέ που εὕροιμεν, μόνῃ τῇ φωνῇ λέγομεν ἀναδέχεσθαι τὴν παραγωγήν, ὥσπερ τὸ πρώτιστος δεύτατος· τάξιν δὲ μόνον δηλοῖ, ὡς τὸ πρῶτος καὶ τὸ δεύτερος. Ἀριθμητικὸν δέ ἐστι τὸ ἀριθμὸν σημαῖνο ν , οἷον εἷς δύο τρεῖ ς.

243 ] Ἀριθμητικόν ἐστιν ὃ διάκρισιν ποιεῖται τοῦ ἀριθμοῦ· καὶ δοκεῖ μὲν ταὐτὸν εἶναι τῷ τακτικῷ, ἐπειδὴ κἀκεῖνο τρόπον τινὰ ὡς ἀρίθμησιν ποιεῖται. Ἀλλά φαμεν ὅτι διαφέρει τούτῳ, καθὸ τὸ μὲν τάξιν μόνον ἐπαγγέλλεται, περὶ ἀριθμοῦ μηδένα ποιούμενον λόγον, τὸ δὲ ἀριθμητικὸν τὸ ἐναντίον· τὴν ἐξαρίθμησιν γὰρ ποιεῖται, τῆς τάξεως λόγον μὴ ποιούμενον, ὡς καὶ ὁ τεχνικὸς λέγει· εἷς δύο τρεῖς ἀριθμοῦντες λέγομεν μόνον, τὸ δὲ πρῶτος δεύτερος τρίτος κατατάσσοντες. Ἀπολελυμένον 〈δέ〉 ἐστιν ὃ κα θ ' αὑτὸ νοεῖτα ι , οἷον θεός λόγο ς.] Ἀπολελυμένον ἐστὶν ὃ δύναται καθ' ἑαυτὸ θεωρεῖσθαι, οἷον λόγος [ὥσπερ τὸ ἀπόλυτον]· τοῦτο 〈γὰρ〉 πρὸς ἕτερον οὐ ποιεῖται τὴν σχέσιν, τουτέστι τὴν ἐξάρτησιν· πάντα γὰρ τὰ εἴδη τὰ ὑποπεπτωκότα πρός τι καὶ κατὰ συζυγίαν εἴρηται, τοῦτο δὲ μοναδικόν. Διὸ καὶ ὁ τεχνικὸς ἀπολελυμένον αὐτὸ ἐκάλεσε, δηλονότι τῆς πρὸς ἕτερον σχέσεως· καὶ γὰρ ἀπολελυμένον ἐστὶν ὃ μὴ μεθ' ἑτέρου νοεῖται, [ὥσπερ τὸ πρωτότυπον,] ἔννοιαν δέ τινα ἔχον τοῦ ἀφ' ἑτέρου γεγονέναι, οἷον λόγος ἀπὸ τοῦ λέγειν, καὶ ἀήρ ἀπὸ τοῦ ἄειν, ὅ ἐστι πνέειν· ὑποτάσσουσι δὲ τῷ πρωτοτύπῳ τὸ ἀπόλυτον. Τοῦ δὲ ὀνόματος διαθέσεις εἰσὶ δύ ο , ἐνέργεια καὶ πάθος · ἐνέργεια μέ ν , ὡς κριτής ὁ κρίνω ν , πάθος δ έ , ὡς κριτός ὁ κρινόμενο ς.] Γνωστέον ὅτι τὸ ὄνομα διαθέσεις οὐκ ἔχει· ἡ γὰρ οὐσία καθ' αὑτὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὖσα ἀπαθής ἐστι, τὰ δὲ πάθη ἐκ τοῦ ἐπισυμβαίνοντος τῇ οὐσίᾳ, τουτέστι τοῦ ῥήματος. Πῶς οὖν εἶπεν ὁ τεχνικὸς τοῦ ὀνόματος διαθέσεις; Ἐροῦμεν ὅτι πολλάκις εἰσὶ ῥηματικὰ ὀνόματα, ἔχοντα τὴν διάθεσιν ἀπὸ τῆς ἐννοίας, καί, ὡς ἀλλαχοῦ εἰρήκαμεν, ὅτι τὰ ῥήματα, τουτέστι τὰ πράγματα, ἀποτελοῦμεν ἄνθρωποι ἢ ὡς πάσχοντες ἢ ὡς ἐνεργοῦντες. Διὰ τοῦτο καὶ ὁ τεχνικὸς τοῦτο εἶπεν, ὥστε νοεῖν ἡμᾶς τὸ μὲν πάθος τοῦ ῥήματος, τὸν δὲ τύπον τῆς φωνῆς τοῦ ὀνόματος· κριτής μὲν γὰρ ἀπὸ τοῦ κρίνω, ἀπὸ δὲ τοῦ κρίνομαι κριτός ἤγουν κατάκριτος. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Εἰ ἄρα καὶ τὰ ὀνόματα ἔχουσι διαθέσεις, διὰ τί οὐ λέξομεν ἓξ παρέπεσθαι τῷ ὀνόματι, οἷον γένη εἴδη σχήματα ἀριθμοὺς πτώσεις διαθέσεις; Καί φαμεν ὅτι διὰ τοῦτο τὰς διαθέσεις οὐ συναριθμοῦμεν τοῖς παρεπομένοις τῷ ὀνόματι, ἐπειδὴ οὐ πάντα τὰ ὀνόματα σημαίνει ἐνέργειαν καὶ πάθος· ἰδοὺ γὰρ τὸ Αἴας καὶ τὸ Πηλεύς καὶ τὸ λᾶας καὶ τὸ δρῦς καὶ τὸ σοφός οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῦσιν.

244 § 13 (15b). Περὶ ῥήματος. 〈Stephani.〉 —Τὸ ῥῆμα ἀναγκαίως μετὰ τὸ ὄνομα κατετάγη· τῇ φύσει μὲν γὰρ πρωτεύει, διὰ δὲ τὸ δίχα τῆς οὐσίας μὴ φαίνεσθαι συγκεχωρήκαμεν τὸ ὄνομα προτάττεσθαι. Εἴρηται δὲ ῥῆμα παρὰ τὴν ῥύσιν τὴν εἰς τοὺς χρόνους· μεταπηδᾷ γὰρ ἐπὶ τοὺς χρόνους πάντας καὶ τὰ πρόσωπα, μικρόν τι τῆς φωνῆς παρατρέψαν, δίκην ὕδατος. Ῥῆμά ἐστι λέξις ἄπτωτος ἐπιδεκτικὴ χρόνων καὶ προσώπων καὶ ἀριθμῶ ν , ἐνέργειαν ἢ πάθος παριστῶσ α.] Μὴ ταραττέτω σε τὸ διάφορον τῆς λέξεως, εἰ ποτὲ μὲν μέρη λόγου καλεῖ, ποτὲ δὲ λέξεις· εἴρηται δὲ λέξις παρὰ τὸ λέγειν καὶ ἐξ αὐτοῦ σημαίνεσθαι, ἴδιον γὰρ τῶν μερῶν τοῦ λόγου τὸ λέξεις εἶναι καὶ σημαινόμενον ἔχειν· καὶ εἴ ποτε εἴπῃ λέξιν καί 〈ποτε〉 μέρος λόγου, οὐ ξενοφωνεῖ· ταὐτὸν γὰρ μέρος λόγου καὶ λέξις, καὶ εἴ τι λέξις, τοῦτο καὶ μέρος λόγου, διαλλήλως τῆς λέξεως νοουμένης. «Ἄπτωτος» δὲ εἶπεν, ἵνα διαστείλῃ ἀπὸ τῶν πτωτικῶν. Εἰδὼς δὲ ὁ τεχνικός, ὅτι εἰπὼν «ἐπιδεκτικὴ χρόνων» κατὰ τοῦτο καὶ ἑτέροις συνέπιπτεν—ἔστι γὰρ καὶ ἐπιρρήματα χρονικά—τέταχε καὶ τὸ «προσώπων»· ἐπειδὴ δὲ καὶ κατὰ τοῦτο κοινωνεῖ τῇ ἀντωνυμίᾳ, εἶπε «καὶ ἀριθμῶν»· ἐπειδὴ δὲ καὶ κατὰ τοῦτο συνέπιπτεν ἑτέροις, ἀναγκαίως τὸ μόνῳ τῷ ῥήματι ἑπόμενον προσέθηκε, λέγων «ἐνέργειαν ἢ πάθος παριστῶσα»· τοῦτο γὰρ καὶ μόνον ἴδιόν ἐστι τοῦ ῥήματος. Ὃν τρόπον γὰρ ἀναπτύσσοντες τοῦ ὀνόματος τὸν ὅρον τὸ κεφαλαιωδέστατον καὶ μόνον 〈ἰδίωσ〉 παρεπόμενον διεσαφηνίσαμεν, λέγοντες εἶναι σώματος καὶ πράγματος διακριτικόν, οὕτω καὶ ἐνταῦθα τὰ πολλὰ τοῦ ὅρου παραπεμψάμενοι μόνον ἐροῦμεν τὸ ἰδιαζόντως ὑπὸ ῥῆμα ἀναγόμενον. Παρέπεται δὲ τῷ ῥήματι ὀκτ ώ , ἐγκλίσει ς , διαθέσει ς , εἴδ η , σχήματ α , ἀριθμο ί , πρόσωπ α , χρόνοι καὶ συζυγία ι.] Ἐνταῦθα δὲ πειρᾶται διεξιέναι τὰ παρεπόμενα τῷ ῥήματι, εἶτα ἐφεξῆς ἕκαστον αὐτῶν σαφηνίζει. Ἐγκλίσεις μὲν οὖν εἰσι πέντ ε , ὁριστικ ή , προστακτικ ή , εὐκτικ ή , ὑποτακτικ ή , ἀπαρέμφατο ς.

245 ] Πέντε φησὶν εἶναι τὰς ἐγκλίσεις. Ἔγκλισις δέ ἐστι 〈σχῆμα φωνῆς ποιὰν κίνησιν τῆσ〉 ψυχῆς ἀναφαῖνον ἐπί τι τρεπομένης· προσκλίνεται δὲ ἡ ψυχὴ ἢ ὡς ὁριζομένη τὰ παρ᾽ αὐτῆς δρώμενα, ὡς ὅταν εἴπῃ «τύπτω», ἢ ὡς προστάττουσα, ὡς ὅταν εἴπῃ «τύπτε», ἢ ὡς εὐχομένη, ὡς ὅταν εἴπῃ «τύπτοιμι», ἢ ὡς διστάζουσα, ὡς ὅταν εἴπῃ «ἐὰν τύπτω», ἢ ὡς οὐδὲν τούτων δηλοῦσα, μόνον δὲ τὸ ὄνομα τοῦ πράγματος προβαλλομένη, ὡς ὅταν εἴπῃ «τύπτειν». Ἀκριβολογεῖται οὖν ὁ τεχνικὸς καὶ λέγει ἐγκλίσεις εἶναι πέντε· ἢ γὰρ ὁριζόμεθα, καὶ καλεῖται ἡ ἔγκλισις ὁριστική, οἷον λέγω τύπτω, ἢ προστάττομεν, καὶ καλεῖται ἡ ἔγκλισις προστακτική, οἷον λέγε τύπτε, ἢ εὐχόμεθα, καὶ καλεῖται ἡ ἔγκλισις εὐκτική, οἷον λέγοιμι τύπτοιμι, ἢ διστάζομεν, καὶ καλεῖται ἡ ἔγκλισις διστακτική, οἷον ἐὰν λέγω, ἐὰν τύπτω, «ἐὰν πλουτήσω δίδωμί σοι πέντε δραχμάς»· ἡ δὲ αὐτὴ λέγεται καὶ ὑποτακτική, ὅτι ὑποτάσσεται μορίοις τῷ ἵνα καὶ τῷ ὄφρα καὶ τῷ ὅπως· λέγεται δὲ καὶ αἰτιολογική, «ἵνα ἀναγνῷ Τρύφων ἐτιμήθη», καὶ ἀποτελεστική, «δὸς τὸ βιβλίον ἵνα ἀναγνῶ», καὶ ἐπηρμένη· μείζων γὰρ κατὰ τὴν φωνὴν τῆς ὁριστικῆς, ποιεῖς, ἐὰν ποιῇς. Ἡ δὲ ἀπαρέμφατος εἴρηται, ὅτι οὐκ ἐμφαίνει ψυχικὴν διάθεσιν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅθεν οὐδὲ πρόσωπα ἔχει· ἡ γὰρ ψυχικὴ διάθεσις ἀπαιτεῖ καὶ πρόσωπα· ἐπεὶ δὲ πρόσωπα οὐκ ἔσχεν, οὐδὲ ἀριθμόν, περὶ γὰρ τὸ πρόσωπον καὶ ὁ ἀριθμός. Διαθέσεις δέ εἰσι τρεῖ ς , ἐνέργει α , πάθο ς , μεσότης · ἐνέργεια μέ ν , οἷον τύπτ ω , πάθος δ έ , οἷον τύπτομα ι , μεσότης δὲ ἡ ποτὲ μὲν πάθος ποτὲ δὲ ἐνέργειαν παριστῶσ α , οἷον πέπηγα διέφθορα ἐποιησάμην ἐγραψάμη ν.] Διάθεσίς ἐστι δίαιτα ψυχῆς καὶ διοίκησις· καὶ ἐν τῇ συνηθείᾳ γὰρ διαθεῖναι τὸ οἰκονομῆσαι καὶ διοικῆσαι. Δύο οὖν εἴρηκε τοῦ ῥήματος διαθέσεις ὑπάρχειν, τήν τε ἐνέργειαν καὶ τὸ πάθος· ἢ γὰρ ἐνεργοῦντές τι ποιοῦμεν ἢ ὡς πάσχοντες 〈ἔχομεν〉 · ἐπειδὴ δὲ κατὰ πάντα ἀκριβὴς οὖσα ἡ γραμματικὴ οὐδὲν ἀνεξέταστον ἐᾷ, ἀναγκαίως καὶ τρίτην τὴν μεσότητα κατηριθμήσατο, ἥτις ἑκατέραν τὴν διάθεσιν δηλοῖ τῇ φωνῇ· ἡ γὰρ τοῦ ἐγραψάμην φωνὴ δύναται σημαίνειν καὶ πάθος καὶ ἐνέργειαν, εἰ τὴν ἁρμόζουσαν σύνταξιν λάβοι· ἐὰν γὰρ εἴπῃς, ὅτι ἐγραψάμην σοι, δῆλον ὡς ἐνέργειαν δηλοῖ, ὡς ἐάν τις εἴπῃ «ἔτυψά σε», ἐὰν δὲ προσθήσω τὸ «ὑπὸ σοῦ», 〈γράφομαι ὑπὸ σοῦ,〉 πάθος σημαίνει, ὡς τὸ «τύπτομαι ὑπὸ σοῦ».

246 Ἐνεργητικὴ μὲν οὖν ἐστι διάθεσις, δι’ ἧς τὰ ἐνεργήματα δηλοῦται, οἷον τέμνω δαίρω· παθητικὴ δέ ἐστι, δι’ ἧς τὰ πάθη σημαίνεται, οἷον τέμνομαι δαίρομαι· οὐδετέρα δὲ ἡ μήτε ἐνέργειαν μήτε πάθος σημαίνουσα, οἷον ζῶ πλουτῶ δύναμαι βούλομαι· μέση δὲ ἡ πῇ μὲν ἐνέργειαν πῇ δὲ πάθος δηλοῦσα · τὸ γὰρ ἐποιησάμην δηλοῖ, ὅτι ἐμαυτῷ ἐποίησά τι, τὸ δὲ ἐποιήθη, ὅτι δι’ ἐμοῦ ἐποιήθη. Ἄλλω ς. —Διαθέσεις δὲ κατὰ τὴν ἀκρίβειαν πέντε εἰσίν, ἐνεργητική, παθητική, οὐδετέρα, μέση, ἐμπεριεκτική· ἐνεργητικὴ μέν, οἷον λέγω φέρω, ἐνέργειαν γὰρ σημαίνει· παθητικὴ δὲ ἡ τὴν ἐξ ἑτέρου εἰς αὐτὴν χωροῦσαν διάθεσιν ὁμολογοῦσα, οἷον γράφομαι τύπτομαι· οὐδετέρα δέ, ὡς τὰ τοιαῦτα, ζῶ πλουτῶ πυρέσσω· μέση δέ ἐστιν, ἧς ὁ τύπος καὶ ἐπὶ ἐνέργειαν καὶ ἐπὶ πάθος προάγεται, οἷον πέπηγα ἐγραψάμην· ἐμπεριεκτικὴ δέ ἐστιν ἡ ἀμφοτέρων τῶν διαθέσεων ἐπιδεικτική, ὡς ἔχει τὸ «βιάζομαι ὑπὸ σοῦ» καὶ τὸ «πορεύομαι διὰ σέ». —Καὶ ἄλλως. — Παθητικόν ἐστι τὸ ἐναντίον τῷ ἐνεργητικῷ, δι’ οὗ πάθος τι ἢ πάθει ὅμοιον σημαίνεται, οἷον 〈Eurip. Alc. 1118; cfr Troad. 564〉 καράτομος ἡ Γοργόνη ἡ τὸ κάρα τεμνομένη, 〈T 25〉 χαλκότυπος ὠτειλὴ ἡ ὑπὸ χαλκοῦ τυπτομένη. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνο υ. —Θεῖναί ἐστι τὸ ποιῆσαι, ὡς τὸ 〈α 2〉 ἄλγ ε ’ ἔθηκεν · ὅ ἐστι παρὰ τὸ θῶ, ἀφ’ οὗ θός καὶ θεός ὁ πάντων ποιητής· ὁ δὲ πλεονασμός, ἵνα μὴ μονοσύλλαβον ὄνομα βραχὺ ᾖ, οὐδὲ γὰρ ἔστιν ἕτερον ἢ τὸ τίς καὶ ἕν, δι’ ἀνάγκην, ὡς καὶ ἀπὸ τοῦ κλῶ κλός καὶ κύκλος διπλασιασμῷ· γίνεται δὲ θεός καὶ παρὰ τὸ ἑός, ὃ σημαίνει τὸν ἀγαθόν, ἑός καὶ θεός. Τὸ ἑπόμενον τοίνυν εἶπεν ὁ τεχνικὸς ἀπὸ τοῦ προηγουμένου, προηγεῖται γὰρ τὸ ποιεῖν τοῦ πάσχειν. Διάθεσις οὖν τὸ ποιῆσαι καὶ παθεῖν· ἡ μέση δὲ ἀμφότερα ταῦτα ἔχει. Τρεῖς δέ εἰσιν αἱ διαθέσεις, ἐπειδὴ καὶ τρία γένη ὀνομάτων, καὶ πέντε ἐγκλίσεις, ἐπειδὴ καὶ πέντε πτώσεις. Ὡς οὖν ἐπὶ τῶν γενῶν τὸ οὐδέτερον οὐκ ἦν φύσει, ἀλλὰ πρὸς τῶν γραμματικῶν διὰ τὴν φωνὴν ἐπινενοημένον, οὕτω καὶ ἐπὶ τῶν ῥημάτων ἡ μὲν ἐνέργεια καὶ τὸ πάθος διάθεσις, ἡ δὲ μέση ἢ ἑκάτερον ἢ οὐδέτερον.

247 Ἀναλογήσει οὖν ἄρρενι τὸ ἐνεργητικόν, θηλείᾳ δὲ τὸ παθητικόν· ἀρρένων γὰρ ᾗ ἀνδρείως πως ἐχόντων τὸ δρᾶν, θηλειῶν δὲ ᾗ θηλυδριωδῶς διακειμένων τὸ παθεῖν· ἡ δὲ μέση διάθεσις τοῖς οὐδετέροις εἰκασθήσεται, καὶ τοῖς μὲν ἀμφότερον ἐπιδεχομένοις γένος ὀνόμασι τὰ ἑκατέραν δηλοῦντα διάθεσιν ῥήματα, οἷον τῷ τέκος τὸ βιάζομαι, τοῖς δὲ μηδὲν τὸ μηδεμίαν διάθεσιν προσιέμενον, οἷον τῷ βέλος τὸ πλουτῶ. Λέγεται δὲ ἡ μὲν ἐνεργητικὴ πρὸς τῶν φιλοσόφων ὀρθή, ἡ δὲ παθητικὴ ὑπτία, ἐκ τῆς τῶν παλαιόντων μεταφορᾶς. Ἡ ἐνεργητικὴ δὲ πρώτη, ἐπεὶ παθητικόν ἐστι πρόσωπον τὸ ὁμολογοῦν τὴν εἰς αὐτὸ χωρήσασαν διάθεσιν. Εἴδη δὲ δύ ο , πρωτότυπον καὶ παράγωγον · πρωτότυπον μέ ν , οἷον ἄρδ ω , παράγωγον δ έ , οἷον ἀρδεύ ω.] Καὶ τὸ ῥῆμα δὲ εἴδη ἔχει, ὡς καὶ τὸ ὄνομα· καὶ ἐκεῖσε περὶ τούτου ἱκανῶς εἴρηται. Σχήματα τρί α , ἁπλοῦ ν , σύνθετο ν , παρασύνθετον · ἁπλοῦν μέ ν , οἷον φρον ῶ , σύνθετον δ έ , οἷον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταφρον ῶ , παρασύνθετον δ έ , οἷον ἀντιγονίζω φιλιππίζ ω. ] —Στεφάνο υ. —Τὸ καταφρονῶ σύνθετον, τὸ δὲ εὐφρονῶ παρασύνθετον, φρήν εὔφρων εὔφρονος εὐφρονῶ παρασύνθετον, φρονῶ ἁπλοῦν· κατὰ δὲ Φιλόξενον αὐτόθεν ἁπλοῦν· φρῶ γάρ φησι ῥῆμα δηλωτικὸν τοῦ προϊέναι, παρ’ ὃ καὶ φρήν ἡ προϊεμένη ἤγουν προπέμπουσα τὰ νοήματα, καὶ φρέαρ ἀφ’ οὗ προΐεται τὸ ὕδωρ, καὶ ἀφρός τοῦ α ἐπίτασιν δηλοῦντος· τί γὰρ τούτου μᾶλλον εἰς τὸ ἄνω προΐεται; τὸ δὲ καταφρονῶ σύνθετον, αἱ γὰρ προθέσεις μετὰ τῶν ῥημάτων ἐν συνθέσει εἰσίν. Ἀριθμοὶ τρεῖ ς , ἑνικό ς , δυϊκό ς , πληθυντικός · ἑνικὸς μέ ν , οἷον τύπτ ω . δυϊκὸς δ έ , οἷον τύπτετο ν , πληθυντικὸς δ έ , οἷον τύπτομε ν.] Καὶ περὶ τούτου εἴρηται. Πρόσωπα τρί α , πρῶτο ν , δεύτερο ν , τρίτον · πρῶτον μὲν ἀ φ ’ οὗ ὁ λόγο ς , οἷον λέγ ω , δεύτερον δὲ πρὸς ὃν ὁ λόγο ς , οἷον λέγει ς , τρίτον δὲ περὶ οὗ ὁ λόγο ς , οἷον λέγε ι.] Τὸ πρόσωπον οὐκ ἔστιν ἴδιον ῥήματος, ἀλλ’ ἀντωνυμίας· ἡ γὰρ ἀντωνυμία προσώπων ὡρισμένων ἐστὶ παραστατικὴ ἢ διὰ δείξεως ἢ δι’ ἀναφορᾶς, ἐγώ σύ δεῖξις, ἵ ἐκεῖνος αὐτός ἀναφορά· λέγω δὲ καὶ λέγεις ὥρισται, λέγει δὲ ἀόριστον, λείπει γὰρ τὸ τίς.

248 Τοῦτο δὲ τῆς ἀντωνυμίας ἴδιον, ὅτι πᾶσα ἀντωνυμία τρία πρόσωπα ἔχει, οὐ πᾶν δὲ ῥῆμα, ὡς τὰ προστακτικά, πρῶτον γὰρ οὐκ ἔχει πρόσωπον. Πρόσωπον δέ ἐστιν ἡ τῶν ὑποκειμένων διάστασις, ὡς ἡ Ὀππίου Μαξίμου διατριβή· ἢ οὕτως· πρόσωπόν ἐστι τὸ μετειληφὸς τῆς τοῦ ῥήματος διαθέσεως. Πρῶτον δέ ἐστι πρόσωπον τὸ ὑπὲρ ἑαυτοῦ ἀποφαινόμενον ἢ μόνου ἢ καὶ σὺν ἄλλοις, λέγω λεγόμεθον 〈λεγόμεθα〉 λέγομεν· δεύτερόν ἐστι πρὸς ὃν ἡ ἀπότασις ὑπὲρ αὐτοῦ ἢ μόνου ἢ καὶ σὺν ἄλλοις, οἷον λέγεις λέγεσθον λέγεσθε λέγετε· τρίτον ἐστὶν ὃ μήτε ὑπὲρ ἑαυτοῦ ἀποφαίνεται μήτε πρὸς ὃν ὁ λόγος ἐστίν. Ἀπὸ δὲ 〈τοῦ〉 πρώτου προσώπου ἀρχόμεθα, ἐπειδὴ τὸ δεύτερον καὶ 〈τὸ〉 τρίτον ἐκ τοῦ πρώτου προφέρονται. Χρόνοι τρεῖ ς , ἐνεστώ ς , παρεληλυθώ ς , μέλλω ν.] Ἀνάγκη ἐστὶ τὸ ῥῆμα χρόνους ἔχειν· εἰ γὰρ τὸ ῥῆμα πρᾶγμά ἐστι, τὸ δὲ πρᾶγμα ἐνέργειαν ἢ πάθος ἐπαγγέλλεται, ἀνάγκη τὸ γινόμενον ἢ κατὰ πάθος ἢ κατ’ ἐνέργειαν καὶ χρόνους ἔχειν. Εἰσὶ δὲ τρεῖς, κατὰ δὲ τὸν ἀληθῆ λόγον δύο, ὅ τε παρεληλυθὼς καὶ ὁ μέλλων· τὸ γὰρ πραττόμενον ἢ πέπρακται ἢ μέλλει, οὐδέποτε δὲ ἐνίσταται· καὶ γὰρ οἱ φιλόσοφοι δύο ὁρίζονται· φασὶ γάρ, εἰ ὁ πόλος κινούμενος τὸν χρόνον ἀπεργάζεται, ἐν κινήσει δὲ οὗτος ἀεὶ καὶ ἐνίσταται οὐδέποτε, οὐκ ἔστιν ἄρα ἐνεστώς. Ἡ δὲ ἐκ τῆς γραμματικῆς ἀκριβεστάτη κρίσις ὁρίζεταί τινα ἀκαριαῖον χρόνον καὶ ὀνομάζει ἐνεστῶτα, ἵνα τὰς κλίσεις τὰς ῥηματικὰς ἀκολούθως δυνηθῇ μετὰ τῆς ἐχούσης ἀκριβείας παραδιδόναι· ὃν γὰρ τρόπον ἐπὶ τῶν ὀνομάτων ἀπὸ τοῦ ἑνικοῦ ἀριθμοῦ τὴν ἀρχὴν τῆς κλίσεως παραδίδωσι καὶ τῆς ὀρθῆς λεγομένης πτώσεως, οὕτω καὶ ἐπὶ τοῦ ῥήματος ἀπὸ τοῦ ἐνεστῶτος, φημὶ τοῦ ἐπινενοημένου, τὴν ἀρχὴν τῆς κινήσεως ποιεῖσθαι ἐπιχειρεῖ, ὡς τρεῖς γίνεσθαι χρόνους. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνο υ . —Χρόνος ἐστὶ καιρῶν κύκλος ἤτοι ὡρισμένος ἢ ἀόριστος, ὡρισμένος μὲν ὡς ὁ ἐνεστώς, ἀόριστος δὲ ὡς ὁ παρῳχημένος· ἢ οὕτως· χρόνος ἐστὶν ἡ τῆς αἰωνίου ῥύσεως ἐπίνοια· τινὲς δὲ εἶπον ἡμερινὸν καὶ νυκτερινὸν φάντασμα.

249 Οἱ φιλόσοφοι δὲ δύο ἴσασι μόνους, παρῳχημένον καὶ μέλλοντα· ἐνεστὼς γάρ, φασίν, οὐκ ἔστιν, ἐπεὶ ἀεὶ ὁ χρόνος ἐν κινήσει ἐστίν· εἰ γὰρ ὁ χρόνος ἐστὶ κίνησις οὐρανοῦ, ἄστατος δὲ ὁ οὐρανός, οὐκ ἔστιν ἐνεστώς. Εἰ δὲ χρόνον ὁρίζομεν διάστημα τῆς τοῦ κόσμου κινήσεως, ἐν ἀκαριαίῳ νοηθήσεται ὁ ἐνεστώς, περιέχων τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα. Εἰ δέ τις ζητοίη, πῶς μὴ ἀπὸ παρῳχημένου ἀρχόμεθα, ὡς φύσει προτέρου ὄντος τοῦ ἐνεστῶτος, ἴστω ὡς ὁ ἐνεστὼς τὸ θέμα ἐστὶ τοῦ ῥήματος, ἀφ’ οὗ πᾶσαι αἱ κινήσεις· διὸ προετάγη· ἄλλως τε καὶ ὁ παρῳχημένος ἦν ποτε ἐνεστώς. Τούτων ὁ παρεληλυθὼς ἔχει διαφορὰς τέσσαρα ς , παρατατικό ν , παρακείμενο ν , ὑπερσυντέλικον καὶ ἀόριστο ν.] Παρατατικός ἐστι καθ’ ὃν ὁ μὲν χρόνος παρῴχηται, τὸ δὲ ἔργον μετὰ παρατάσεως πέπρακται, οἷον ἔτυπτον ἔπειθον ἐπαίδευον· ὁ δὲ παρακείμενος νοεῖται ἀπὸ τοῦ παρακεῖσθαι καὶ ἐγγὺς εἶναι τοῦ ἐνεστῶτος τὴν πρᾶξιν αὐτοῦ· δηλοῖ γὰρ τὸ μὴ πρὸ

πολλοῦ τοῦ χρόνου πεπρᾶχθαι τὸ πρᾶγμα, ἡ δὲ δύναμις αὐτοῦ τῆς συντελείας θεωρεῖται· ὁ δὲ ἀόριστος οὐδὲν ὡρισμένου χρόνου ἐμφαίνει, ὡς οἱ ὑποκείμενοι, ἀλλὰ σὺν μὲν τῷ ἄρτι ταὐτὸν δύναται τῷ παρακειμένῳ, 〈οἷον τέτυπα〉 —ἔτυψα ἄρτι, 〈σὺν〉 τῷ δὲ πάλαι ἴσον δύναται τῷ ὑπερσυντελίκῳ, οἷον ἐτετύπειν— 〈ἔτυψα〉 πάλαι. Ὁ δὲ μέλλων παρὰ μὲν ἡμῖν 〈ἁπλῶσ〉 νοητέον, 〈οἷον〉 τύψω πείσω παιδεύσω· παρὰ δὲ τοῖς Ἀττικοῖς καὶ ἄλλως λέγεται μετ' ἐννοίας καὶ προσηγορίας τοῦ μετ' ὀλίγον, οἷον τετύψομαι πεπείσομαι 〈πε〉 παιδεύσομαι. Ἄξιον δὲ ζητῆσαι, τίνος ἕνεκα τὸν ἐνεστῶτα οὐ τέμνει οὔτε τὸν μέλλοντα. Λέγομεν ὅτι τὸν ἐνεστῶτα τεμεῖν οὐκ ἠδύνατο, ἐπείπερ αὐτῷ τὴν ἀρχὴν ἐκινδύνευε μηδὲ εἶναι, τὸν μέλλοντα δέ, ὅτι ἀγνοοῦντές ἐσμεν περὶ τοῦ μέλλοντος· πῶς οὖν ἐνδέχεται τὸν μηδέπω ἐπιστάντα ἢ γνωσθέντα καταμερίζεσθαι; ὥστε ὁμολογουμένως τὸν ἤδη ἡμῖν προγνωσθέντα μόνον διελεῖν ἠδυνήθη. Ὧν συγγένειαί εἰσι τρεῖ ς , ἐνεστῶτος πρὸς παρατατικό ν , παρακειμένου πρὸς ὑπερσυντέλικο ν , ἀορίστου πρὸς μέλλοντ α.] Τέσσαρά 〈φησι τοῦ παρεληλυθότοσ〉 εἶναι τμήματα, παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον, ἀόριστον.

250 Πρὸς τούτοις δὲ καὶ συγγενείας αὐτοῖς περιτίθησι, λέγων τὸν ἐνεστῶτα συγγενῆ εἶναι τῷ παρατατικῷ καὶ τὸν παρακείμενον τῷ ὑπερσυντελίκῳ καὶ τὸν ἀόριστον τῷ μέλλοντι. Τούτων κατὰ δύο τρόπους ἔστι καταλαβεῖν ἡμᾶς τὴν ἀλήθειαν, κατὰ τὴν φωνὴν καὶ κατὰ τὸ σημαινόμενον· 〈καὶ〉 κατὰ μὲν φωνήν ἐστιν ὁ ἐνεστὼς τῷ παρατατικῷ συγγενής, ὅτι μικρὸν τῆς φωνῆς παρατρέψας τοῦ ἐνεστῶτος καὶ προσθεὶς ἢ καὶ μὴ προσθεὶς ἀπεργάσῃ τὸν παρατατικόν· οἷον τύπτω· τὴν 〈γὰρ〉 τελευταίαν τρέψας εἰς ον καὶ προσθεὶς ἔξωθεν τὸ ε ἀποτελεῖς τὸν παρατατικόν· «ἢ μὴ προσθείς» εἶπον διὰ τὸ τοιοῦτον· ἠχῶ, καὶ μόνον τὸ τέλος εἰς ουν μετατρέψας εὑρήσεις τὸν παρατατικόν. Τῷ δὲ σημαινομένῳ πάλιν εἰσὶ συγγενεῖς οὕτως· ὁ ἐνεστὼς τὸ προσφάτως πραττόμενον ὑποφαίνει, ὁ δὲ παρατατικὸς τοῦ πράγματος τὸ μὲν ἔχει ἤδη γεγονός, τὸ δὲ ἔτι γινόμενον, καὶ ἐν τῷ ἔτι γίνεσθαι τῷ ἐνεστῶτι κοινωνεῖ. Συγγενὴς δὲ ὁ παρακείμενος τῷ ὑπερσυντελίκῳ· μικρὸν γὰρ παρατρέψας τοῦ τέλους καὶ προσθεὶς ἢ καὶ μὴ προσθεὶς [ὁμοίως] εὑρίσκεις τὸν ὑπερσυντέλικον. Ὁμοίως καὶ ὁ ἀόριστος τῷ μέλλοντι, κατὰ μὲν φωνήν, ὅτι τοῦ αὐτοῦ συμφώνου τὴν χορηγίαν ἔχουσιν· ἐὰν γὰρ ἔχῃ ὁ μέλλων τὸ ψ , καὶ ὁ ἀόριστος, εἰ δὲ ξ , κἀκεῖνος ὁμοίως· πάλιν κατὰ φυσικὸν λόγον, ὅτι ἀμφότεροι ἀόριστοί εἰσι· καὶ γὰρ εἰ εἴποις «ἔτυψα», οὐχ ὡρίσω τὸν καιρὸν, πλὴν ὅτι πέπραχας· καὶ πάλιν ἐὰν εἴπῃς «τύψω», οὐδὲ οὕτως ἐσήμανας τὸν καιρόν, εἰ μὴ μόνον ὅτι τύψεις· τὸ δὲ πότε οὐ δηλοῖς. Ὁ δὲ παρακείμενος καὶ ὁ ὑπερσυντέλικος συγγενεῖς εἰσι διὰ τοῦ ὁρίζειν· ὁρίζουσι γὰρ ἀμφότεροι τὸ πότε, ὁ μὲν τῷ ἄρτι, ὁ παρακείμενος, ὁ δὲ τῷ πάλαι, ὁ ὑπερσυντέλικος. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνο υ. —Τὸν ἐνεστῶτα οἱ Στωϊκοὶ ἐνεστῶτα παρατατικὸν ὁρίζονται, ὅτι παρατείνεται καὶ εἰς 〈παρεληλυθότα καὶ εἰσ〉 μέλλοντα· ὁ γὰρ λέγων «ποιῶ» καὶ ὅτι ἐποίησέ τι ἐμφαίνει καὶ ὅτι ποιήσει· τὸν δὲ παρατατικὸν παρῳχημένον παρατατικόν· ὁ γὰρ 〈λέγων〉 «ἐποίουν» ὅτι τὸ πλέον ἐποίησεν ἐμφαίνει, οὔπω δὲ πεπλήρωκεν, ἀλλὰ ποιήσει μέν, ἐν ὀλίγῳ δὲ χρόνῳ· εἰ γὰρ τὸ παρῳχημένον πλέον, τὸ λεῖπον ὀλίγον· ὃ καὶ προσληφθὲν ποιήσει τέλειον παρῳχηκότα, τὸν γέγραφα, ὃς καλεῖται παρακείμενος διὰ τὸ πλησίον ἔχειν τὴν συντέλειαν τῆς ἐνεργείας· ὁ τοίνυν ἐνεστὼς καὶ παρατατικὸς ὡς ἀτελεῖς ἄμφω συγγενεῖς, διὸ καὶ τοῖς αὐτοῖς συμφώνοις χρῶνται, οἷον τύπτω ἔτυπτον.

251 Ὁ δὲ παρακείμενος καλεῖται ἐνεστὼς συντελικός, τούτου δὲ παρῳχημένος ὁ ὑπερσυντέλικος· ἐπεὶ οὖν ἑκάτερος τελείως παρῴχηται, συγγενεῖς καὶ τοῖς χαρακτηριστικοῖς στοιχείοις χρώμενοι τοῖς αὐτοῖς φαίνονται, οἷον τέτυφα ἐτετύφειν· ὥσπερ δὲ ὁ ἐποίουν πλέον ἔχει [τὸ παρῳχημένον] πρὸς τὸν ποιῶ, οὕτω καὶ ὁ ἐπεποιήκειν πρὸς τὸν πεποίηκα. Ὁ δὲ ἀόριστος κατὰ τὴν ἀοριστίαν τῷ μέλλοντι συγγενής· ὡς γὰρ τοῦ ποιήσω τὸ ποσὸν τοῦ μέλλοντος ἀόριστον, οὕτω τοῦ ἐποίησα τὸ τοῦ παρῳχημένου. Τοῦ ἄρτι τοίνυν τῷ ἀορίστῳ διδομένου γίνεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρακείμενος, οἷον ἐποίησα ἄρτι—πεποίηκα, τοῦ δὲ πάλαι προσνεμομένου ὁ ὑπερσυντέλικος γίνεται, οἷον ἐποίησα πάλαι—ἐπεποιήκειν· ἀλλ' ἐπεὶ καὶ τοῦτο τὸ πάλαι ἀόριστον, δεῖ προσνέμειν αὐτῷ τὸν διορισμὸν τοῦ ποσοῦ, οἷον πρὸ δύο ἐτῶν, πρὸ πέντε, πρὸ δέκα, καὶ ἐπαναβεβηκότα· τῷ δὲ μέλλοντι διασάφησις τοῦ ποσοῦ τῆς μελλήσεως ὁ παρὰ τοῖς Ἀττικοῖς μετ' ὀλίγον μέλλων, οἷον βεβρώσεται εὑρήσεται πεπράξεται. Ἀόριστος δὲ ἐκλήθη πρὸς ἀντιδιαστολὴν τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου ὁριζόντων τοῦ χρόνου τμῆμα, τοῦ μὲν τὸ ἄρτι συννοούμενον ἔχοντος, οὐ λεγόμενον, τοῦ δὲ ὑπερσυντελίκου τὸ πάλαι. Εἰ δέ τις ἀπορήσειε, πῶς ὁ μέλλων 〈τὴν〉 τοῦ μέλλοντος ἀοριστίαν ἔχων οὐ καλεῖται μέλλων ἀόριστος, ἴστω παρὰ πόδας ἔχων τὴν λύσιν· ὁ ἀόριστος ἐπ' ἀναιρέσει τῶν ὁριζόντων εἴρηται, τοῦ δὲ μέλλοντος ὡς μέλλοντος οὐδὲν τέθειται· πῶς οὖν τὸ μὴ τεθὲν ἔμελλεν ἀναιρεῖσθαι διὰ τῆς ἀοριστίας; § 14 (16. 17. 18b). Περὶ συζυγίας. Στεφάνο υ . —Συζυγία ἐστὶν ἀκόλουθος ῥημάτων κλίσι ς.] Ἡ συζυγία οὐκ ἔστι μέρος λόγου· οὐδὲ γὰρ αὐτὸς ὁ τεχνικὸς ἔταξεν αὐτὴν ἐν τοῖς μέρεσι τοῦ λόγου· ἀλλ' ἔστι τῶν παρεπομένων τῷ ῥήματι. Ἐπειδὴ δὲ ὁ περὶ ταύτης λόγος πλείονος ἀκριβείας ἐδεῖτο καὶ παραδόσεως, πρὸς εἰσαγομένους διαλεγόμενος ἀναγκαῖον ἡγήσατο ἐν τῷ μέσῳ στῆναι τοῦ ῥήματος, φάσκων περὶ συζυγίας, ὡς ἐκ μεταφορᾶς τῶν ὁδοιπορούντων καὶ ἐν ὁδῷ εὑρισκόντων οἴκησιν πρὸς ὀλίγον χρόνον καταλῦσαι, ἕως ἑξῆς τὴν πορείαν ποιήσονται.

252 Ὅπερ δὲ ἐν τοῖς ὀνόμασιν ὁ χαρακτήρ, τοῦτο ἐν τοῖς ῥήμασιν ἡ συζυγία· ἀπὸ γὰρ ταύτης μανθάνομεν καὶ τὴν τοῦ ῥήματος δύναμιν· αὕτη γάρ ἐστι κανὼν καὶ ἀναλογία τῆς κλίσεως αὐτῶν. Εἴρηται δὲ 〈συζυγία〉 μεταφορικῶς ἀπὸ τῶν ὑποζυγίων, ἃ ὑπὸ τὸν αὐτὸν ζυγὸν ὄντα ἴσον δρόμον ποιεῖται, ὡς καὶ τούτων ὅσα ὑπὸ τὴν αὐτὴν ἀνάγεται συζυγίαν μίαν ποιεῖται τὴν κλίσιν. Ὁρίζονται δὲ αὐτὴν οὕτως· «συζυγία ἐστὶν ἀκόλουθος ῥημάτων κλίσις». Τάξει δὲ συμφώνων ἐν τῷ πρώτῳ τοῦ θέματος κανονίζεται, ὡς ἐπὶ τῶν βαρυτόνων· ἢ διφθόγγῳ ἐν τῷ δευτέρῳ, ὡς ἐπὶ τῶν περισπωμένων· ἢ παραφυλακῇ θεματικοῦ φωνήεντος ἐν παραλήξει παθητικοῦ τύπου, ὡς ἐπὶ τῶν εἰς μι , τιθέω τίθεμαι, ἱστάω ἵσταμαι, διδόω δίδομαι, ζευγνύω ζεύγνυμαι. Εἰσὶ δὲ συζυγίαι βαρυτόνων μὲν ῥημάτων ἕ ξ.] Ἄξιόν ἐστι ζητῆσαι, τίνος ἕνεκα προτετίμηται τὰ βαρύτονα. Καὶ ῥητέον ὅτι γνήσιά ἐστιν· εἰ γάρ τις ἀναλύσει τὰ περισπώμενα καὶ ἀναπτύξει τὸ ὑγιὲς τῆς φωνῆς, εὑρίσκει καὶ αὐτὰ βαρύτονα· καὶ τὰ εἰς μι ὁμοίως. Ὧν ἡ μὲν πρώτη ἐκφέρεται διὰ τοῦ β ἢ π ἢ φ ἢ π τ , οἷον λείβω τέρπω γράφω κόπτ ω.] «Ἐκφέρεται» οἱονεὶ εἰς φῶς ἔρχεται· ἀπὸ θέματος, φησί, καὶ οἱονεὶ ἀφετηρίας προέρχεται, ἐκ μεταφορᾶς τῶν ἁμιλλητηρίων ἵππων. Αἱ πᾶσαι συζυγίαι εἰσὶ δεκατρεῖς, ἓξ βαρύτονοι, περισπώμεναι τρεῖς, τῶν εἰς μι τέσσαρες· τὰ βαρύτονα δὲ πρῶτον θετέον, ἐπεὶ τὰ περισπώμενα ἐξ αὐτῶν καὶ τὰ εἰς μι . 〈Stephani.〉 —Ἡ πρώτη, φησί, διὰ τοῦ πρώτου συμφώνου τοῦ β μέσου καὶ τῶν συγγενῶν, τοῦ π ψιλοῦ καὶ τοῦ φ δασέος· ὁ μέλλων δὲ διὰ τοῦ ψ , ἐπεὶ καὶ τὰ εἰς ψ λήγοντα ὀνόματα διὰ τοῦ β π φ κλίνεται, οἷον λίψ λιβός, κλώψ κλωπός, Κίνυψ Κίνυφος. Ἡ δὲ δευτέρα διὰ τοῦ γ ἢ κ ἢ χ ἢ κ τ , οἷον λέγω πλέκω τρέχω τίκτ ω.] Ἡ δευτέρα διὰ τοῦ δευτέρου συμφώνου τοῦ γ μέσου, κ ψιλοῦ καὶ χ δασέος· ὁ μέλλων δὲ διὰ τοῦ ξ , ὅτι καὶ τὰ εἰς ξ περατούμενα 〈ὀνόματα〉 διὰ τούτων κλίνεται, κῆρυξ κήρυκος, ὄρτυξ ὄρτυγος, ὄνυξ ὄνυχος. Ἡ δὲ τρίτη διὰ τοῦ δ ἢ θ ἢ τ , οἷον ᾄδω πλήθω ἀνύτ ω.] Διὰ τοῦ 〈τρίτου συμφώνου τοῦ〉 δ, φησίν, ἡ τρίτη μέσου ὄντος, τ ψιλοῦ καὶ θ δασέος· ὁ μέλλων δὲ διὰ τοῦς · καὶ γὰρ τὰ εἰς ς λήγοντα ὀνόματα δι' αὐτῶν τὴν κίνησιν ποιεῖται, οἷον Πάρις Πάριδος, ὄρνις ὄρνιθος, χάρις χάριτος.

253 Ἡ δὲ τετάρτη διὰ τοῦ ζ ἢ δύο σ ς , οἷον φράζω νύσσω ὀρύσσ ω.] Διὰ τοῦ ζ μὲν ἐκφέρεται αὕτη, ἐπειδὴ τέταρτόν ἐστι σύμφωνον· διὰ δὲ τῶν δύο σς ἐκφέρεται, ἵνα διπλασιασθέντος τοῦ ς τὴν ἴσην δύναμιν ἔχῃ τοῦ ζ διπλοῦ ὄντος. Ἡ δὲ πέμπτη διὰ τῶν τεσσάρων ἀμεταβόλων λ μ ν ρ , οἷον πάλλω νέμω κρίνω σπείρ ω.] Διὰ τῶν τεσσάρων ἀμεταβόλων αὕτη ἐκφέρεται· ἐπειδὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈γὰρ〉 κατείληπτο τὸ θ ἐν τῇ τρίτῃ συζυγίᾳ καὶ τὸ κ ἐν τῇ δευτέρᾳ, διὰ τοῦτο προσέλαβε τὸ λ καὶ σὺν αὐτῷ τὰ λοιπὰ ἀμετάβολα. Ἡ δὲ ἕκτη διὰ καθαροῦ τοῦ ω , οἷον ἱππεύω πλέω βασιλεύ ω.] Διὰ καθαροῦ τοῦ ω ἐξηνέχθη, ἐπειδὴ προκατηναλώθησαν ἐν ταῖς λοιπαῖς συζυγίαις τὰ σύμφωνα. Τινὲς δὲ ἑβδόμην συζυγίαν εἰσάγουσι διὰ τοῦ ξ καὶ ψ , οἷον ἀλέξω ἕψ ω.] Εἰρήκαμεν ὅτι ἐπὰν μὴ ἀρέσκηται δόξῃ ὁ τεχνικός, προστίθησι τὸ «τινές». Διὰ τί δὲ μὴ ἀρεσκόμενος τάττει καὶ ἐντίθησι ζιζάνια; Ἵνα μὴ τοῖς πολλοῖς δοκῇ κατ’ ἄγνοιαν παραπέμπεσθαι. Ὅτι δὲ διὰ τοῦ ξ καὶ ψ οὐκ ἔστι συζυγία βαρύτονος, ἐκ τῆς κλίσεως ἔστι διδαχθῆναι· τὰ 〈γὰρ〉 βαρύτονα ῥήματα κατὰ τὸν μέλλοντα ἰσοσύλλαβά εἰσι τοῖς θέμασιν, οἷον τύπτω τύψω, λέγω λέξω, ᾄδω ᾄσω, τὰ δὲ περισπώμενα πλεονάζει μιᾷ συλλαβῇ κατὰ τὸν μέλλοντα, νοῶ νοήσω, βοῶ βοήσω, ποιῶ ποιήσω· εἰ οὖν εὑρίσκεται ἀλεξήσω καὶ ἑψήσω ὁ μέλλων, ὁμολογουμένως περισπώμενά εἰσιν· ὁ δὲ βαρύτονος τούτων τόνος Ἀττικῶν ἐστιν. Περισπωμένων δὲ ῥημάτων συζυγίαι εἰσὶ τρεῖ ς , ὧν ἡ μὲν πρώτη ἐκφέρεται ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τῆς ει διφθόγγο υ , οἷον νοῶ νοεῖς νοε ῖ.] Τὰ περισπώμενα δυνάμει βαρύτονά εἰσιν. Οὐκ ἄπορον οὖν, διὰ τί τῶν περισπωμένων αἱ συζυγίαι οὐ κατὰ τάξιν τῶν φωνηέντων προέρχονται, ὡς αἱ τῶν βαρυτόνων κατὰ τάξιν τῶν συμφώνων ἐτυπώθησαν· ἐπεὶ γὰρ πάντων τῶν βαρυτόνων τὸ δεύτερον πρόσωπον τὴν ει δίφθογγον εἶχεν, εἰκότως ἐν τῇ πρώτῃ τῶν περισπωμένων ἔλαχεν αὕτη· ἀλλὰ καὶ ὅτι ἡ δευτέρα τῶν περισπωμένων ἐργωδεστέρα ἦν καὶ πλείονος τεχνολογίας δεομένη, ἁπλουστέρα δὲ ἡ διὰ τῆς ει διφθόγγου· καὶ ὅτι ἡ διὰ τῆς ει πλείονας ἔχει φωνὰς [παρακειμένων μέσων ἀορίστων], ἡ δὲ δευτέρα ἐλάττους, 〈καὶ〉 ἡ τρίτη ἔτι ἐσπάνισεν. Ὅθεν οὕτως αὐτῶν ἡ τάξις ἐτέθη, καὶ εὐλόγως προετέθη ἡ ει δίφθογγος· κἂν γὰρ μεταχθῶσι βαρύτονα ῥήματα εἰς περισπώμενα, εἰς ταύτην μετάγονται, ῥίπτω ῥιπτῶ ῥιπτεῖς ῥιπτεῖ.

254 Τῶν δὲ εἰς μι ῥημάτων συζυγίαι εἰσὶ τέσσαρε ς , ὧν ἡ μὲν πρώτη ἐκφέρεται ἀπὸ τῆς πρώτης τῶν περισπωμένω ν.] Τὰ εἰς μι λήγοντα ῥήματα ἀεί ποτε ἐν παραγωγῇ εἰσιν, οὐδέποτε δὲ ἐν πρωτοτύποις· ἔχει δὲ τὴν παραγωγὴν ἢ ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων ἢ μιᾶς τῶν περισπωμένων. Καὶ λέγει ὁ τεχνικὸς τὴν μὲν πρώτην ἀπὸ τῆς πρώτης, τὴν δὲ δευτέραν ἀπὸ τῆς δευτέρας, τὴν δὲ τρίτην ἀπὸ τῆς τρίτης 〈τῶν περισπωμένων παρῆχθαι〉 , τὴν δὲ τετάρτην ἀποφαίνεται ἐκ τῆς ἕκτης τῶν βαρυτόνων ἀποτελεῖσθαι. Καὶ τίνος ἕνεκα αἱ μὲν ἄλλαι ἀπὸ τῶν περισπωμένων, ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων; Καὶ λέγομεν ὅτι τὰ περισπώμενα τρεῖς μόνας εἶχε συζυγίας, ὥστε τὰς τρεῖς ἀπὸ τῶν τριῶν γεγενῆσθαι· εἰ γὰρ τέσσαρας εἶχε, καὶ ἡ τετάρτη τῶν εἰς μι ἐκεῖθεν ἐγίνετο. Εἴ τις δὲ ἐθελήσειε τῇ ἀκριβείᾳ ἐπιβαλεῖν, καὶ τὰς ἄλλας τρεῖς εὑρήσει ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων ἀποτελουμένας. Ἔχουσι δὲ τὴν διάκρισιν οὐκ ἀπὸ συμφώνου παραλήγοντος τοῦ πρώτου προσώπου, ὥσπερ αἱ συζυγίαι τῶν βαρυτόνων· ἀλλ’ οὐδὲ μὴν ἀπὸ τῶν δευτέρων προσώπων, καθάπερ τὰ περισπώμενα· ἀλλὰ καὶ αὐτὰ ἰδιαζούσης 〈δια〉 κρίσεως τετύχηκεν· ἀπὸ γὰρ τῶν παθητικῶν πρώτων προσώπων τοῦ ἐνεστῶτος χρόνου τὴν διάκρισιν ἔχουσι. Φιλεῖ δὲ τὰ εἰς μι λήγοντα ῥήματα τὸ παθητικὸν πρῶτον πρόσωπον βραχείᾳ παραλήγεσθαι· 〈καὶ〉 συστέλλεται μὲν τῆς πρώτης συζυγίας ἡ παραλήγουσα εἰς τὸ ε , ὡς τὸ τίθεμαι, τῆς δευτέρας εἰς βραχὺ τὸ α , ὡς τὸ ἵσταμαι, τῆς τρίτης εἰς τὸ ο , οἷον δίδομαι· ἡ τετάρτη τὸ αὐτὸ δίχρονον φυλάττει. § 15 (19b). Περὶ μετοχῆς. 〈Stephani.〉 — Μετοχή ἐστι λέξις μετέχουσα 〈τῆσ〉 τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητο ς. ] Ἀναγκαίαν ἡ μετοχὴ τὴν τάξιν εἴληχεν · εἰ γὰρ ὀνόματός τε καὶ ῥήματος αὐτήν φαμεν μετέχει ν , δίκαιον καὶ αὐτὴν ταγῆναι με τ ’ ἐκεῖνα τὰ μέρ η , ὧν δοκεῖ μετέχει ν . Λέγει δὲ εἶναι λέξιν καὶ αὐτήν · ταὐτὸν γάρ ἐστι λέξις καὶ μέρος 〈λόγου 〉 . Παρέπεται δὲ αὐτῇ ταῦτα ἃ καὶ τῷ ὀνόματι καὶ τῷ ῥήματι δίχα προσώπων τε καὶ ἐγκλίσεω ν.

255 ] Ἔχει γὰρ τοῦ μὲν ὀνόματος τὸ γένος καὶ τὰς πτώσεις, τοῦ δὲ ῥήματος τοὺς χρόνους, 〈τὰς διαθέσεις καὶ τὰς συζυγίασ〉 · ὥστε αὐτὴν δικαίως μετοχὴν ὀνομάζεσθαι. Καὶ ἐν μὲν τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλοις μέρεσι τοῦ λόγου ἔστιν εὑρέσθαι καὶ πρωτότυπα καὶ παράγωγα, ἐπὶ μὲν ὀνόματος, ὡς τὸ λίθος καὶ τὸ λίθινος, ἐπὶ δὲ ῥήματος, ὡς τὸ ὄπτω ὀπτεύω, καὶ ἐπὶ τῶν ἄλλων μερῶν 〈ὡσαύτωσ〉 · ἐν δὲ τῇ μετοχῇ οὐκ ἔστιν εὑρεῖν πρωτότυπον, ἀεὶ γὰρ ἐν παραγωγῇ ἐστιν· οὐκ ἔστι γὰρ εὑρεῖν μετοχὴν μὴ προϋπάρχοντος ῥήματος. Διαφέρει δὲ καὶ κατὰ γένος τοῦ ὀνόματος, καθὸ ἐν μὲν τοῖς ὀνόμασι τινὰ 〈μέν〉 ἐστι μονογενῆ, τινὰ δὲ κοινά, τινὰ δὲ καὶ τριγενῆ, ἡ μέντοι μετοχὴ τὴν τριγένειαν ἠσπάσατο, 〈ὁ〉 τύπτων γὰρ καὶ 〈ἡ〉 τύπτουσα καὶ τὸ τύπτον· εἰ γὰρ ἀπὸ ῥημάτων τὴν γένεσιν ἔχει, ῥημάτων δὲ τὰ πράγματα ἐπιτρέχει εἰς ἄνδρας καὶ γυναῖκας καὶ παιδία—πᾶν γὰρ πρόσωπον καὶ ἀνὴρ καὶ γυνὴ καὶ παιδίον ποιεῖ τι—, ἔχει οὖν τὴν τριγένειαν, χωρὶς ἐκείνων, ἐφ᾽ ὧν ἡ φύσις ἐναντιοῦται. Τοῦτο δὲ ἔφην διὰ τὸ ἐκτροῦσα· ταύτης γὰρ τῆς μετοχῆς ἡ φωνὴ κατὰ τὸ ἄρρεν οὐ συνίσταται, ἡ φύσις γὰρ ἐναντιοῦται· ἐπὶ ἀρρένων γὰρ τὸ τοιοῦτο πάθος οὐ συμβέβηκεν. Παρέπεται δὲ τῇ μετοχῇ πάντα τὰ τοῦ ῥήματος δίχα τῶν προσώπων καὶ ἐγκλίσεων· ὅπου γὰρ γένος, ἐκεῖ πρόσωπον οὐ συνίσταται· ἐγκλίσεις δὲ οὐκ ἠδύνατο ἔχειν ἡ μετοχή, ἐπείπερ ἀπὸ τῶν ῥημάτων μετενήνεκται ἐπὶ τὴν τῶν ὀνομάτων κατάληξιν· τὰ γὰρ ῥήματα τὸ πρᾶγμα σημαίνουσι καὶ τὸ πρόσωπον μετειληφὸς τοῦ πράγματος, ἐνταῦθα 〈δὲ〉 πτωτικὸν γενόμενον μόνην τὴν ποιότητα ἐμφαίνει. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Μετοχὴ εἴρηται, ὅτι μετέχει τῶν τοῦ ὀνόματος καὶ 〈τῶν τοῦ〉 ῥήματος ἰδιωμάτων. Ῥήματος μὲν οὖν ἔχει χρόνους, οἷον λέγω λέγων, λέξω 〈λέξων〉 , ἔλεξα λέξας· διαθέσεις, ἐνεργητικὴν μὲν λέγων, παθητικὴν δὲ τυπτόμενος, μέσην δὲ τυψόμενος· εἴδη, πρωτότυπον 〈μὲν〉 ἄνων ἀπὸ τοῦ ἄνω, παράγωγον δὲ ἀπὸ τοῦ ἀνύω ἀνύων· σχήματα, ἁπλοῦν λέγων, 〈σύνθετον καταλέγων〉 , παρασύνθετον φιλιππίζων· ἀπὸ γὰρ συνθέτου 〈τοῦ〉 Φίλιππος γέγονε ῥῆμα τὸ φιλιππίζω, τὰ δὲ ἀπὸ συνθέτων γινόμενα λέγονται παρασύνθετα· ἀριθμούς, ἑνικὸν τύπτων, δυϊκὸν τύπτοντε, πληθυντικὸν τύπτοντες· συζυγίας ἔχει, πρώτην μὲν οἷον τύπτων, ἐπεὶ τὸ π ἔχει· δευτέραν λέγων, ἐπεὶ τὸ γ ἔχει· τρίτην δὲ ᾄδων, ἐπεὶ τὸ δ ἔχει· τετάρτην φράζων, διὰ τοῦ ζ, καὶ 〈πέμπτην〉 πάλλων, δι᾽ ἀμεταβόλου· βασιλεύων ἕκτην.

256 Καλῶς δὲ εἶπε «καὶ τῆς τῶν ὀνομάτων»· μετέχει γὰρ καὶ τῶν παρεπομένων τῷ ὀνόματι· γένη γὰρ ἔχει, ὁ νοῶν, ἡ νοοῦσα, τὸ νοοῦν· εἴδη, ἄρδων πρωτότυπον καὶ ἀρδεύων παράγωγον· σχήματα, ἁπλοῦν μὲν φρονῶν, σύνθετον δὲ καταφρονῶν, παρασύνθετον δὲ ἀντιγονίζων· ἀριθμούς, οἷον 〈ἀγνοῶν ἀγνοοῦντε〉 ἀγνοοῦντες· πτώσεις, οἷον τύπτων 〈τύπτοντοσ〉 καὶ τὰ ἑξῆς. § 16 (20b). Περὶ ἄρθρου. 〈Stephani.〉 Πρῶτον ὁ τεχνικὸς εἶπε περὶ ὀνόματος, εἶτα περὶ ῥήματος, εἶθ᾽ οὕτω τρίτον περὶ μετοχῆς ἀναγκαίως, ἐπεὶ μετέχει τοῦ τε ὀνόματος καὶ τοῦ ῥήματος· ὅθεν τὸ ἄρθρον τέταρτον, ἐπειδὴ συναρτᾶται τῷ ὀνόματι. Προτέτακται δὲ τὸ ἄρθρον τῆς ἀντωνυμίας· ἡ μὲν γὰρ ἀντωνυμία ἀντὶ τοῦ ὀνόματός ἐστιν, ὅθεν δικαίως προτέτακται τὸ μετὰ τοῦ ὀνόματος· γνησιώτερον γὰρ τὸ μετά τινος τοῦ ἀντί τινος. Οὐκ ἐπινενόηται δὲ τὸ ἄρθρον τοῖς τεχνικοῖς, ὥσπερ τινὲς νενομίκασιν, ἕνεκα τῆς τῶν γενῶν διακρίσεως· πολλάκις γὰρ ὁρῶμεν καὶ αὐτὰ τὰ ἄρθρα ἀναμένοντα τὴν σύνταξιν τῶν ὀνομάτων πρὸς τὸ διασαφηνίσαι ἡμῖν, ποίου ποτὲ γένους ἐστὶ τὸ ζητούμενον· ἰδοὺ γὰρ τὸ τῶν ἐπὶ γενικῆς πτώσεως πληθυντικῆς ἁρμόττει τοῖς τρισὶ γένεσι, καὶ οὐκ ἔστιν ἀπὸ μόνου τοῦ ἄρθρου καταλαβεῖν, ποίου γένους ἐστίν, εἰ μὴ ἐπενεχθὲν τὸ ὄνομα δείξει ἡμῖν, ποίου γένους ἐστίν. Ἔστι δὲ εἰπεῖν, ὅτι τὸ ἄρθρον ἐπινενόηται πρὸς τὸ ἀναφορὰν σημαίνειν· ἀναφορὰ δέ ἐστιν ἀναπόλησις προεγνωσμένου καὶ ἀπόντος προσώπου· ἄλλο γάρ τί ἐστιν εἰπεῖν «ἄνθρωπος ἦλθε», καὶ ἄλλο μετὰ τοῦ ἄρθρου· τὸ γὰρ ἄρθρον δευτέραν γνῶσιν ἐπαγγέλλεται· ἐὰν γάρ τίς σοι εἴπῃ «ναῦς ἦλθε», δοκεῖς ἀγνοεῖν ποία· ἐὰν δὲ σὺν τῷ ἄρθρῳ, τρόπον τινὰ ὑπομιμνήσκει 〈τοῦ〉 το τὴν προεγνωσμένην ὑπὸ σοῦ καὶ αὐτοῦ τοῦ λέγοντος. Ἄρθρον ἐστὶ μέρος λόγου πτωτικό ν , προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων καὶ ὑποτασσόμενο ν.] «Μέρος λόγου» τὸ ἄρθρον, ἓν γὰρ τῶν συμπληρούντων εἰς τὴν τελειότητα τοῦ λόγου· «πτωτικόν» δέ, ὅτι ἕν ἐστι τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πτωτικῶν· τῶν γὰρ μερῶν τοῦ λόγου τὰ μὲν πτωτικά ἐστι, τὰ δὲ ἄπτωτα. Ἐνδεῶς δὲ εἶπεν ὁ τεχνικὸς τὸ «προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων»· οὐ μόνων γὰρ τῶν ὀνομάτων προτάσσεται τὰ ἄρθρα, ἀλλὰ καὶ πάντων ὁμοῦ τῶν κλίνεσθαι εἰς πτώσεις δυναμένων· καὶ γὰρ καὶ μετοχῶν καὶ ἀντωνυμιῶν προτάττεται.

257 Καὶ ἔστι προτακτικὸν μὲν ὁ , ὑποτακτικὸν δὲ ὅ ς.] Προτακτικὸν μέν ἐστιν ὃ προτάσσεταί τινος πτωτικῆς γραφῆς, τὸ δὲ ὑποτακτικόν, ὅπερ ὑποτάσσεται τῷ ὀνόματι· οἷον προτακτικόν ἐστιν «ὁ Ὅμηρος», ὑποτακτικὸν δὲ «Ὅμηρος ὃς ἦν παῖς Μέλητος [ποταμοῦ]». Ἀεὶ δὲ τὰ ἄρθρα πτωτικοῖς συναρτᾶται τοῖς δυναμένοις δέξασθαι τὴν ἀναφοράν· εἰ δὲ ἀπολέσει τὴν πρὸς τὰ πτωτικὰ συνάρτησιν, ἀντωνυμία γίνεται, ὡς τὸ 〈Α 12〉 ὁ γὰρ ἦλθ ε, 〈Ε 603〉 τῷ δ ' αἰεὶ πάρα εἷς γ ε. Ἰστέον δὲ ὅτι τὰ ἄρθρα ἀναφορᾶς ἕνεκα παρελήφθη τῶν ὀνομάτων, ἥτις ἐστὶ προεγνωσμένου προσώπου ἀναπόλησις· ἢ ὑπεροχῆς, ὡς «ὁ ποιητής»· ἢ μοναδικῆς κτήσεως, ὡς «ὁ δοῦλός μου»· ἢ ἐπὶ προλήψεως, ὡς τὸ 〈Ζ 158〉 κεῖνος δ ' αὖ περὶ κῆρι μακάρτατος, 〈ὅς κτλ.〉 . 〈Stephani.〉 — Παρέπεται δὲ αὐτῷ τρί α , γέν η , ἀριθμο ί , πτώσεις · γένη μὲν οὖν εἰσι τρί α , ὁ ποιητή ς , ἡ ποίησι ς , τὸ ποίημα · ἀριθμοὶ τρεῖ ς , ἑνικό ς , δυϊκό ς , πληθυντικό ς , ἑνικὸς μὲν ὁ ἡ τ ό , δυϊκὸς δὲ τώ τ ά , πληθυντικὸς δὲ οἱ αἱ τά · πτώσεις ὁ τοῦ τῷ τόν ὦ.] Τὰ γένη ἐξ ἀκριβείας κατὰ γραμματικοὺς οὐ λαμβάνεται, ἀλλ' ἐκ τῆς συντάξεως καὶ τῆς συμφωνίας τῶν ἄρθρων συνταττομένων διαφόροις τοῖς ὀνόμασιν· ἐκεῖνο γάρ ἐστιν ἀρσενικόν, ᾧ συντάττεται τὸ ὁ ἄρθρον, ἐκεῖνο δὲ θηλυκόν, ᾧ συντάττεται τὸ ἡ, καὶ οὐδέτερον τὸ ἔχον τὸ τό. Ἐπειδὴ δὲ τὰ ὀνόματα, ἤτοι πάντα τὰ πτωτικά, μετήρχετο εἰς ἀριθμούς, ἀνάγκη καὶ τὸ συνηρτημένον αὐτοῖς μεταβάλλειν· διὸ καὶ ἀριθμοὶ αὐτῷ παρέπονται· ἐπειδὴ δὲ καὶ εἰς πτώσεις μετακλίνεται, καὶ τῶν πτώσεων μεταλαμβάνει. Ἰστέον δὲ ὅτι τῶν ἄρθρων τέσσαρά ἐστι πτωτικά, πάντως τῆς κλητικῆς μὴ δεχομένης ἄρθρον· οὐ γὰρ οἷόν τέ ἐστι κλητικὴν καὶ ἔναρθρον γενέσθαι, ἄλλο γάρ τί ἐστι κλητικὴ καὶ ἄλλο ἄρθρον· τὸ μὲν γὰρ ἄρθρον μνήμην προεγνωσμένου καὶ ἀπόντος προσώπου ποιεῖται, ἡ κλητικὴ δὲ πρὸς δεύτερον καὶ παρὸν πρόσωπον ποιεῖται τὸν λόγον· πῶς οὖν οἷόν τέ ἐστιν ἀπόντος μνημονεύεσθαι ὡς παρόντος καὶ καλεῖν; Πτώσεις δὲ ὁ τοῦ τῷ τόν ὦ.] Πρὸς εἰσαγομένους γράφων ὁ τεχνικὸς καὶ τὸ ὦ μετὰ τῶν ἄρθρων κατέταξε, μηδὲν περιεργασάμενος. Ἐν πολλοῖς δὲ ἐλέγχεται μὴ εἶναι ἄρθρον· ἕκαστον γὰρ τῶν ἄρθρων φανερὸν σημαίνει γένος καὶ πρόδηλον ἀριθμόν· τὸ δὲ ὦ οὔτε ἴδιον ἀριθμὸν ἔχει οὔτε γένος φανερόν, ἀλλὰ καὶ τοῖς τρισὶν ἀριθμοῖς καὶ γένεσιν προτάττεται· τὸ γὰρ τῶν ἄρθρον εἰ καὶ τοῖς τρισὶ γένεσι δουλεύει, ἀλλ' οὐ τοῖς τρισὶν ἀριθμοῖς· καὶ ὅτι πᾶν ἄρθρον προτακτικόν ἐστι καὶ ὑποτακτικόν, τὸ δὲ ὦ προτακτικὸν μόνον· οὐκ ἄρα ἄρθρον· καὶ 〈ὅτι〉 πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται, τὸ δὲ ὦ ψιλοῦται· οὐκ ἄρα ἄρθρον· καὶ ὅτι τὰ ἄρθρα ἀναφορικά ἐστι καὶ ἀπὸν πρόσωπον σημαίνει, τὸ δὲ ὦ παρόν· ἐναντίον δὲ τὸ ἀπὸν τῷ παρόντι· οὐκ ἄρα ἄρθρον· καὶ ὅτι οὐδέποτε πτωτικὸν ω περισπᾶται, τὸ δὲ ὦ περισπᾶται· οὐκ ἄρα ἄρθρον· καὶ ὅτι οὐδέποτε κλητικὴ μείζων ἐστὶ τῆς ἰδίας εὐθείας· ἢ γὰρ ἴση ἢ ἐλάττων, ἴση μέν, ὡς ὁ Λάχης ὦ Λάχης, ἥττων δέ, ὡς ὁ Μενέλαος ὦ Μενέλαε· φασὶ γὰρ ὅτι βραχύτερόν ἐστι τὸ ε τοῦο · ἐνταῦθα δὲ μεῖζον τὸ ὦ τοῦ ὁ· οὐκ ἄρα ἄρθρον.

258 Ἔστι τοίνυν ἐπίρρημα κλητικόν. Οὐδὲν δὲ θαυμαστόν, εἰ ἐπίρρημα κλητικῇ πτώσει συντάσσεται· καὶ γὰρ τὰ χωριστικὰ ἐπιρρήματα δουλεύει τῇ γενικῇ πτώσει, ὡς ἔχει τὸ 〈cfr μ 219〉 ἐκτὸς τούτου, καὶ 〈ξ 9. 451〉 νόσφι 〈ν〉 δεσποίνης, καὶ 〈Ο 213〉 αἴ κεν ἄνευ ἐμέθε ν· ἤδη δὲ καὶ σχετλιαστικὰ ἐπιρρήματα ταύτῃ τῇ πτώσει συντάσσεται, 〈cfr Arist. Av. 1724〉 «φεῦ τοῦ κάλλους», καὶ τὰ θαυμαστικά, «βαβαὶ τῆς ὥρας». Ἔστι δὲ καὶ 〈ἡ〉 Διός γενικὴ καὶ ἡ Διΐ 〈δοτικὴ〉 καὶ ἡ αἰτιατικὴ Δία· ἀποκόπτεται 〈δὲ〉 πολλάκις τὸ α , καὶ ἄδηλος ἡ ἑξῆς μετὰ τὴν ἀποκοπήν, ποίας ἐστὶ πτώσεως· Ἀττικοὶ οὖν προσάπτουσι τούτῳ ἐπίρρημα τὸ μά καὶ τὸ νή, φάσκοντες «μὰ Δί'» καὶ «νὴ Δί'», καὶ σημαίνουσιν αἰτιατικὴν πτῶσιν. Οὐδὲν οὖν

θαυμαστόν, εἰ καὶ τὸ ὦ, ἐπίρρημα ὄν, κλητικῇ δουλεύει πτώσει. § 17 (21 et 22b). Περὶ ἀντωνυμίας. 〈Stephani.〉 — Ἀντωνυμία ἐστὶ λέξις ἀντὶ ὀνόματος παραλαμβανομέν η , προσώπων ὡρισμένων δηλωτικ ή.] Ὁρίζεται τὴν ἀντωνυμίαν λέξιν καλῶς, τουτέστι μέρος λόγου· ἀδιάφορον γὰρ τοῦτο, ὡς προείρηται. Πρὸς εἰσαγομένους 〈δὲ〉 διαλεγόμενος ἀδιαστόλως «ἀντὶ ὀνόματος» εἴρηκε, δέον εἰπεῖν «ἀντὶ μόνου τοῦ κυρίου». Ζητοῦσι δέ τινες, εἴπερ ἡ ἀντωνυμία ἀντὶ ὀνόματος παραλαμβάνεται, τοῦ ὀνόματος ἤδη προτεταγμένου, τίς ἦν χρεία τῆς ἀντωνυμίας; Καὶ λέγομεν ὅτι εἰ καὶ ἀντὶ ὀνόματος παραλαμβάνεται, ἀλλ' ἔχει διαφοράς τινας πρὸς τὸ ὄνομα· τὸ μὲν γὰρ ὄνομα τρίτου προσώπου ἐστί.

259 Ὅτι δὲ τρίτου προσώπου ἐστὶ τὸ ὄνομα, φυσικῶς ἔστι μαθεῖν· πρῶτον πρόσωπόν ἐστι τὸ περὶ αὑτοῦ ἀποφαινόμενον, ὡς τὸ τύπτω· καὶ ὅτι οὐ πρώτου προσώπου ἐστὶ τὸ ὄνομα, δῆλον· ὁ γὰρ τεχθεὶς παῖς οὐκ ἂν λέξαι περὶ αὑτοῦ, ὅτι «Ἀρίσταρχος λεχθείην»· πάλιν δὲ δεύτερόν ἐστιν, ὅταν πρός τινα λόγον ποιώμεθα περὶ αὐτοῦ μνημονεύοντες, οἷον τύπτεις· καὶ ὅτι οὐδὲ δευτέρου προσώπου ἐστὶ τὸ ὄνομα, προφανὲς οὐδὲ γὰρ πρὸς τὸν τεχθέντα παῖδα ἀποτεινόμενοι τὸν λόγον ποιούμεθα, ὅτι «Ἀρίσταρχος λέγει»· τὸ δὲ τρίτον ἐστίν, ὅτε περί τινος ἀπόντος λόγον ποιούμεθα, ὡς τὸ τύπτει· τοῦ οὖν τρίτου προσώπου ἐστὶν ὁμολογουμένως τὸ ὄνομα· καὶ γὰρ 〈περὶ〉 τοῦ τεχθέντος λόγον ποιούμενοι λέγομεν, ὅτι «Ἀρίσταρχος λεγέσθω». Ὅθεν πάλιν προβάλλονται, εἰ τὸ ὄνομα σημαίνει τρίτον πρόσωπον, ἡ δὲ ἀντωνυμία πρῶτον καὶ δεύτερον, περιττὸν κεῖται τῆς ἀντωνυμίας τὸ τρίτον πρόσωπον. Ἀλλὰ λέγομεν ὅτι, εἰ καὶ τὸ τρίτον πρόσωπον ἔχει, ἀλλ' ἔστι τις πάλιν διαφορά· τὸ μὲν γὰρ ὄνομα ὀνομάζειν μόνον πέφυκεν, ἡ δὲ ἀντωνυμία μετὰ τοῦ ὀνομάζειν καὶ δεῖξιν ἐπαγγέλλεται· πολλάκις γάρ, ἐάν τις καὶ τὸ ὄνομα εἴπῃ, ἀόριστον αὐτὸ ἐᾷ, ὡς εἰ συμβαίη Ἀριστάρχου παρόντος ἕτερον λέγειν ὅτι Ἀρίσταρχος· κἂν μὴ ἐπιβάλῃ τὸ ἀντώνυμον, ἀσαφὴς γίνεται Ὥστε ἡ ἀντωνυμία ἀναγκαίως παρὰ τῆς φύσεως ἐπινενόηται ἐν τῇ πλοκῇ τῶν μερῶν τοῦ λόγου. «Προσώπων» δέ φησιν «ὡρισμένων δηλωτική»· τοῦτο γὰρ μόνον ἰδίωμα τῆς ἀντωνυμίας ἐστί, τὸ ὁρίζειν, πρὸς ὅν τις λέγει. Εἰ δέ τις λέγοι, ὅτι καὶ τὸ ῥῆμα ὁρίζει πρόσωπα—ὁρίζει γὰρ καὶ πρῶτον καὶ δεύτερον—οὐδὲν δὲ πλέον ἡ ἀντωνυμία εἰ μὴ μόνον τὸ τρίτον· ἀεὶ γὰρ τὰ πρόσωπα τῶν ἀντωνυμιῶν πάνθ' ὡρισμένα ἐστίν, ὥρισται γὰρ τὰ τοιαῦτα, ἐπὶ τίνος τέτακται· φαμὲν ὅτι κατὰ τοῦτο διαφέρει τῶν ῥημάτων ἡ ἀντωνυμία, ὅτι καὶ τὸ τρίτον ὁρίζει καὶ πάντως ἵστησιν ἡμῖν τὰ πρόσωπα ἢ δι' ἀναφορᾶς ἢ διὰ δείξεως, ὅπερ οὐκ ἔλαχε τὸ ῥῆμα· εἰ γὰρ καὶ ὁρίζει, ἀλλ' οὐ δείκνυσιν, οἷον εἰπεῖν ἐπὶ τῆς ἀντωνυμίας, δι' ἀναφορᾶς μέν, ὡς ἐπὶ τῆς αὐτός, ἀναφορικὴ γὰρ ἡ αὐτός ἀντωνυμία φύσει, διὰ δὲ δείξεως, ὡς ἐπὶ τῆς ἐγώ σύ οὗτος ἐκεῖνος καὶ τῶν ὁμοίων.

260 Ζητῆσαι δὲ ἄξιον, τίνος ἕνεκα, εἰ τὸ ῥῆμα ἐν προσώποις, ὡσαύτως δὲ καὶ ἡ ἀντωνυμία, διὰ τί τὸ μὲν ῥῆμα ἔξωθεν κλίνει τὰ πρόσωπα, ἡ δὲ ἀντωνυμία ἔσωθεν. Καὶ ῥητέον, ὅτι ἡ μὲν ἀντωνυμία, καθὼς ἀντωνυμία κέκληται, ἔδει ἐκείνου τὸν χαρακτῆρα ἔχειν, ἄνθ' οὗ καὶ παραλαμβάνεται, καὶ 〈ἡ κίνησισ〉 ἐν τῷ κυριωτέρῳ τόπῳ εἶναι· ὁ δὲ κυριώτερος τόπος ἐστὶ τὸ τέλος· ὅθεν ἐν μὲν τῷ τέλει τὴν κίνησιν ἔχει, ὥσπερ τὸ ὄνομα, ἐν δὲ τῇ ἀρχῇ τὰ πρόσωπα, εἴ γε τοῦτο ἴδιον αὐτῆς ἐστι καὶ τὰ πρόσωπα ὁρίζεσθαι. Λέξις ἡ ἀντωνυμία ἀντὶ ὀνόματος παραλαμβανομένη, ὥσπερ ἡ μετοχὴ ἀντὶ ῥήματος. Ὀνόματος δὲ τοῦ κυρίου φημί· φέρε γάρ τινα πυνθάνεσθαι «τίς τοῦτο ἐποίησεν;» εἰ μὲν ἐπίστασαι τὸ ὄνομα, κέχρησαι τῷ ὀνόματι· εἰ δὲ μή, τῇ ἀντωνυμίᾳ κέχρησαι, καὶ ἐρεῖς «οὗτος», καὶ ἀντὶ κυρίου τὸ οὗτος παρελήφθη. «Προσώπων ὡρισμένων δηλωτική»· ἵνα μή τις περαιτέρω τῶν τριῶν νομίζῃ σημαίνεσθαι ἢ τέταρτον ἢ πέμπτον· ὡρισμένα γὰρ τὰ τρία πρόσωπα, πρῶτον, δεύτερον, τρίτον, ἐγώ σύ ἵ, ἐμοῦ σοῦ οὗ, καὶ ἑκάστης πτώσεως. Στεφάνο υ. —Εἴληπται ἡ ἀντωνυμία ἀντὶ κυρίων μόνων, οὐ προσηγορικῶν οὐδὲ ἐπιθέτων, ἐπεὶ ταῦτα πλατυκωτέρας οὐσίας, ὑπάρχοντα ἀπεριόριστα, ἐὰν ἄρθρων χωρὶς ληφθῇ· ἓν δέ τι πρόσωπον ὁρίζειν ἡ ἀντωνυμία βούλεται. Παρέπεται δὲ αὐτῇ ἕ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξ , πρόσωπ α , γέν η , ἀριθμο ί , πτώσει ς , σχήματ α , εἴδ η.] Ἐκ τῶν παρεπομένων τῇ ἀντωνυμίᾳ δῆλόν ἐστιν ὅτι ἀντὶ ὀνόματος παραλαμβάνεται· πάντα γὰρ ὅσα παρέπεται τῷ ὀνόματι παρέπεται καὶ αὐτῇ, πλεοναζόντων μόνων τῶν προσώπων διὰ τὸν προειρημένον λόγον τὸν λέγοντα, ὅτι διὰ τοῦτο παρελήφθη ἡ ἀντωνυμία, ἵνα ἀναπληρώσῃ ἀντὶ τοῦ ὀνόματος πρῶτον καὶ δεύτερον πρόσωπον, καθὸ οὐ δέδοται Θέωνι ἐκ τεχνικοῦ παραγγέλματος λέγειν «Θέων τύπτω», ἀλλ' «ἐγὼ τύπτω», οὐδὲ «Δίων τύπτεις», ἀλλὰ «σὺ τύπτεις», ἐπειδὴ τὰ ὀνόματα, καθὼς ἤδη εἰρήκαμεν, τρίτου προσώπου ἐστίν. Πρόσωπα πρωτοτύπων ἐγώ σύ ἵ.

261 ] Ἰστέον ὅτι τῶν ἀντωνυμιῶν τὰ πρῶτα καὶ δεύτερα πρόσωπα δεῖξιν δηλοῦσι, τὰ 〈δὲ〉 τρίτα ἀναφοράν, αἱ δὲ μονοπρόσωποι καὶ δεῖξιν καὶ ἀναφοράν, ἐγώ σύ, ἐμοῦ σοῦ, ἐμοί σοί, ἐμέ σέ δεῖξιν, ἵ οὗ οἷ ἕ ἀναφοράν· ἀντὶ τῆς ἵ ἡ αὐτός μόνως ἀναφορική, καὶ ἡ οὗτος ἐκεῖνος ὅδε καὶ δεικτικαὶ καὶ ἀναφορικαί· ὅθεν τῇ μὲν αὐτός ἄρθρον συναρτᾶται, οἷον ὁ αὐτός, ἀναφορὰν μόνην δηλούσῃ, ἢ μόριον ἀναφορικόν, ταῖς δὲ λοιπαῖς οὐκέτι, ἐπεὶ καὶ δεῖξιν εἶχον, ἥτις ἐπὶ παρόντος λαμβάνεται. Χρειώδης δὲ ἡ ἀντωνυμία καὶ τῷ ῥήματι· τοῖς γὰρ τρίτοις αὐτοῦ προσώποις ἀορίστοις οὖσι προσιοῦσα ὁρίζει αὐτά, οἷον τύπτει· τίς; οὗτος, ἐκεῖνος, κατὰ δεῖξιν καὶ ἀναφοράν· καὶ ὅτι τὰ ὀνόματα πρώτου καὶ δευτέρου προσώπου ἀμοιρεῖ· πᾶν γὰρ ὄνομα τρίτου προσώπου προσελθοῦσα ἡ ἀντωνυμία ἀναπληροῖ, ἐγώ, σύ, τὰ δὲ τρίτα καὶ τὰς ὁμωνυμίας διαστέλλει, οἷον Αἴας· ποῖος; οὗτος, ἐκεῖνος. Ζητεῖται δὲ διὰ τί τὰ πρῶτα καὶ δεύτερα πρόσωπα τῶν ἀντωνυμιῶν ἀναλόγως οὐ κλίνεται, οἷον ἐγώ ἐμοῦ, σύ σοῦ, τὰ δὲ τρίτα μονοπρόσωπα κλίνεται, ἐκεῖνος αὐτός. Καί φαμεν ὅτι τὰ ὀνόματα, ἐπεὶ δεῖξιν οὐκ ἔχουσι τὴν δηλοῦσαν αὐτῶν τὸ γένος—πάντα γὰρ τρίτου προσώπου ἐστί, τὸ δὲ τρίτον ἄπεστι, τὸ δὲ ἀπὸν ἄδηλον—ἐπεδέξαντο καταλήξεις ἀναλόγους, ἀρσενικὴν τὴν εἰς ος , καὶ θηλυκὴν τὴν εἰς η , καὶ οὐδετέραν τὴν εἰς ον · αὗται οὖν αἱ καταλήξεις ἀνάλογοι οὖσαι καὶ κλίσιν ἀνάλογον ἔσχον. Αἱ δὲ ἀντωνυμίαι δεῖξιν ἔχουσαι καὶ δι' αὐτῆς τὸ γένος ἐμφαίνουσαι οὐκ ἔσχον 〈ἀνάλογον〉 κατάληξιν, διὸ οὐδὲ ἀνάλογον κλίσιν· αἱ δὲ τοῦ τρίτου, ὡς καὶ ἀναφορικαὶ καὶ ταύτῃ ἀπ〈ὸν πρόσωπον δηλ〉οῦσαι, ἐξελέξαντο κατάληξιν τὴν κλιτικήν. Ἄλλως τε πᾶσα φωνὴ τὰ τρία γένη δηλοῦσα ἄκλιτός ἐστιν, οἷον οἱ πέντε καὶ τὰ ὅμοια· ὁμοίως ἄρα καὶ ἡ ἐγώ καὶ ἡ σύ καὶ αἱ παραπλήσιοι. Καὶ ἄλλως. —Αἱ πρωτότυποι ἀντωνυμίαι θεματικαὶ ἀνακόλουθον ἔχουσι τὴν κλίσιν καὶ τὸ γένος ἀπὸ τῆς φωνῆς οὐκ ἐμφαίνουσιν, 〈οἷον〉 ἡ ἐγώ οὐ διαστέλλει φανερὸν τὸ γένος· ἐπὶ παντὸς γὰρ γένους τὸ ἐγώ· ὅταν μέντοι διακρίνηται τὸ γένος ἀπὸ τῆς φωνῆς, τότε ἀκολουθεῖ καὶ κλίσις ἀκόλουθος, ἐμός ἐμή ἐμόν, ὡς θερμός θερμή θερμόν.

262 〈Stephani.〉 —Διὰ τί δὲ αἱ ἀντωνυμίαι τὰ πρόσωπα περὶ τὴν ἀρχὴν κινοῦσιν, καὶ οὐ περὶ τὸ τέλος; Καί φαμεν, ὅτι πᾶσα κλίσις περὶ τὸ τέλος γίνεται ἐπί τε ὀνόματος, καλός καλοῦ, καὶ ἐπὶ ῥήματος, λέγω λέγεις· κινοῦνται δὲ αἱ ἀντωνυμίαι καὶ κατὰ πρόσωπον καὶ κατὰ πτῶσιν· ἀλλ' οὐκ ἠδύναντο ἑκατέραν κίνησιν ἐν τέλει ποιήσασθαι, ἵνα μὴ σύγχυσις γένηται. Κατεμέρισαν οὖν τῷ μὲν προσώπῳ τὴν ἀρχήν, τῇ δὲ πτώσει τὸ τέλος, οἰκείως τῇ πτώσει τὸ τέλος δοῦσαι, ὡς ἀντὶ ὀνόματος οὖσαι, οὗ ἡ πτωτικὴ κίνησις ἐν τέλει ἦν. Παραγώγων δὲ ἐμός σός ὅ ς.] Ἀπὸ κοινοῦ «πρόσωπα» δεῖ προσθεῖναι, ἵν' ᾖ «παραγώγων δὲ πρόσωπα»· πρῶτον μὲν πρόσωπον ἐμός, δεύτερον δὲ πρόσωπον σός, τρίτον δὲ πρόσωπον ὅς. Γένη τῶν πρωτοτύπων διὰ μὲν τῆς φωνῆς οὐ διακρίνετα ι , διὰ 〈δὲ〉 τῆς ὑ π ' αὐτῶν δείξεω ς , οἷον ἐγ ώ.] Οὐκ ἔστι, φησίν, ἀπὸ χαρακτῆρος ἢ ἀρσενικὸν ἢ θηλυκὸν ἢ οὐδέτερον καταλαβεῖν ἐπὶ τῆς πρωτοτύπου ἀντωνυμίας, ἀλλὰ τὸν ἔλεγχον ἔχειν ἀπὸ τῶν προσώπων τῶν διαλεγομένων· διὰ γὰρ τῆς ὑπ' αὐτῶν δείξεώς φησι 〈τὰς πρωτοτύπους ἀντωνυμίας τὰ γένη διαστέλλειν〉 · πρωτότυπος δὲ ἀντωνυμία ἐστὶν ἡ ἐγώ. Μὴ ζήτει μηδεμίαν ἀκολουθίαν ἐπὶ πρωτοτύπῳ ἀντωνυμίᾳ· οὔτε γὰρ πτώσεις πρὸς πτώσεις ἔχουσιν ἀναλογίαν, οὔτε ἀριθμοὶ πρὸς ἀριθμούς· ἐντεῦθεν καί τινες αὐτὰς θεματικὰς εἰρήκασι, καὶ οὕτως αὐτόθεν θεματίζεσθαι. —Καὶ ἄλλως. Δι' ἣν αἰτίαν ἐν φωνῇ τὸ γένος οὐ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σημαίνουσιν, εἴπομεν· δεῖξιν γὰρ ἔχουσιν, ἥτις ἑρμηνεύει τὸ γένος. 〈Stephani.〉 — Τῶν δὲ παραγώγω ν , οἷον ὁ ἐμό ς , ἡ ἐμ ή , τὸ ἐμό ν.] Ἐν ταῖς παραγώγοις ἡ ἀντωνυμία, ἐπειδὴ χαρακτῆρα ἔσχεν ὀνοματικόν, καὶ 〈τὴν〉 τῶν ὀνομάτων κίνησιν ἀναδέδεκται. Ταύτας δὲ τὰς παραγώγους καὶ κτητικὰς ἔφασάν τινες καὶ διπροσώπους· ἅμα γὰρ τῷ κτῆμα σημαίνειν καὶ τὸν κτήτορα περιλαμβάνουσιν.

263 Καὶ ὥσπερ ἐπὶ τῶν ὀνομάτων τὰ κτητικὰ ἐπαγγέλλεται κτῆσιν, περιλαμβανομένου τοῦ προσώπου τοῦ κτήτορος, οὕτω καὶ ἐν ταῖς παραγώγοις τῶν ἀντωνυμιῶν ἑκάτερα ἔστι θεωρῆσαι, ἐν μὲν τῇ ἀρχῇ τὸ πρόσωπον τοῦ κτήτορος, ἐν δὲ τῷ τέλει τὸ κτῆμα, ὅπερ ἐστὶν ὄνομα· ἐντεῦθεν καὶ ποικιλία τίς ἐστιν ἐν αὐταῖς· ποτὲ γὰρ εὑρήσεις τὸν κτήτορα ἑνικοῦ ἀριθμοῦ ἢ δυϊκοῦ ἢ πληθυντικοῦ, 〈ποτὲ δὲ τὸ κτῆμα ἑνικοῦ ἀριθμοῦ ἢ δυϊκοῦ ἢ πληθυντικοῦ〉 . Δεῖ οὖν ἀκριβῶς κατανοεῖν ἐν ταῖς φωναῖς τῶν ἀντωνυμιῶν· ὅταν μὲν οὖν ἡ κτητικὴ ἀντωνυμία ἄρχηται ἀπὸ τοῦ ε 〈ἢ ς 〉 , οἷον ἐμός σός, τότε ὁ κτήτωρ ἐστὶν ἑνικός, ὅτε δὲ ἀπὸ τοῦ νωϊ 〈ἢ〉 σφωϊ , οἷον νωΐτερος σφωΐτερος, τότε ἐστὶ δυϊκός, ὅτε 〈δὲ〉 ἀπὸ τοῦ ἡμ ἢ ὑμ , οἷον ἡμέτερος ὑμέτερος, τότε πληθυντικὸς πάλιν ὁ κτήτωρ· τὸ δὲ κτῆμα πρὸς τὴν κατάληξιν νοεῖται, οἷον εἰ μὲν εἰς ος καταλήγει, ἑνικόν, εἰ δὲ εἰς ω λήγει, δυϊκόν, 〈εἰ δὲ εἰς οι λήγει, πληθυντικόν〉 . Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Ψεῦδός ἐστι τὸ ἐν ταῖς παραγώγοις διὰ φωνῆς 〈τῆς τοῦ ἄρθρου〉 τὸ γένος δηλοῦσθαι· τὸ γὰρ ἄρθρον οὐ τῆς ἀντωνυμίας, ἀλλὰ τοῦ κτήματος· οὐδὲ γὰρ ἐν αὐταῖς τὸ γένος τῆς ἀντωνυμίας, τουτέστι τοῦ κτήτορος, διὰ τῆς φωνῆς ἑρμηνεύεται, ἀλλὰ τὸ τοῦ κτήματος, ὅπερ ἔξωθέν ἐστι τῆς ἀντωνυμίας, ἐπεί τοί γε καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ ἐρεῖ ὁ ἐμὸς 〈παῖς〉 , καὶ ἄδηλον τὸ γένος τοῦ κτήτορος· ἡ δὲ ἀντωνυμία γενικῆς πτώσεώς ἐστιν, ὅτι πᾶν κτητικὸν ἐκ γενικῆς γίνεται καὶ εἰς γενικὴν ἀναλύεται· «ὁ» οὖν «ἐμὸς παῖς, ἡ ἐμὴ γυνή, τὸ ἐμὸν παιδίον» πρὸς τὰ κτήματα τὰ ἄρθρα 〈ἔχει〉 · ἀμέλει λέξειεν ἂν ἡ γυνὴ «ὁ ἐμὸς ἀνήρ»· ἄδηλον οὖν [καὶ] τῶν κτητόρων τὸ γένος διὰ τῆς φωνῆς. 〈Stephani.〉 — Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Ἀπαράδεκτοι ἄρθρων ἀντωνυμίαι αἱ πρωτότυποι, εἴ γε αἱ μὲν πρώτην γνῶσιν ἐδήλουν, τὰ δὲ δευτέραν· εὐλόγως μέντοι μετὰ τὴν γνῶσιν ἐπαχθήσεται, «ἐγὼ ὃς ἐτίμησά σε». Ἀλλ' οὐδὲ αἱ παράγωγοι δέξονται ἄρθρα· τῶν γὰρ ὑπακουομένων κτημάτων τὰ ἄρθρα· ὅτι δὲ οὐ τῶν ἀντωνυμιῶν τὰ ἄρθρα, δῆλον ἐκ τοῦ τὴν γυναῖκα λέγειν «ὁ ἐμός» καὶ τὸν ἄνδρα «ἡ ἐμή», 〈καὶ〉 «ὁ ἡμέτερος» τέ φαμεν καὶ «οἱ ἡμέτεροι». Ἀριθμοὶ πρωτοτύπων ἑνικὸς μὲν ἐγώ 〈σύ ἵ 〉 , δυϊκὸς δὲ νῶϊ σφῶ ϊ , πληθυντικὸς ἡμεῖς ὑμεῖς σφεῖ ς.] Πῶς τοῦ ἑνικοῦ καὶ πληθυντικοῦ ἀριθμοῦ τρία πρόσωπα ἔχοντος ὁ δυϊκὸς δύο μόνα ἔχει; Φαμὲν οὖν ὅτι τὸ τρίτον πρόσωπον τῶν πρωτοτύπων δυϊκῶν ἀντωνυμιῶν ἐπιλέλοιπεν εἰς ἀντίστασιν ἐμπεσόν· πᾶν γὰρ δυϊκὸν ἐγκλίνεται, οἷον 〈Α 338〉 καί σφωϊν, 〈Α 8〉 τίς τ ' ἄρ σφω ε· ἔδει οὖν καὶ τὸ τῆς εὐθείας εἶναι τρίτον σφωέ καὶ ἐγκλίνεσθαι.

264 Ἀλλ' ἕτερος ἐκώλυε λόγος· οὐκ ἔστι γὰρ εὐθεῖα ἀντωνυμίας πρωτοτύπων ἐγκλινομένη· ὥστε τοῦ μὲν τρίτου δυϊκοῦ τὴν ἔγκλισιν ἀπαιτοῦντος, τῆς δὲ πτώσεως τῆς ὀρθῆς οὐκ ἀνεχομένης ἔγκλισιν, εἰκότως ἐπιλέλοιπε τὸ τρίτον πρόσωπον τῆς εὐθείας τῶν δυϊκῶν· εὑρέθη μέντοι τὸ τρίτον μόνην σημαῖνον αἰτιατικήν, αὕτη γὰρ οὐ παρῃτεῖτο τὴν ἔγκλισιν, ἐν τῷ 〈Α 8〉 τίς τ ' ἄρ σφωε θεῶ ν . Παραγώγων δὲ ἑνικὸς ἐμός σός ὅ ς , δυϊκὸς ἐμώ σώ ὥ , πληθυντικὸς ἐμοί σοί ο ἵ.] Εἰς δύο διαιρῶν τὰς ἀντωνυμίας, πρωτοτύπους καὶ παραγώγους, ἑκατέρω αὐτῶν ἕκαστον τῶν παρεπομένων ἀποδίδωσιν. Ἀπὸ κοινοῦ δὲ τὸ «ἀριθμοί», ἵν' ᾖ «παραγώγων δὲ ἀριθμοί». Πτώσεις πρωτοτύπων μὲν ὀρθῆς ἐγώ σύ ἵ.] Τοῦ τρίτου προσώπου ἐστὶ τὸ ἵ, καὶ σημαίνει τὸ οὗτος ἢ ἐκεῖνος· καθ' ἑαυτὸ μὲν κείμενον εὑρέθη οὐδαμοῦ, ἔοικε δὲ ἀπὸ τῆς τῶν Ἀττικῶν χρήσεως εἰρῆσθαι παρὰ τούτῳ τῷ τεχνογράφῳ· ἐκεινοσί γὰρ λέγουσι καὶ οὑτοσί. Γενικῆς ἐμοῦ σοῦ ο ὗ.] Ἐπειδὴ ἡ γενικὴ ἔδοξεν ἐπ' ἐνίων ἀμφίβολος εἶναι κατὰ τὴν φωνήν—συνέπεσε γὰρ ἥ τε πρωτότυπος καὶ ἡ παράγωγος—οὐκ ἀλλαχόθεν τὴν διάκρισιν ποιησόμεθα ἢ ἐκ τοῦ ποιητοῦ

τοῦ προδιαστείλαντος. Ἡ μὲν γὰρ ἐμοῦ καὶ σοῦ καὶ οὗ καὶ πρωτοτύπου καὶ παραγώγου ἐστὶ κατὰ φωνήν· ἀλλὰ τὴν ἐμοῦ γενικήν, φημὶ τὴν πρωτότυπον, ἄλλως πως παράγει ὁ ποιητής, ἡνίκα τὴν Ἑλένην παρεισφέρει λέγουσαν 〈Z 356〉 εἵνε κ ’ ἐμεῖο κυνός, διὰ τῆς ει διφθόγγου, καὶ τὸ δεύτερον πρόσωπον σεῖο, καὶ τὸ τρίτον πρόσωπον ἕο καὶ εἷο, τὴν δὲ παράγωγον διὰ τῆς οι διφθόγγου, ὅταν φῇ 〈Ξ 118〉 πατρὸς ἐμοῖο πατή ρ . Δοτικῆς ἐμοί σοί ο ἷ , αἰτιατικῆς ἐμέ σέ ἕ.] 〈Δοτικῆσ〉 τὸ πρῶτον καὶ δεύτερον ὀξύνεται, τὸ δὲ τρίτον περισπᾶται· ἐν δὲ τοῖς πληθυντικοῖς τὸ ἀνάπαλιν ἡμῖν μὲν καὶ ὑμῖν 〈περισπᾶται〉 , σφίσι δὲ ὀξύνεται. Ζητεῖται δὲ διὰ τί ἡ ἐμοί καὶ σοί ὀξύνεται, ἡ δὲ οἷ περισπᾶται· ἔδει γὰρ πάσας περισπᾶσθαι ὡς δοτικάς. Καί φαμεν ὅτι οὐδεμία ἐστὶν ἀκολουθία ἐπὶ τῶν πρωτοτύπων ἀντωνυμιῶν. Κλητικῆς δὲ σ ύ.] Διὰ τί ἡ ἀντωνυμία ἐπὶ τῶν πρωτοτύπων δεύτερον μόνον πρόσωπον ἔχει κατὰ τὴν κλητικήν, οὔτε δὲ πρῶτον οὔτε τρίτον; Καὶ ῥητέον, 〈ὅτι〉 πρῶτον μὲν πρόσωπον οὐ δύναται ἔχειν ἡ κλητική· οὐδεὶς γὰρ ἑαυτὸν καλεῖ· ἀλλ’ οὔτε μὴν τρίτον· τὸ γὰρ τρίτον ἄπεστιν, οὐδεὶς δὲ φρονῶν τὸν ἀπόντα καλεῖ· ἐπειδὴ δὲ ἡ κλητικὴ πρὸς δεύτερον πρόσωπον ποιεῖται τὸν λόγον, ἀναγκαίως δεύτερον πρόσωπον ἔσχηκεν.

265 Καὶ ἄλλως. —Τὰς πτώσεις τῶν πρωτοτύπων ἐπεὶ μὴ δυνατὸν παριστάναι 〈δι’ ἀκολούθου κλίσεωσ〉 , χρὴ 〈ἀπὸ ὀνομάτων ἀντ’ αὐτῶν παραλαμβανομένων αὐτὰς ἐπιγινώσκειν〉 · ἀντὶ γὰρ 〈τοῦ〉 Τρύφων λέγω ἐγώ· δῆ〈λον〉 οὖν ὡς ὀρθῆς λέγω ἐγώ, καθάπερ ἀντὶ τοῦ Τρύφωνος λέγω ἐμοῦ, καὶ εἰσὶν ἀμφότερα γενικαί· ὁμοίως Τρύφωνι ἐμοί, καὶ Τρύφωνα ἐμέ. Κλητικὴν δὲ οὐκ ἐρῶ οὔτε ἐπὶ πρώτου προσώπου, ἐπεὶ οὐδεὶς ἑαυτὸν καλεῖ, οὔτε ἐπὶ τρίτου, οὐδεὶς γὰρ τὸν ἀπόντα καλεῖ. Ἡ δὲ σύ τοῦ δευτέρου προσώπου ἐστίν· εἰ γὰρ δεύτερόν ἐστι πρὸς ὃν ὁ λόγος, καὶ ἡ κλητικὴ πρὸς τὸν παρόντα προσφώνησις, οὐκ ἀτόπως τὸ δεύτερον πρόσωπον ἔσχε κλητικήν. 〈Stephani.〉 — Παραγώγων ἐμός σός ὅ ς , ἐμοῦ σοῦ ο ὗ , ἐμῷ σῷ ᾧ , ἐμόν σόν ὅ ν.] Ἰστέον ὅτι τὰ παράγωγα ἐπὶ μὲν τοῦ πρώτου προσώπου κλητικὴν ἔχουσιν· ὁ ἐμός γὰρ ὦ ἐμός ἔφη ὁ ποιητὴς 〈cfr τ 406〉 ἀττικῶς κλίνας, ἵνα μὴ συνεμπέσῃ τῇ αἰτιατικῇ τοῦ πρωτοτύπου τῇ ἐμέ, καὶ οἱ ἐμοί ὦ ἐμοί, 〈cfr γ 475〉 ἐμοὶ παῖδες, καὶ ὁ ἡμέτερος, 〈ex. gr. Θ 31〉 ὦ πάτερ ἡμέτερ ε. Τὰ δὲ δεύτερα κλητικὰς οὐκ ἔχουσιν, ἐπεὶ μὴ δυνατὸν ἦν τὴν μίαν προσφώνησιν τῆς κλητικῆς ἀναμερισθῆναι τῷ τε κτήτορι καὶ τῷ κτήματι, κατ’ ἰδίαν ἑκατέρῳ· ὅ τε γὰρ κτήτωρ ἐφείλκετο τὴν προσφώνησιν, καθὸ δευτέρου ἦν προσώπου, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος· ὁμοίως καὶ τὸ κτῆμα, καθὸ κλητική· ἀδύνατον δὲ μίαν κλητικὴν δύο διῃρημένας ποιεῖσθαι προσφωνήσεις. Τὰ μέντοι τρίτα ἠδύναντο μὲν ἔχειν κλητικάς, οὐχ εὑρέθησαν δὲ ἐν χρήσει. Σχήματα δύ ο , ἁπλοῦ ν , σύνθετον · ἁπλοῦν μέ ν , 〈οἷον〉 ἐμοῦ σοῦ 〈οὗ 〉 , σύνθετον δ έ , οἷον ἐμαυτοῦ σαυτοῦ ἑαυτο ῦ.] Σχήματα παρέπεται ταῖς ἀντωνυμίαις· σχήματα νῦν αὐτὰς τὰς συνθέσεις λέγει. Καὶ ζητεῖται, διὰ τί τὸ ἐμοῦ αὐτοῦ εἰς τὸ ἐμαυτοῦ καὶ ἐμοὶ αὐτῷ εἰς τὸ ἐμαυτῷ καὶ ἐμὲ αὐτόν εἰς τὸ ἐμαυτόν, ἡ δὲ ἐγὼ αὐτός οὐ συντίθεται. Καὶ ῥητέον ὅτι ἐπεὶ ἀμετάβατός ἐστιν ἡ εὐθεῖα, οἷον οὐ μεταβαίνουσα ἐπὶ ἕτερον πρόσωπον· ἡ 〈δὲ〉 σύνθεσις ἐπενοήθη πρὸς διάφορον σημαινόμενον. Ὃ δὲ λέγω τοιοῦτόν ἐστιν· αἱ κατὰ διάλυσιν ἀντωνυμίαι, ἤτοι κατὰ παράθεσιν, καὶ αὐτοπαθεῖς εἰσι καὶ ἀλλοπαθεῖς, οἷον καὶ τὸ ἴδιον λαβοῦσαι πρόσωπον καὶ [τὸ] ἀλλότριον· δύναμαι γὰρ λέγειν «ἐμοῦ αὐτοῦ ἀκούω» καὶ «ἐμοῦ αὐτοῦ ἀκούει»· ἡ δὲ σύνθετος τὸ ἴδιον μόνον ἔχει, «ἐμαυτοῦ ἀκούω», καὶ ἔσχε διαφορὰν πρὸς τὴν κατὰ διάλυσιν.

266 Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Αἱ σύνθετοι τῶν ἀντωνυμιῶν ἀντανακλώμεναι καὶ αὐτοπαθεῖς καλοῦνται, ἐπεὶ τὴν ἐνέργειαν ἀφ’ ἑαυτῶν εἰς ἑαυτὰς ἀντανακλῶσιν· οἷον ὅταν λέγω «ἐμοῦ ἀκούεις», ἀπ’ ἄλλου εἰς ἄλλον γίνεται ἡ ἐνέργεια, ἐὰν δὲ «ἐμαυτοῦ ἀκούω», ἀπὸ τοῦ αὐτοῦ εἰς τὸν αὐτόν. Αὗται αἱ συντάξεις εὐθεῖαν ἔχουσι καὶ πλάγιον· εἰ δὲ ἐν εὐθείᾳ τὴν σύνθεσιν ποιήσαιμεν ἐγαυτός λέγοντες, δύο ἔσονται εὐθεῖαι, ὅπερ ἀδύνατον. Αἱ δὲ συνθέσεις γίνονται ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈ταῖσ〉 ἀντωνυμίαις πρὸς διάφορον σημαινόμενον, οἷον «ἐμοῦ αὐτοῦ ἀκούει»· 〈ὁ〉 ἀκούων ἄδηλος γίνεται· «ἐμαυτοῦ ἀκούω», καὶ λοιπὸν δῆλον ὅτι ἀκούω αὐτοπαθές, ὡς ἐπὶ ὀνομάτων [ἱματιοπώλης τοιχωρύχος] 〈αὐθέντησ〉. 〈Stephani.〉 —Αἱ σύνθετοι κλητικὴν οὐκ ἔχουσιν, ἐπειδὴ ἀπὸ τῆς αὐτός σύγκεινται μὴ ἐχούσης κλητικήν· ἢ ὅτι αὐτοπαθείας οὔσης καὶ ἀντανακλάσεως οὐδεὶς ἑαυτὸν καλεῖ, εἰ μή πού τις εἴποι· «καὶ τί κωλύει ἐπὶ δευτέρου εἶναι κλητικήν;» Δυϊκὰ δὲ καὶ πληθυντικὰ οὐκ ἔχουσιν αἱ σύνθετοι· πᾶν γὰρ δυϊκὸν καὶ πληθυντικὸν ἐκ διαφόρων σύγκειται προσώπων, οἷον νῶϊ—ἐγὼ καὶ σύ, ἡμεῖς—ἐγὼ καὶ ὑμεῖς· αἱ δὲ σύνθετοι ἀντωνυμίαι μονοπρόσωποι καὶ αὐτοπαθεῖς. —Ἰστέον δὲ ὅτι οὐδέποτε ἄλλο μέρος λόγου μετ' ἀντωνυμίας συντίθεται, εἰ μὴ μετὰ τῆς αὐτός, οἷον αὐτόσσυτος αὐτόματος αὐτοδίδακτος. Εἴδη δ έ , ὅτι αἱ μέν εἰσι πρωτότυπο ι , ὡς ἐγώ σύ ἵ , αἱ δὲ παράγωγο ι , ὡς πᾶσαι αἱ κτητικα ί , αἳ καὶ διπρόσωποι καλοῦντα ι.] Παρέπεται καὶ εἴδη ταῖς ἀντωνυμίαις, διότι αἱ μέν εἰσιν αὐτῶν πρωτόθετοι, ὡς ἡ ἐγώ σύ ἵ, αἱ δὲ παράγωγοι, ὅ ἐστιν ἀπὸ τῶν πρωτοτύπων παρηγμέναι, οἷον ἀπὸ τῆς ἐμοῦ πρωτοτύπου ἡ ἐμός κτητικὴ ἀντωνυμία, ἣ καὶ διπρόσωπος καλεῖται, καθὸ κτητικὴ οὖσα ἐμφαίνει ἐν ἑαυτῇ τόν τε κτήτορα καὶ τὸ κτῆμα.

267 Παράγονται δὲ οὕτως · ἀπὸ μὲν τῶν ἑνικῶν αἱ ἕνα κτήτορα δηλοῦσα ι , ὡς ἀπὸ τοῦ ἐμοῦ ὁ ἐμός · ἀπὸ δὲ δυϊκῶν αἱ δύ ο , ὡς ἀπὸ τοῦ νῶϊ νωΐτερος · ἀπὸ δὲ πληθυντικῶν αἱ πολλού ς , ὡς ἀπὸ τοῦ ἡμεῖς ἡμέτερο ς. ]—Στεφάνο υ. —Οὕτω γίνονται αἱ παράγωγοι· ἐγώ ἐμοῦ ἐμός, σύ σοῦ σός, ἵ οὗ ὅς, 〈νῶϊ〉 νῶϊν νωΐτερος, σφῶϊ 〈σφῶϊν〉 σφωΐτερος· ἀπὸ τοῦ τρίτου 〈οὐ〉 γίνεται, ἐπεὶ ἐγκλιτικόν, 〈Α 338〉 καί σφωϊν δὸς ἄγειν, ἀπὸ δὲ ἐγκλιτικῶν οὐ γίνεταί ποτε πτωτικόν· ἡμεῖς ἡμέων ἡμέτερος, 〈ὑμεῖς ὑμέων ὑμέτερος,〉 σφεῖς σφέων σφέτερος. Αὗται αἱ κτητικαὶ κλίνονται ὡς τὰ εἰς ος 〈τριγενῆ〉 ὀνόματα, ἔσωθεν δὲ ἔχουσι τὸν κτήτορα ἀκίνητον. Καλῶς δὲ εἶπεν «αἱ ἕνα κτήτορα δηλοῦσαι»· ἐν ὅλῃ γὰρ τῇ κλίσει αὐτῶν εἷς ἐστιν ὁ κτήτωρ· ἀλλ' ἐν μὲν τοῖς ἑνικοῖς ἓν τὸ κτῆμα, ἐν δὲ τοῖς δυϊκοῖς δύο τὰ κτήματα, ἐν δὲ τοῖς πληθυντικοῖς πολλὰ τὰ κτήματα· τὸ γὰρ κτῆμά ἐστι τὸ ἐν τῷ τέλει κινούμενον, ὅπερ ἐπὶ τῶν ἀριθμῶν μεταβάλλεται εἰς δύο καὶ πολλὰ κτήματα. Τῶν ἀντωνυμιῶν αἱ μέν εἰσιν ἀσύναρθρο ι , αἱ δὲ σύναρθροι · ἀσύναρθροι μέ ν , οἷον ἐγ ώ , σύναρθροι δ έ , οἷον ὁ ἐμό ς. ] —Στεφάνο υ. —Τὸ δόγμα τοῦτο περιττόν· ἰδοὺ γὰρ αἱ ἀσύναρθροι μετὰ ἄρθρων, οἷον «ἐγὼ ὃς ἔπραξα», καὶ αἱ σύναρθροι ἄνευ ἄρθρου, οἷον «ἐμὸς εἶ παῖς». Καλοῦσί τινες τὰς μὲν ἀσυνάρθρους πρωτοτύπους καὶ μονοπροσώπους, 〈τὰς δὲ συνάρθρους παραγώγους καὶ διπροσώπους.〉 Διαφέρουσι δὲ ἀλλήλων, ὅτι αἱ μὲν χωρὶς ἄρθρου λέγονται, οἷον ἐγώ, αἱ δὲ μετὰ ἄρθρου, οἷον ὁ ἐμός· καὶ ὅτι αἱ μὲν κοιναί εἰσι τῶν τριῶν γενῶν, αἱ δὲ παρασχηματίζονται τοῖς γένεσι· καὶ 〈ὅτι〉 αἱ μὲν ἓν 〈πρόσωπον〉 σημαίνουσιν, αἱ δὲ δύο· καὶ ὅτι αἱ μὲν ὀρθοτονοῦνται, αἱ δὲ ἐγκλίνονται. Οὐκ ὀρθῶς δὲ ποιῶν ὁ τεχνικὸς ἐκάλεσε τῶν ἀντωνυμιῶν τὰς μὲν συνάρθρους, τὰς δὲ ἀσυνάρθρους. Δεῖ γὰρ εἰδέναι, ὅτι σύναρθροι μὲν οὐκ ὤφειλον κληθῆναι διὰ τὸ ἀπροσδέκτους εἶναι ἄρθων κατὰ φύσιν· ἐναντίον γὰρ τὸ ἄρθρον καὶ ἡ ἀντωνυμία· τὸ μὲν γὰρ ἄρθρον δευτέραν γνῶσιν καὶ ἀπουσίαν σημαίνει, ἡ δ' ἀντωνυμία πρώτην γνῶσιν ἐπαγγέλλεται καὶ ἀεὶ δεῖξιν.

268 Πῶς οὖν δύναται προσπλέκεσθαι ταῦτα ἀλλήλοις; Ὁμοίως δὲ ἀσυνάρθρους οὐκ ἐχρῆν αὐτὰς καλέσαι, διὰ τὸ μηδεμίαν ἔχειν πρὸς τὸ ἄρθρον μετουσίαν. Χρὴ δὲ γινώσκειν, ὅτι τῶν ἀντωνυμιῶν αἱ μὲν ὀρθὸν τόνον κεκλήρωνται μόνως, αἱ δὲ ἐγκλιτικὴν σύνταξιν, τινὲς δὲ ἄμφω· ὀρθοτονοῦνται μὲν ἅπασαι συλλήβδην αἵ τε τῆς ὀνομα 〈σ〉 τικῆς, αἵ τε τοῦ πρώτου καὶ δευτέρου 〈προσώπου δυϊκαὶ πάσησ〉 πτώσεως, 〈καὶ αἱ σύνθετοι,〉 καὶ ὅσαι ἢ τὸ 〈 ε 〉 ἐπλεόνασαν κατ' ἀρχὴν ἢ τὸ ι , ἔτι ἐξαιρέτως ἡ σέθεν ἐπὶ δευτέρου προσώπου, καὶ ὅσαι μονοπρόσωποί εἰσι, τὸ γένος διὰ τῆς φωνῆς παριστᾶσαι. § 18 (23b).

269 (1t)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Περὶ προθέσεως. 〈Stephani.〉 —Πρόθεσις λέγεται παρὰ τὸ προτίθεσθαι ὀνομάτων τε καὶ ῥημάτων, οἷον ἐπὶ μὲν ὀνομάτων κατάλογος, ἐπὶ δὲ ῥημάτων καταγράφω περιγράφω διακόπτω· προτάσσεται δὲ καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου, οἷον μετοχῆς, καταβάς ἀνατλάς ἀποπλαγχθείς, ἄρθρου, κατὰ τοῦ φίλου, ὑπὲρ τοῦ φίλου, ἀντωνυμίας, πρὸς ἐκεῖνον, ἐπιρρήματος, ὡς τὸ πρόπαλαι, συνδέσμου, 〈X 59〉 πρὸς δ έ· ὁ δὲ ἐπεί παρασυναπτικὸς ἐκ τοῦ εἴ συνδέσμου καὶ τῆς ἐπί προθέσεως σύγκειται. Προτάσσεται δὲ ἢ 〈ἐν〉 συνθέσει ἢ ἐν παραθέσει, ἐν συνθέσει μέν, ἔξοδος παραγράφω, ἐν παραθέσει δέ, κατ' Ἀπολλωνίου, κατ' ἐμοῦ, κατὰ τοῦ φίλου· εἰ δὲ παρὰ τάξιν τεθῶσι, τουτέστιν ὑποταγῶσι, καὶ τὸν τόνον ἀμείβουσιν. Συντίθεται δὲ ἡ πρόθεσις ἐν 〈ῥήμασι καὶ ἐν〉 εὐθείαις καὶ ταῖς αὐτῶν πλαγίαις· πᾶσα οὖν πρόθεσις μετὰ ῥήματος ἢ μετ' εὐθείας ὀνόματος ἑνοῦται, μετὰ δὲ πλαγίων οὐχ ἑνοῦται, εἰ μή πού γε ἐξ εὐθείας εἴη ἡ σύνθεσις· οἷον τὸ κατ' Ἀπολλωνίου δύο μέρη λόγου, ἐπειδὴ οὐκ ἔστι τὸ καταπολλώνιος ἓν μέρος λόγου οὔτε δὴ λέγεται, τὸ δὲ κατάλογον ἓν μέρος λόγου, ἐπειδὴ καὶ τὸ κατάλογος ἕν· ὁμοίως δὲ καὶ τὸ καταβαίνω ἓν μέρος, ἐπειδή ἐστι μετὰ ῥήματος λέξις συντιθεμένη. Καὶ ἔστιν εἰπεῖν, ὅτι εἰσὶ μὲν αἱ προθέσεις μετὰ ῥημάτων ἐν συνθέσει, καὶ ἔτι ἐν ἐπιρρήμασιν. Ἐν δὲ μετοχαῖς τὸ αὐτὸ σχῆμα ἔχουσι τοῖς ῥήμασι, χωρὶς εἰ μὴ 〈ἐν〉 πλαγίοις πάλιν παράθεσις γίνεται, ὡς ἔχει παρὰ τὸν ἀναγινώσκοντα, παρὰ τὸν ὑποκρινόμενον. Ἐν ἀντωνυμίαις ἀεὶ ἐν παραθέσει εἰσί· καὶ τοῖς ἄρθροις δὲ παρατίθενται· ἑνωθεῖσαι γὰρ μετὰ τῶν πτωτικῶν ἔξωθεν τὸ ἄρθρον προσλαμβάνουσι, καὶ διὰ τοῦτο ἓν μέρος λόγου ἐστὶ τὸ τοῦ παραφέροντος· εἰ δὲ ἔσωθεν τὸ ἄρθρον παρατεθείη, οὐκ ἔστιν ἐν συνθέσει. Καὶ ἑαυτῶν ἔσθ' ὅτε προτίθενται, 〈N 50. 87〉 ὑπερκατέβησαν ὁμίλ ῳ. Ἐν παραθέσει συνδέσμων προηγοῦνται, ὡς ἐν τῷ καθ' ὅτι· πολλάκις δὲ καὶ ἀντὶ συνδέσμων προθέσεις παραλαμβάνονται, ὡς ἐπὶ τοῦ τοιούτου, «ἐκ τῆς ῥᾳθυμίας» ἀντὶ τοῦ «ἕνεκα τῆς ῥᾳθυμίας». Διὰ δὲ τὸ πρὸ τῶν ἄλλων μερῶν τοῦ λόγου θέλειν προτάττεσθαι, διὰ τοῦτο καί τινες αὐτὴν πρώτην θέσιν ὠνόμασαν, διὰ τὸ θέλειν τὸν πρῶτον τόπον ἔχειν. Διὰ τοῦτο καὶ τὰ ῥήματα ἀπὸ προθέσεως ἀρχόμενα οὐ συγχωρεῖ ἔξωθεν αὔξεσθαι· τὰ γὰρ τοιαῦτα ῥήματα ἔσωθεν καὶ οὐκ ἔξωθεν ποιεῖται τὴν κλίσιν, οἷον καταβαίνω· οὐ 〈γὰρ〉 λέγω ἐκατάβαινον, ἀλλ' ἔσωθεν τὴν κλίσιν ποιοῦμαι, τῶν ἄλλων ῥημάτων τῶν ἁπλῶν 〈τῶν ἀπὸ〉 συμφώνων ἀρχομένων ἔξωθεν λαμβανόντων τὸε · οὕτω φίλαρκτός ἐστιν ἡ πρόθεσις.

270 Πᾶσα δὲ πρόθεσις καθ' ἑαυτὴν οὐδὲν δηλοῖ· σημαίνει δὲ ἢ χρόνον, ὡς τὸ προεῖπον, ἢ ἔμφασιν, οἷον καταφαγεῖν, ἢ πλεονασμόν, οἷον ὑποδμώς ἐναλίγκιος ἐναντίος ἐνέπω. Τὸ 〈δὲ〉 〈π 45〉 πάρα δ ' ἀνήρ καὶ 〈φ 288〉 ἔνι τοι φρένες καὶ τὰ ὅμοια προθέσεις εἰσὶ λείπουσαι ῥήμασιν, ἐπεὶ καὶ τοὐναντίον λείπει ῥήματα προθέσει, οἷον 〈I 649〉 ἀλ λ ' ὑμεῖς ἔρχεσθε, 〈Λ 271〉 πικρὰς ὠδῖνας ἔχουσα ι . Εἰσὶ δὲ αἱ πᾶσαι προθέσεις ὀκτὼ καὶ δέκα · ὧν μονοσύλλαβοι μὲν ἕ ξ , ἔν εἴς ἔξ σύν πρός πρ ό , αἵτινες οὐκ ἀναστρέφονται · δισύλλαβοι δὲ δύο καὶ δέκ α , ἀνά κατά διά μετά παρά ἀντί ἐπί περί ἀμφί ἀπό ὑπό ὑπέ ρ.] Μονοσυλλάβους λέγει μὲν ἓξ τὸν ἀριθμόν, ἅστινας οὐδὲ ἀναστρέφεσθαι· δισυλλάβους δὲ δύο καὶ δέκα, ὧν δισυλλάβων μία διφορεῖται καὶ τὸ αὐτὸ σημαινόμενον ἔχει, ἀμφί περί· ὥστε τῇ μὲν φωνῇ εἶναι ιη', τῇ δὲ δυνάμει ιζ'. Ἔστι δὲ τῆς προθέσεως τὸ μὲν ἐλάχιστον μέγεθος μονοσύλλαβον, τὸ δὲ μέγιστον δισύλλαβον· διὸ καὶ ἐκ δισυλλάβων κατὰ συγκοπὴν μονοσύλλαβοι γίνονται, καὶ ἐκ μονοσυλλάβου δισύλλαβος. Ἐπειδὴ δὲ τοῦτό ἐστι τῶν προθέσεων τὸ μέχρι δισυλλαβίας αὔξεσθαι, εἰ συμβῇ τὰς δισυλλάβους πλεονάσαι τὸ ι , ἐπειδὴ ἐπίστανται ἑαυτῶν τοὺς ὅρους, ἔσωθεν ποιοῦνται τοὺς πλεονασμούς· ἡ γὰρ ὑπέρ ἐπὰν πλεονάσῃ τὸ ι , ὑπείρ γίνεται, οὐχ ὑπερί, ὡς ἔχει παρὰ τῷ ποιητῇ 〈Ω 13〉 ὑπεὶρ ἅλα τ ' ἠϊόνας τ ε· καὶ ἡ ὑπό, δωρικῶς ὑπά εἰρημένη, πλεονασμὸν ὑπομένει τοῦ ι , 〈B 824〉 ὑπαὶ πόδα νείατον Ἴδη ς, καὶ ἡ κατά καταί, 〈Apoll. Rhod. 2, 353. 3, 160〉 καταιβάτις ἐστὶ κέλευθος, καὶ ἡ παρά παραί. Αἱ δὲ δισύλλαβοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναστρέφονται χωρὶς δύο τριχρόνων, τῆς ἀντί καὶ ἀμφί, καὶ διχρόνων δύο, τῆς διά καὶ ἀνά· ὅθεν ἡ ἐνί μετὰ πλεονασμοῦ τοῦ ι πάλιν ἀναστρέφεται· ἡ διά δὲ καὶ ἀνά 〈οὐκ〉 ἀναστρέφονται, ἵνα μὴ συνεμπέσωσι τοῖς ὀνόμασιν, ἡ μὲν διά τῇ αἰτιατικῇ τῇ Δία, ἡ δὲ ἀνά τῇ κλητικῇ τῇ ἀπὸ τοῦ ἄναξ εἰρημένῃ ἰωνικῶς, 〈Π 233〉 Ζεῦ ἄν α .

271 Ἰστέον δὲ ὅτι μόναι αἱ δίχρονοι 〈δισύλλαβοι〉 ἀναστρέφονται · οὔτε γὰρ αἱ μονοσύλλαβοι ὡς μονοσύλλαβοι ἔχουσί πως τὸν ἴδιον τόνον ἀναβιβάζει ν , οὔτε μὴν αἱ τρίχρονοι · ἔνθεν καὶ ἡ κατ ά , ὅτε γίνεται κατα ί , οὐκέτι ἀναστρέφετα ι , ὡς πλεονασμὸν χρόνου παθοῦσα καὶ γενομένη λοιπὸν τρίχρονο ς , καὶ ἡ παρά 〈ὅτε γίνεται〉 παρα ί , καὶ ὁμοίως αἱ ἄλλαι πᾶσα ι . Πᾶσα δὲ πρόθεσις μεγεθυνομένη ἔξωθεν μεγεθύνετα ι , ὡς ἡ κατά γίνεται καταί καὶ ἡ παρά παραί · μόνη δὲ ἡ ὑπέρ ἔσωθεν ἐμεγεθύνθ η , ὡς ἐν τῷ 〈Ω 13〉 ὑπεὶρ ἅλ α· καὶ τὸ αἴτιον, ἵνα μὴ ὑπερβῇ τὴν ποσότητα τῶν συλλαβῶν· πᾶσα γὰρ πρόθεσις ἢ μονοσύλλαβός ἐστιν ἢ δισύλλαβος. Ἰστέον δὲ ὅτι αἱ προθέσεις 〈ὅτε〉 ἀναστροφὴν ὑπομένουσι καὶ τοῦ ἰδίου πολλάκις ἐξίστανται μερισμοῦ, τουτέστι τοῦ εἶναι προθέσεις· ἀναστροφὴ δέ ἐστιν, ὅταν ὁ ἐπὶ τέλους τόνος εἰς τὴν πρὸ τέλους ἀναβιβάζηται συλλαβήν· οἷον ἡ ἀνά πρόθεσις, ὅταν γένηται ἄνα, ἀντὶ προθέσεως ῥῆμα σημαίνει, οἷον 〈Ι 247〉 ἀλ λ ' ἄν α , εἰ μέμονάς γ ε· σημαίνει γὰρ ἐνταῦθα 〈τὸ〉 ἀνάστηθι· καὶ ἡ ἀπό, ὅταν γένηται ἄπο, ἐπίρρημα σημαίνει, οἷον 〈Σ 64〉 ἄπο π 〈τ〉 ολέμοιο μένοντ α· σημαίνει γὰρ ἐνταῦθα τὸ ἄποθεν. 〈Stephani.〉 —Πᾶσαι δὲ αἱ προθέσεις τόνον ἔχουσι τὸν ὀξύν, χωρὶς εἰ μὴ ἀναστρέφονται, καὶ χρόνον τὸν βραχύν, χωρὶς εἰ μὴ πλεονάζοιεν τὸ ι . Καὶ πᾶσα πρόθεσις δισύλλαβος εἰς δίχρονον καταλήγει, μόνη δὲ ἡ ἀπό καὶ ἡ ὑπό παράλογοί εἰσιν εἰς τὸ ο λῆξασαι. Φιλοῦσι δὲ καὶ ψιλῷ συμφώνῳ τυποῦσθαι· ἡ ἀμφί μόνη διὰ δασέος, ἥτις ἐν τῇ συνθέσει 〈ἔσθ' ὅτε〉 τὸ ψιλὸν ἀπολαμβάνει· ἀμπεχόνη 〈γὰρ〉 καὶ 〈Arist. Ran. 1063〉 ἀμπίσχων. § 19 (24b). Περὶ ἐπιρρήματο ς. Διομήδους. —Ἐπίρρημά ἐστι etc. = Σ d 59, 2—15. Εἰ δὲ καὶ προτάττεται καὶ ὑποτάσσεται, πῶς ἀπὸ μιᾶς συντάξεως μόνον ὠνομάσθη; Φαμὲν οὖν ὡς ἡ ἐπί πρόθεσις δύο συντάξεών ἐστι σημαντική· καὶ προηγουμένου γὰρ τοῦ ῥήματος τοῦτο δυνάμεθα καλεῖν ἐπίρρημα, τὸ ἐπὶ τῷ ῥήματι λεγόμενον, ἀντὶ 〈τοῦ〉 μετὰ τὸ ῥῆμα, ὥς φαμεν «ὅδε ἐπὶ τῷδε ἦλθεν», ἀντὶ τοῦ «μετὰ τόνδε»· καὶ πάλιν ὁμοίως προηγούμενον τοῦ ῥήματος ἐπίρρημα τὸ αὐτὸ καλοῦμεν, οἷον ἐφ' ᾧ ῥῆμά τι τίθεται, ἀντὶ τοῦ μεθ' ὅ.

272 Ἐκ τῆς συντάξεως δὲ εἴληφε τὸ ἐπίρρημα τὴν ὀνομασίαν· διὰ τοῦτο γὰρ καὶ ἐπίρρημα λέγεται, ἐπειδὴ ἐπί τι ῥῆμα φέρεται· πάντως γὰρ ἐὰν εἴπω «καλῶς», ἐπιφέρεται καὶ ῥῆμα, ἢ «ἔτυψα» ἢ «ἔλεξα» ἤ τι τῶν τοιούτων. Ὅθεν καί τινες τὸ φεῦ καὶ τὸ οἴμοι, διὰ τὸ μὴ ἔχειν ἐπιφερόμενον ῥῆμα, ᾠήθησαν μὴ εἶναι ἐπιρρήματα, ἀλλ' ἕτερα μέρη λόγου. Ὅτι δὲ ἐπιρρήματά ἐστι καὶ οὐδὲν ἄλλο, σαφὲς ἐντεῦθεν· αἱ ἀναφωνήσεις αὗται ψυχῆς πασχούσης εἰσί, τὸ δὲ πάσχειν ἢ ἐνεργεῖν ῥηματικῆς ἐστι διαθέσεως, ὥστε εἰ καὶ μὴ ἐπαχθῇ τούτοις ῥῆμα, φανερόν ἐστιν ὅτι παθών τίς τι τοῦτο βοᾷ· διὰ δὲ τοῦ πάθους τὴν σύνταξιν 〈ἔχει πρός τι ῥῆμα τὸ φεῦ καὶ τὸ οἴμοι〉 . Σύνθετον δέ ἐστι τὸ 〈ἐπίρρημα〉 παρὰ τὴν ἐπί πρόθεσιν καὶ τὸ ῥῆμα· ἅμα δὲ τῇ συνθέσει πεπλεόνακε τὸ ρ , ὡς καὶ 〈ἐν〉 τῷ ἄρρωστος. Τὸ δὲ ἐπίρρημα ποιεῖται πάντως ἀεί ποτε τὴν σύνταξιν πρὸς τὸ ῥῆμα, ἢ καθόλου ἢ μερικῶς, ἢ αἰσθητῶς ἢ νοητῶς· καθόλου μέν, ὡς τὰ τῆς μεσότητος, οἷον καλῶς· δύναμαι γὰρ ταῖς πέντε ἐγκλίσεσι συντάξαι τὸ καλῶς, «καλῶς τύπτω, καλῶς τύπτε, καλῶς τύπτειν, καλῶς τύπτοιμι, καλῶς ἐὰν τύπτω». 〈Τὰ δὲ μερικῶς·〉 οὐ γὰρ πάντα τὰ μόρια, φημὶ τὰ ἐπιρρηματικά, εὐθετεῖ πρὸς πάσας τὰς ἐγκλίσεις· ἰδοὺ γὰρ τὸ ἄγε μόνοις προστακτικοῖς συντάσσεται, καὶ τὸ εἴθε μόνοις εὐκτικοῖς συντάσσεται, καὶ τὸ ἐάν μόνοις ὑποτακτικοῖς· καὶ πάλιν τὸ χθές οὐ δύνασαι τάξαι ἐπὶ μέλλοντος, οὔτε τὸ αὔριον ἐπὶ παρῳχηκότος, οὔτε τὸ μή ἐπὶ ὁριστικῶν, οὔτε τὸ οὐ ἐπὶ προστακτικῶν· διὰ τοῦτο 〈δὲ〉 εἴρηται «ἢ καθόλου ἢ μερικῶς», ἐπειδὴ ἕκαστον μόριον ἔχει τὴν ἰδίαν σύνταξιν, πῇ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθόλου, πῇ δὲ ἐν μέρει, πῇ δὲ νοητῶς, ὡς ὅταν εἴπω ἰατταταῖ ἢ ὀττοτοῖ, μηδὲν ἐπαγαγών· δίδωσι γὰρ ἡ ἔννοια τοῦ ἐπιρρήματος, ὅτι μέλλων σχετλιάζειν ταῦτα ἐφθεγξάμην· αἰσθητῶς δέ, ὅταν αὐταῖς ταῖς φωναῖς δείξω καὶ συντάξω τὸ ἐπίρρημα τοῖς ῥήμασιν· ἓν γάρ ἐστι τῶν συντελούντων εἰς τὴν ἀναπλήρωσιν τοῦ λόγου. τῶν κλιτικῶν 〈μερῶν τοῦ λόγου〉 · τῶν 〈γὰρ〉 μερῶν τοῦ λόγου τὰ μὲν κλιτικά ἐστι, τὰ δὲ ἄκλιτα.

273 Οὕτω δὲ ἄκλιτόν ἐστι τὸ ἐπίρρημα, ὅτι καὶ ἐπάν τι κλιτικὸν εἰς τοιαύτην 〈σύν〉 ταξιν ἐπενεχθῇ, μονοσχημάτιστον γίνεται, οἷον εἰπεῖν ἔστιν ὄνομα τὸ κραιπνός τριγενές· τοῦτο κατὰ τὴν οὐδετέραν προφορὰν κατὰ τὸν πληθυντικὸν ἀριθμὸν κραιπνά λέγεται· καὶ ἐπὰν μὲν κραιπνὰ παιδία λέγω, τῶν κραιπνῶν παιδίων κλίνεται καὶ 〈εἰσ〉 τὰς λοιπὰς πτώσεις, ἐὰν δὲ τοῦτο τὸ ἐπιθετικὸν ὄνομα σύνταξιν λάβῃ ἐπιρρήματος, ὡς τὸ 〈Ε 223. Θ 107〉 κραιπνὰ μά λ ’ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι, ἄκλιτον μένει. Ταὐτὸν δέ ἐστι τὸ ἐπίρρημα τοῖς ἐπιθετικοῖς ὀνόμασιν· ὃν τρόπον γὰρ τὰ ἐπίθετα ἀναμένει ἢ κύριον ἢ προσηγορικόν, οὕτω καὶ τὸ ἐπίρρημα ἐάν τις προτάξῃ, ἀνάγκη ἐστὶν ἐπάγειν ῥῆμα· ἐπίκειται γὰρ ἀεὶ τῷ ῥήματι, ἄνευ γὰρ ῥημάτων οὐ συγκλείει διάνοιαν. Ἰστέον δὲ ὅτι ὅπου ἐπίρρημά ἐστι, πάντως καὶ ῥῆμα, ὅπου δὲ ῥῆμα, οὐ πάντως ἐπίρρημα. Διὰ τί δὲ τοῦ ῥήματος καὶ προτασσόμενον καὶ ὑποτασσόμενον μόνον ἐπίρρημα ἐκλήθη; Καί φαμεν ὅτι ἀπὸ τῆς μιᾶς συντάξεως τῆς κυριωτέρας· εἰ γὰρ καὶ ὑποτάττεται τοῖς ῥήμασιν, ἀλλ’ ὅμως ἡ γνησία αὐτῶν σύνταξις προτέρα, ὥσπερ καὶ τὰ ἐπίθετα πρότερά ἐστι τῶν ὀνομάτων, καθ’ ὧν ἐπίκειται. Ἐντεῦθεν καὶ τὸ ἄρθρον ἀναδέδεκται ἀεὶ τὸ ἐπιθετικόν· οὕτω γοῦν γινόμενοι ἐν τοῖς Ὁμηρικοῖς ἐν τῇ πρώτῃ τῆς Ἰλιάδος ῥαψῳδίᾳ κατεμεμψάμεθα τὸν ποιητὴν ἐπιτάξαντα τὸ ἄρθρον τῷ ὀνόματι ἐν τῷ 〈Α 11〉 οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρ α. Πεποίηται δὲ τὰ ἐπιρρήματα παρὰ μὲν ὄνομα, 〈ὡς τὸ〉 καλῶς [συριστί] θύραζε· παρὰ δὲ ῥῆμα, ὡς παρὰ τὸ κλέπτω κλέβδην, 〈αἰολίζω〉 αἰολιστί· παρὰ δὲ μετοχήν, ὡς τὸ ἐπισταμένως· παρὰ δὲ ἀντωνυμίαν, ὡς τὸ οὕτως· παρὰ δὲ πρόθεσιν, ὡς τὸ ἔσω ἔξω. Ἔστι δὲ καὶ ὀνοματικὴ κατάληξις σύνταξιν ἐπιρρηματικὴν ἀναδεξαμένη καὶ ἐπίρρημά ἐστιν, ὡς τὸ «ταχὺ ἐλθέ» 〈ἀντὶ τοῦ ταχέωσ〉 , «καλὰ ποίησον» ἀντὶ τοῦ καλῶς· ἄπειρος δὲ ἡ εἰς τοῦτο παράθεσις· καὶ ἔστιν ἐν τούτοις ἀναλογία κεχωρισμένη τῆς τῶν ἐπιρρημάτων φωνῆς. Τῶν δὲ ἐπιρρημάτων τὰ μέν ἐστιν ἁπλ ᾶ , τὰ δὲ σύνθετα · ἁπλᾶ μέ ν , ὡς πάλα ι , σύνθετα δ έ , ὡς πρόπαλα ι.] Οὐ μέχρι τῶν συνθέτων μόνων εὑρίσκεται, ἀλλ’ ἔστι καὶ παρασύνθετα, ὡς τὸ παγκάλων παγκάλως· ἀπὸ γὰρ συνθέτου ὀνόματος γενόμενον ἐγένετο παρασύνθετον.

274 Διομήδου ς. —Τὰ δὲ χρόνου δηλωτικά etc. = Σ d 59, 14—26. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνο υ. —Διαφέρει χρόνος καιροῦ, ὅτι τὰ μὲν 〈χρονικὰ ὄντα〉 γενικὰ ἁπλούστερον καὶ μόνον τὸν χρόνον δηλοῖ, τὰ δὲ ἐπὶ καιροῦ μετὰ τοῦ χρόνον δηλοῦν καὶ ὡς πρός τι λέγεται· τὸ γὰρ σήμερον πρὸς τὸ αὔριον, τὸ δὲ τόφρα πρὸς τὸ ὄφρα· ἐν ἀναφορᾷ δὲ καὶ ἀνταποδόσει χρόνον δηλοῖ ταῦτα, ὅτε τότε πότε ὁπότε, ἡνίκα τηνίκα πηνίκα ὁπηνίκα. Ἕνα τρόπον καλεῖ εἶναι χρόνου δηλωτικόν, καὶ παρατίθεται τὸ νῦν, τὸ τότε, τὸ αὖθις· παράτασιν δὲ χρόνου ἔχουσι ταῦτα, καὶ τρόπον τινὰ ἀόριστον χρόνον δηλοῦσιν. Ἐντεῦθεν καὶ παρὰ τῷ ποιητῇ εὑρόντες τὸν διὰ τοῦ ὕπνου λόγον τοῦ Διὸς πρὸς Ἀγαμέμνονα λεγόμενον, 〈Β 29〉 νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν, 〈οὐ〉 λέγομεν ψευδῆ εἶναι· ἀλλὰ τὸ νῦν λαμβάνεται ἐπὶ ἡμέρας καὶ μηνὸς καὶ ἐνιαυτοῦ, ἀόριστον γάρ, ἤμελλε δὲ κατ’ ἐκεῖνον τὸν ἐνιαυτόν—δέκατος γὰρ ἦν— πορθεῖν τὴν Ἴλιον· ὥστε οὐκ ἐψεύσατο Ζεύς, 〈ἀλλ’〉 Ἀγαμέμνων ἥμαρτε μὴ ἀκριβῶς συμβαλὼν τὸ ὄναρ· καὶ διὰ τοῦτο καταμέμφεται δικαίως παρὰ τοῦ ποιητοῦ· ἐπάγει γὰρ αὐτῷ εὐθέως τὸ 〈Β 38〉 νήπιο ς , οὐδὲ τὰ ᾔδη ἅ ῥα Ζεὺς μήδετο ἔργ α· χρονικὸν οὖν ἐπίρρημά ἐστι τὸ νῦν. Ὑποτομὴν δὲ χρόνου ποιεῖται, ὡς ἔχει τὸ χθές αὔριον αὐτίκα ἔνθεν αὖθις. Καὶ δοκεῖ τι διάφορον εἶναι· οὐ γὰρ ταὐτόν ἐστι χρόνος καὶ καιρός, ἔστι γὰρ διαφορὰ τῶν τε χρονικῶν καὶ τῶν καιροῦ παραστατικῶν· τὰ μὲν 〈γὰρ〉 χρονικὰ παράτασιν χρόνου καὶ ἀοριστίαν ἐπαγγέλλεται, τὰ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καιρόν τινα ὡρισμένον παρίστησι· τὸ γὰρ χθές ἐπὶ τῆς παρελθούσης ἡμέρας τέτακται, καὶ τὸ σήμερον ἐπὶ τῆς ἐνεστώσης, καὶ τὸ αὔριον ἐπὶ τῆς μελλούσης. Στεφάνο υ . —Τὰ δὲ μεσότητο ς , οἷον καλῶς σοφῶς δυνατῶ ς.] Μεσότητος λέγεται, ἐπεὶ μέσα ἐστὶν ἀρσενικῶν καὶ θηλυκῶν καὶ οὐδετέρων, ἢ καὶ [τῶν] δύο γενῶν, οἷον καλοί καλαί καλά καλῶν καλῶς, 〈πάντες πάντα πάντων πάντωσ〉 · πάντα δὲ παράγωγα τὰ εἰς ως , πλὴν τοῦ ἕως τέως, 〈καὶ〉 πάντα ἀπὸ γενικῶν, πλὴν τοῦ οὕτως ὥς· ἀπὸ δὲ τοῦ σημαινομένου δύναται ποιότητος εἶναι τὸ καλῶς καὶ σοφῶς· ἔστι καὶ ἀπὸ δύο γενῶν, οἷον πάντως ἀρσενικοῦ καὶ οὐδετέρου, καὶ ἀφ’ ἑνός, οὕτως ὥς.

275 Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Γεωργίο υ. —Ταῦτα σημαντικὰ μέν ἐστι ποιότητος, 〈οἷον〉 τὸ καλῶς ἢ ψυχῆς ἢ σώματος ἢ ἄλλου τινὸς ποιότητα δηλοῖ [καὶ τὸ σοφῶς]· τῇ φωνῇ γε 〈μὴν〉 καλεῖται μεσότητος, μέσα γὰρ τρόπον τινὰ ὀνομάτων τε καὶ ἐπιρρημάτων· τὰς μὲν γὰρ ὑπάρξεις ἐξ ὀνομάτων ἔχουσι, τὰς δὲ καταλήξεις καὶ συντάξεις ἐξ ἐπιρρημάτων. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Τὰ τῆς μεσότητος ἐπιρρήματα 〈τὰ μὲν〉 κατὰ ἐπαίνου λέγονται, ὡς τὸ καλῶς σοφῶς σωφρόνως· ἃ δὲ διστακτικῶς, οὕτως ἐκείνως ἄλλως· ἃ δὲ ἐν ἐπιτηδεύμασι, μουσικῶς γραμματικῶς ἀθλητικῶς· ἃ δὲ κατὰ μετουσίαν, σαρκίνως ἀνθρωπίνως· ἃ δὲ κατὰ μείωσιν, ὡς τὸ κακῶς ἀδρανῶς ἀφρόνως. Μεσότητος λέγονται οὐκ εἰκῇ, ἀλλὰ διά τινα αἰτίαν· ἀεὶ γὰρ τὰ τῆς μεσότητος ἀπὸ ὀνομάτων ἔχει τὴν γένεσιν, ὀνομάτων δὲ λέγω τριγενῶν, ἀπὸ γενικῆς 〈πληθυντικῆσ〉 , τοῦ ν εἰς ς μεταβαλλομένου. Ἐντεῦθεν καὶ τὰ τοιαῦτα κατὰ τόνον οὐδεμιᾶς ἔχεται ἀμφιβολίας, δεῖ δὲ πρότερον ἀποβλέπειν εἰς τὴν γενικὴν 〈πληθυντικὴν〉 τοῦ ὀνόματος καὶ ἰδεῖν, ὁποῖον ἔχει τόνον ἴδιον, καὶ εἶθ’ οὕτως ἀποφαίνεσθαι κατὰ τοῦ ἐπιρρήματος· εἰ γὰρ βαρύνοιτο ἡ γενικὴ τοῦ ὀνόματος, συμβαρύνεται καὶ τὸ ἐπίρρημα, εἰ δὲ περισπῷτο, συνακολουθεῖ καὶ τὸ ἐπίρρημα. Μεσότητος οὖν εἴρηται, ἐπειδὴ ἐκ μέσου τῆς κλίσεως τῶν ὀνομάτων λαμβάνεται· ἀπὸ γὰρ τῶν τριῶν γενῶν ἐκπίπτει γενικὴ 〈πληθυντικὴ〉 εἰς ων · διὰ τοῦτο μεσότητος εἴρηται. Οὐ μόνον δὲ ἀπὸ ὀνομάτων γίνεται, ἀλλὰ καὶ ἀπὸ μετοχῶν, ὡς τὸ ἐχομένως ἐσπουδασμένως, καὶ ἀπὸ ἀντωνυμιῶν, ὡς τὸ οὕτως καὶ ἐκείνως· μόνον τὸ ὥς εὑρίσκομεν ἀπὸ εὐθείας ἑνικῆς κατ’ ἔκτασιν γεγονὸς τοῦ ο εἰς ω , καὶ φυλάξαν τὸν τόνον τῆς εὐθείας, τουτέστι τὸν ὀξύν. 〈Stephani.〉 — Τὰ δὲ ποιότητο ς , οἷον πύξ λάξ βοτρυδόν ἀγεληδό ν.] Ποιότητός εἰσιν ἐπιρρήματα ἃ διὰ τῆς φωνῆς τὸ γινόμενον πρᾶγμα μιμεῖται, οἷον πύξ, ἐπειδὴ πτύξαντες τὴν χεῖρα πλήττομεν· γεγένηται δὲ οὕτως· πτύσσω πτύξω πτύξ, καὶ ἐλλείψει τοῦ τ πύξ.

276 Τὸ δὲ λάξ τὸ ὑπόμνημα οὕτω σχηματίζει· λακτίζω λακτίσω, δωρικῶς λακτίξω, λάκτιξ καὶ συγκοπῇ λάξ· ἄμεινον δὲ οὕτως, λήγω λήξω λήξ καὶ λάξ, τὸ διὰ τοῦ λήγοντος μέρους τοῦ σώματος γινόμενον. Τὸ δὲ βοτρυδόν ἀγεληδόν παρ’ ὄνομα· τὸ μέντοι βοτρυδόν καὶ μονῆρες· οὐδὲν γὰρ εἰς δον ἀπὸ ὀνόματος γίνεται περιττοσυλλάβως κλινομένου εἰς ς ληγούσης τῆς εὐθείας· 〈πρόσκειται δὲ «εἰς ς ληγούσης τῆς εὐθείασ»〉 διὰ τὸ κλιμακηδόν φαλαγγηδόν ἑλικηδόν πινακηδόν· ὅμως ἐστὶ καὶ τὸ νεκυηδόν 〈Mein. Euphor. 157〉 ἀπὸ τῆς νέκυος καὶ τὸ κτηνηδόν ἀπὸ τῆς κτήνεος, εἰ μὴ ἀπὸ τῆς κτήνους γενικῆς παρῆκται. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδου ς. —Τὰ etc. = Σ d 60, 3—5. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —«Ποιότητός» ἐστι γενέσεως πραγματικῆς, ὅπως ἐγένετο διαφορὰ τῆς γενέσεως τοῦ πράγματος. Ἔστι δὲ τὰ τοιαῦτα ἀπὸ ῥήματος γεγονότα, καθὸ καὶ ἡ γένεσις τῶν πραγμάτων τὰ ῥήματα· ἰδοὺ γὰρ παρὰ τὸ κλέπτω κλέβδην· διδάσκει σε τὸ β στοιχεῖον, ἔστι γὰρ μέσον τῶν στοιχείων τῆς πρώτης συζυγίας τῶν βαρυτόνων· ἔστι πάλιν 〈ἀπὸ τοῦ〉 ὄπτω, ὃ σημαίνει τὸ θεῶμαι, τὸ ἐπίρρημα ὄβδην, ὡς καὶ 〈παρὰ〉 Καλλιμάχῳ 〈fr. 522 Sch〉 ἦλθες ἐσόβδη ν· καὶ τὸ πύξ ἀπὸ τοῦ πτύσσω, τὸ γὰρ πτύσσειν καὶ ἀσφαλίζειν τοὺς δακτύλους καὶ τούτοις πλήττειν εἴρηται πύξ, ἐκ μεταφορᾶς τῶν πυκτῶν 〈τῶν〉 οὕτω κατ’ ἀλλήλων φερομένων. Γίνεται δὲ καὶ ἀπὸ ὀνόματος τὰ τοιαῦτα· τὸ γὰρ βοτρυδόν ἀπὸ τοῦ βότρυς γίνεται, καὶ τὸ ἀγεληδόν ἀπὸ τοῦ ἀγέλη· τὸ βύζην ἐπίρρημα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σεσημείωται πρωτότυπον ὂν καὶ οὕτως ἐφευρεθέν, ὡς ἐάν τις ἔρηται «πῶς ἦλθον οἱ φίλοι;» καὶ θέλῃς δεῖξαι, εἴποις «βύζην», ἀντὶ τοῦ ἀθρόως, πυκνῶς· ὡς καὶ τὸ ἀγεληδόν ἀντὶ τοῦ «ὁμοῦ πάντες ἦλθον». 〈Stephani.〉 — Τὰ δὲ ποσότητο ς , οἷον πολλάκις ὀλιγάκι ς.] Ταῦτα ἀόριστον ποσότητα δηλοῖ, τὸ δὲ δίς τρίς ὡρισμένην ποσότητα. Τὰ δὲ ἀριθμοῦ δηλωτικ ά , οἷον δίς τρίς τετράκι ς.] Ταῦτα ἀριθμὸν ἐμφαίνει μὴ ὄντα ἀριθμητικά· τὸ δὲ δίς καὶ τρίς πέπονθε, τὸ γὰρ δυάκις καὶ τριάκις παρὰ Ἀριστοφάνει 〈fr. 769 K〉 . Τὰ δὲ τοπικ ά , οἷον ἄνω κάτω · ὧν σχέσεις εἰσὶ τρεῖ ς , ἡ ἐν τόπ ῳ , ἡ εἰς τόπο ν , ἡ ἐκ τόπο υ , οἷον οἴκοι οἴκαδε οἴκοθε ν.

277 ] Τὰ εἰς ω παράγωγα κοινὰ βαρύνεται, ἄνω κάτω· πρόσκειται «κοινά» διὰ τὰ Δωρικά, οἷον τουτῶ αὐτῶ τηνῶ· σεσημείωται τὸ ἰώ ἐπισχερώ· καὶ πάντα φεύγει τὴν πρὸ τοῦ τέλους μακρὰν ἔχειν· τὸ εἴσω ἐκ πάθους, ἀναλογώτερον τὸ ἔσω· τὸ ἔξω τῆς ἔξ ἔχει τὴν ἀναλογίαν· τὸ πόρρω ἀττικῶς ἐκτέταται καὶ διπλασιασμὸν ἔχει τοῦρ · τὸ οὕτω παραφθορὰ τοῦ οὕτως· τὸ δεύρω 〈Γ 240〉 ἔκτασις ποιητικὴ ἐκ τοῦ δεῦρο. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνο υ . —Τοπικὰ etc. = Σ d 60, 6—10. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Σχέσις ἐστὶν ἡ πρός τινα οἰκείωσις. Κατὰ πέντε δὲ τρόπους γίνεται ἡ σχέσις· ἢ γὰρ φύσει, ὡς ἀδελφοῦ πρὸς ἀδελφὸν ἢ υἱοῦ πρὸς πατέρα· ἢ τύχῃ, ὡς δούλου πρὸς δεσπότην· ἢ τέχνῃ, ὡς μαθητοῦ πρὸς διδάσκαλον· ἢ προαιρέσει, ὡς φίλου πρὸς φίλον· ἢ τόπῳ, ὡς τὰ τοπικὰ τῶν ἐπιρρημάτων. Τὰ μὲν γὰρ αὐτῶν πρὸς τὴν ἐν τόπῳ ὕπαρξιν ἔχει τὴν σχέσιν, ἃ δὲ πρὸς τὴν εἰς τόπον 〈μετάστασιν〉 , ἃ δὲ πρὸς τὴν ἐκ τόπου· πάντων δὲ προτερεύει τὰ ἐν τόπῳ· εἰ γὰρ μή τις εἴη ἐν τόπῳ, οὔτε εἰς ἕτερον μεταστῆναι δύναται. Ὠικείωται δὲ τὰ μὲν ἐν τόπῳ τὴν ἔν πρόθεσιν, οἷον «οἴκοι εἰμί», τουτέστιν ἐν τῷ οἴκῳ· τὰ δὲ εἰς τόπον τὴν εἴς, οἷον «οἴκαδε ἄπειμι», τουτέστιν εἰς οἶκον· τὰ δὲ ἐκ τόπου τὴν ἔξ, οἷον «οἴκοθεν ἔρχομαι», τουτέστιν ἐξ οἴκου. Ὥσπερ δὲ ἐν τοῖς ὀνόμασιν ἔστι τινὰ μονογενῆ, ὡς τὸ οὐρανός, εἰσὶ 〈δὲ〉 καὶ διγενῆ, ὡς τὸ ἵππος, καὶ ἄλλα τριγενῆ, ὡς τὸ καλός, οὕτω καὶ ἐν τοῖς τοπικοῖς τὰ μὲν μίαν σχέσιν δηλοῖ, ὡς τὸ ποῖ τὴν εἰς τόπον μόνον· τινὰ δὲ δύο, τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον, ὡς τὰ εἰς ω παρὰ πρόθεσιν γεγονότα, ὡς τὸ ἄνω κάτω ἔσω ἔξω· τινὰ 〈δὲ〉 καὶ εἰς τὰς τρεῖς μετασχηματίζεται, ὡς τὸ οἴκοι οἴκαδε οἴκοθεν. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνο υ. — Πρώτη ἡ ἐν τόπῳ ἐστί, δευτέρα ἡ εἰς τόπον, 〈τρίτη ἡ〉 ἐκ τόπου. Τούτων δὲ τῶν τοπικῶν τὰ 〈εἰς ω 〉 παρὰ πρόθεσιν 〈γεγονότα〉 τὰς δύο σχέσεις ἐδήλουν, τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον, ἀνά «ἄνω εἰμί», ἐν τόπῳ, «ἄνω ἀνέρχομαι», εἰς τόπον, ἔξ ἔξω, ἔς ἔσω, πρός πρόσω, κατά κάτω. Τὰ δὲ εἰς οι ὑπὲρ δύο συλλαβάς, τῶν πρωτοτύπων οἱονδήποτε τὸν τόνον ἐχόντων, περισπῶνται, Μεγαροῖ Ἰκαροῖ ἐνταυθοῖ· τὰ δὲ δισύλλαβα πρὸς τὰ πρωτότυπα τονοῦνται· ὀξυνομένων γὰρ περισπᾶται, βαρυνομένων δὲ βαρύνεται, οἷον Ἰσθμός Ἰσθμοῖ, Πυθώ Πυθοῖ, ἔνδον ἔνδοι 〈Theocr.

278 15, 1. 77〉 πέδον πέδοι, μέσον μέσοι. Τὰ 〈εἰς οι 〉 σχετλιαστικὰ περισπᾶται τῶν εἰς αι περισπωμένων, οἷον ἀτταταῖ ὀττοτοῖ, αἰαῖ οἰοῖ [ὤμοι οἴμοι]· τὸ ὢ πόποι σημειῶδες, παπαῖ γὰρ περισπᾶται· ἐνομίσθη γὰρ ὡς ὄνομα εἶναι, διὸ καὶ ὀνοματικὴν ἔλαβε τάσιν· ὡς γὰρ ὦ φίλοι, ὦ θεοί, οὕτως ὦ πόποι· ἔστι δὲ δύο σχετλιαστικὰ ἐπιρρήματα. Τὰ δὲ εἰς ε παράγωγα βαρύνεται, οἷον οἴκαδε ἄλλοτε. Τὰ εἰς δε , εἰς ζε , εἰς σε τὴν εἰς τόπον δηλοῖ σχέσιν, οἷον οἴκαδε Ἀθήναζε πάντοσε· σεσημείωται τὸ μέταζε χρονικὸν ὄν· Ἡσίοδος 〈Opp. 394〉 μή πως τὰ μέταζε χατίζω ν. Τὰ εἰς θεν τὴν ἐκ τόπου 〈σχέσιν〉 δηλοῖ, οἷον οὐρανόθεν· καὶ εἰ μὲν τῷ ο παραλήγοι 〈το〉 , ποιεῖ τὴν ἐν τόπῳ τροπῇ τῆς θεν εἰς θι , οἷον 〈οἴκοθεν〉 οἴκοθι, εἰ δὲ ἑτέρῳ φωνήεντι παραλήγοιτο, εἰς σι , οἷον Ἀθήνηθεν Ἀθήνησιν· ἡμάρτηται τὸ ἐγγύθεν ἐγγύθι. Τὰ δὲ παρὰ πρόθεσιν γινόμενα τὰς τρεῖς σχέσεις δηλοῖ, καὶ ἑρμηνεύεται διὰ τῶν ἁρμοζουσῶν ἑκάστῃ σχέσει προθέσεων, οἷον ἡ ἔκ τὴν ἐκ τόπου δηλοῖ, «ἐκ τοῦ ἔμπροσθεν», ἡ ἔν τὴν ἐν τόπῳ, «ἐν τῷ ἔμπροσθεν», ἡ εἴς τὴν εἰς τόπον, «εἰς τὸ ἔμπροσθεν». Ἡ ἔνθεν τὴν ἐκ τόπου μόνην· μεταπεσοῦσα δὲ εἰς τὸ ἔνθα διὰ τούτου τὰς ἄλλας δύο σχέσεις ἔσχεν, 〈γ 109〉 ἔνθα μὲν Αἴας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεῖται, 〈ι 142〉 ἔνθα κατεπλέομε ν. Τὰ εἰς θεν τῷ ο παραληγόμενα παροξύνεται, οἷον οὐρανόθεν Ἰλιόθεν, εἰ μὴ παρὰ πρόθεσιν γένοιτο, οἷον παρά πάροθεν καὶ πλεονασμῷ τοῦ ι πάροιθεν· ἢ ἀπὸ ἐπιρρήματος ἐκ προθέσεως γενομένου, οἷον ἔνδοθεν, ἔξοθεν παρὰ Στησιχόρῳ 〈fr. 81 B 4 〉 , πρόσσοθεν παρ' Ὁμήρῳ 〈Ψ 533〉 · τούτων δὲ τῶν δύο τὰ ἀνάλογα διὰ τοῦω · ἔκτοθεν ἔντοθεν, ἃ καὶ σὺν τῷ ς λέγεται· ἢ ἀπὸ ὀνομάτων ἐπιμεριζομένων, ἄλλοθεν ἑκάστοθεν. Σεσημείωται τὸ οἴκοθεν πάντοθεν, ὅτι μηδεμίαν τοιαύτην ἔχει παρατήρησιν. Εἰς τὸ αὐτὸ καὶ ἄλλως.

279 —Σχέσις ἐστὶν ἡ συνάφεια ἢ συγγένεια· ἢ γὰρ εἰς τόπον βουλόμενος ἀπελθεῖν σημαίνεις δι' ἐπιρρήματος, ἢ ἐκ τόπου ἐρχόμενος, ἢ ὡς ἐν τόπῳ διαιτώμενος. Καὶ δεῖ προσέχειν ταῖς σχέσεσιν, ἵνα διὰ τοῦ ὁμολογουμένου σύνταξιν προσαγάγης· εἰσὶ γὰρ αὐτῶν τινα, ἅπερ δέχεται καὶ δύο σχέσεις, 〈καθὼς τὸ〉 ἔνθα σημαίνει καὶ τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον. Γνωστέον δὲ ὅτι πολλάκις συνεμπτώσεις γίνονται, καὶ σημαίνουσι τὰ τοιαῦτα ἐπιρρήματα καὶ τόπον ἔσθ' ὅτε καὶ χρόνον. 〈Stephani.〉 — Τὰ δὲ εὐχῆς σημαντικ ά , οἷον εἴθε αἴθε ἄβαλ ε.] Τὸ εἴθε κοινόν, τὸ δὲ αἴθε Δώριον. Διαφέρει δὲ τὸ ὄφελε τοῦ εἴθε, ὅτι τὸ μὲν ὄφελε ἀπαρεμφάτοις συντάττεται ἐν τοῖς τρισὶ προσώποις, τὸ δὲ εἴθε εὐκτικοῖς, οἷον 〈ex. gr. H 157〉 εἴ θ ' ὣς ἡβώοιμ ι. Τὸ δὲ ἆ βάλε δύο μέρη λόγου ἐστὶν ἐκ παραλλήλου κείμενα· εὑρίσκεται δὲ καὶ βάλε λεγόμενον, βάλε δὴ βάλε κηρύλος εἴη ν, Ἀλκμάν 〈fr. 26, 2 B 4 〉 · τινὲς δὲ ἓν μέρος λόγου καὶ ὑφ' ἓν ἀναγινώσκουσιν. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδου ς. —Τὸ ἆ etc. = Σ d 60, 11—13. Εὐχῆς λέγονται σημαντικὰ ταῦτα, οὐχ ὅτι αὐτὰ λέγων τις εὐχὴν ποιεῖται, ἀλλ' ἐπειδὴ εὐχόμενοί τι γενέσθαι ἡμῖν τούτοις χρώμεθα τοῖς μορίοις. Τούτοις δὲ καὶ τὸ ὄφελες 〈συγ〉 κατέταξάν τινες. 〈Stephani.〉 — Τὰ δὲ σχετλιαστικ ά , οἷον παπαί ἰού φε ῦ.] Σχετλιαστικὰ τὰ λυπηρά, σχέτλιος γὰρ ὁ ἄθλιος· τὰ οὖν λυπηρὰ καὶ ἄθλια [οἷον παπαί ἰού φεῦ]· σχετλιασμοῦ δὲ λέγεται ἐπιφθέγματα, ὅταν τις ὑπὸ μείζονος προσώπου κακὰ πεπονθὼς προσαναφωνῇ, ὡς τὸ ἀτταταῖ φεῦ ἰού καὶ τὸ ὀττοτοῖ καὶ τὸ ὤμοι. Τὰ δὲ ἀρνήσεως ἢ ἀποφάσεω ς , οἷον οὔ οὐχί οὐδῆτα οὐδαμῶ ς. ] —Διομήδου ς. —Ἡ ἀπόφασις etc. = Σ d 60, 20—30. 〈Stephani.〉 —Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Τοῖς ἀρνήσεως ἐπιρρήμασι χρώμεθα, ὅταν ἑλκόμενοι ἐπὶ μαρτυρίᾳ παραιτώμεθα, ὡς ἐν τῷ οὐδῆτα· ἅμα γὰρ ἐν τῷ ἀποφαίνειν καὶ ἄρνησιν σημαίνει. Τὰ δὲ συγκαταθέσεω ς , οἷον ναί ναίχ ι.] Πάλιν τούτοις κεχρήμεθα, ὅταν τι συμβουλεύουσι συγκατατιθώμεθα, οἷον ναί ναίχι· τοῦτο παραγωγὴν ὑπομένει διὰ τῆς χι συλλαβῆς, οὐδὲν πλέον σημαῖνον.

280 Τὰ δὲ ἀπαγορεύσεω ς , οἷον μή μηδῆτα μηδαμῶ ς.] Ἀπαγορευτικὰ ἐπιρρήματα πρὸς ἀνθρώπων λέγεται μὴ συγχωρούντων τοῖς ὑπηκόοις ποιεῖν τι. Τούτων τὸ μὲν μή πρωτότυπον, τὰ δὲ δοκεῖ παρῆχθαι ἀπὸ τοῦ μή, 〈τὸ μὲν〉 διὰ τοῦ δητα , τὸ δὲ ἕτερον καὶ διάφορα μέρη λόγου σημαῖνον, τὸ μηδαμῶς, τουτέστι κατὰ μηδένα τρόπον· τὸ γὰρ ἀμῶς ἀπό τινος τ 〈ρ〉 όπου, ὡς καὶ παρὰ τῷ ποιητῇ 〈α 10〉 τῶν ἀμόθεν γ ε , θε ά , θύγατερ Διό ς· τῷ οὖν μηδαμῶς ἀπαγορεύει τίς τινι κατὰ μηδένα τρόπον ἐργάζεσθαί τι. Τὰ δὲ παραβολῆς ἢ ὁμοιώσεω ς , οἷον ὥς ὥσπερ ἠΰ ἠΰτε καθά καθάπε ρ.] Παραβολὴ λέγεται ἡ τὰ ἐοικότα τοῖς ἐοικόσι παραβάλλουσα, τουτέστι παρατιθεμένη. Τὰ δὲ θαυμαστικ ά , οἷον βαβα ί·] ἡνίκα γὰρ θαυμάζομεν, τούτῳ κεχρήμεθα τῷ φθέγματι. Τὰ δὲ εἰκασμο ῦ , οἷον ἴσως τάχα τυχό ν.] Τὸ μὴ εἰδέναι ἀκριβῶς εἰκασμόν φαμεν. Τὰ δὲ τάξεω ς , οἷον 〈ἑξῆσ〉 ἐφεξῆς χωρί ς.] Ταῦτα τάξιν ἐπαγγέλλεται· τῷ γὰρ λέγειν ἡμᾶς «τὴν ἑξῆς ἡμέραν» καὶ «ἐφεξῆς προσῆλθον οἱ φίλοι» τάξιν δηλοῦμεν. Τὰ δὲ ἀθροίσεω ς , οἷον ἄρδην ἅμα ἤλιθ α. ]—Στεφάνο υ. — Ἀθροίσεως τὰ συναγωγῆς ἐμφαντικά. —Τὰ δὲ διὰ τοῦ δην βαρύνεται, οἷον σποράδην χύδην· δεῖγμα τούτου· ῥυδόν ὀξύνεται διὰ τὸν τύπον, ῥύδην βαρύνεται, σταδόν στάδην καὶ συστάδην. —Τὸ δὲ ἅμα διαφέρει τοῦ ὁμοῦ· τὸ μὲν γὰρ 〈ἅμα〉 χρονικόν, τὸ δὲ ὁμοῦ τοπικόν, οἷον 〈ex. gr. A 592〉 ἅμα δ ' ἠελίῳ καταδύντι, 〈καὶ〉 «ἅμα ἤλθομεν», τουτέστιν ὑφ' ἕνα καιρόν· 〈Ψ 84〉 ἀλ λ '

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμο ῦ , ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισι, καὶ «ὁμοῦ οἰκοῦμεν», οἷον ἐν ἑνὶ τόπῳ. —Τὸ ἤλιθα ἀπὸ τοῦ ἅλις ἅλιθα 〈καὶ〉 ἤλιθα· βαρύνεται δέ· τὰ γὰρ εἰς α βραχυκατάληκτα, μὴ διὰ τοῦ χθα ἢ δα , μὴ ὀνοματικὰ ὄντα, βαρύνονται, οἷον αἶψα μέσφα τάχα· τὸ διχθά καὶ τὰ ὅμοια καὶ τὸ ἀναφανδά ὑπεστειλάμεθα· τὸ καλά ὀνοματικόν, τὸ δηθά τῷ δήν ὁμόσημον.

281 Τὰ δὲ παρακελεύσεω ς , οἷον εἶα ἄγε φέρ ε.] Καὶ τὸ εἶεν δηλοῖ τὸ πορεύου· ἔω γὰρ τὸ περιπατῶ, ἐξ οὗ καὶ ὁδός· παρακελευστικὸν καὶ παραγραφικὸν λόγον δηλοῖ· ἔστι δὲ δύο μέρη λόγου, εἶ κέν, καὶ συγκοπῇ τοῦ κ ὡς ἐφ' ἑνὸς εἶἔν· καὶ δύο τόνοι· πεπλανημένως δὲ 〈μόνον τὸ ει 〉 περισπᾶται. Καὶ τὸ φέρε δὲ ὁμοίως ἐκ ῥήματος. Τὰ δὲ συγκρίσεω ς , οἷον μᾶλλον ἧττο ν.] Διὰ τούτων τὰς συγκρίσεις ποιούμεθα, οἷον «καὶ οὗτος καὶ οὗτος ταχύς, ἀλλ' οὗτος μᾶλλον, οὗτος δὲ ἧττον ταχύς». Τὰ δὲ ἐρωτήσεω ς , οἷον πόθεν ποῦ πηνίκα πῶ ς.] Ἐκ τοῦ πῶς ζητεῖται τρόπος, τοῦ πηνίκα χρόνος, τοῦ πόθεν τόπος καὶ τοῦ ποῦ καὶ πόσε· ἡ δὲ ἐρώτησις ἐν πᾶσι τοῖς μέρεσι τοῦ λόγου. Πᾶν δὲ ἐρωτηματικὸν ἀπὸ τοῦ π ἄρχεται, πλὴν τοῦ τίς. Τὰ δὲ ἐπιτάσεω ς , οἷον λίαν σφόδρα πάνυ ἄγαν μάλιστ α.] Ἐπιτάσεώς ἐστιν οἷς ἐπιτείνοντες τὰ πράγματα χρώμεθα· ταῦτα δὲ ἐνείληπται τοῖς ὑπερθετικοῖς τὴν κατὰ πάντων ἐπίτασιν ἔχουσιν, οἷον ταχύτατος—ἄγαν ταχύς. —Τὰ δὲ εἰς αν βαρύνεται, λίαν ἄγαν πέραν 〈πάμπαν, τάλαν〉 ὀνοματικόν, εὐάν βακχικόν· τὸ ὅτ' ἄν δύο μέρη λόγου· τὸ δοάν παρ' Ἀλκμᾶνι 〈fr. 135 B 4 〉 δωρικῶς ὀξύνεται γεγονὸς οὕτως, δήν δάν 〈καὶ κατὰ πλεονασμὸν〉 δοάν· τὸ ὦτᾶν δύο μέρη λόγου ἐστὶ καὶ [κατὰ πλεονασμὸν] ἀντὶ τῆς ἐπὶ τέλους ὀξείας περισπωμένην ἔσχε· γέγονε δὲ οὕτως, ἔτης ὁ φίλος, ἐτάν, ὦ ἐτάν, καὶ κατὰ κρᾶσιν ὦτᾶν. Τὰ δὲ συλλήψεω ς , οἷον ἅμα ὁμοῦ ἄμυδι ς.] Τὸ ἄμυδις Αἰολικόν ἐστιν, ἅμα ἅμαδις καὶ ἄμυδις, κατὰ τροπήν, ὡς σάρκες σύρκες, καὶ μεταβολῇ πνεύματος. Τὰ δὲ ἀπωμοτικ ά , οἷον μ ά.] Ταῦτα ἐπὶ τῶν ἀπομνυμένων μὴ ποιεῖν τι ἀπωμοτικὰ ὀνομάζονται· τὸ δὲ μά εὑρίσκεται καὶ ἐπὶ συγκαταθέσεως. Εἰς τὸ αὐτὸ καὶ ἄλλως.

282 —Ἀπωμοτικόν, ᾧ τις χρήσαιτο ἀρνούμενος, «μὰ τὸν Δία, οὐκ ἐποίησα»· ἔστι δὲ εὑρεῖν αὐτὰ καὶ ἐπὶ ἐναντίας σημασίας, ὥστε δεῖ ὀμοτικὰ μόνον αὐτὰ καλεῖν. 〈Stephani.〉 — Τὰ δὲ κατωμοτικ ά , οἷον ν ή.] Ταῦτα ἐπὶ τῶν συγκατατιθεμένων ποιεῖν τι. Τὰ δὲ βεβαιώσεω ς , οἷον δηλαδ ή.] Βεβαιῶν γάρ τις πρᾶγμα τούτῳ κέχρηται τῷ ἐπιρρήματι, οἷον «ποῖ βαδίζεις; δηλαδὴ εἴσω», ἀντὶ τοῦ «φανερὸν καὶ βέβαιον ὅτι ἔσω». Τὰ δὲ θετικ ά , οἷον ἀναγνωστέον γραπτέον πλευστέο ν.] Θεῖναί ἐστι τὸ ποιῆσαι, θετικὰ οὖν τὰ πρακτικά· θετικὸν οὖν ἐστιν ὃ θέσιν πράγματος σημαίνει· ἐὰν γὰρ εἴπω «πλευστέον», τέθεικα καὶ ὡρισάμην ὅτι δεῖ πλεῦσαι. Ταῦτα δὲ οὐκ ἂν εἴη κατὰ πλεονασμὸν τοῦε · ὁ γὰρ τόνος ἐλέγχει, βαρὺς ὤν· ἀλλ' ἔστιν ἀρσενικὰ τυπωθέντα διὰ τοῦ εος , ὧν οὐδέτερα ταῦτα, καὶ ἐξ οὐδετέρων ἐπιρρήματα ὀνοματικά· οὐδὲ τὸ αὐτὸ δηλούμενον ἔχουσι· ποιητός γάρ ἐστιν ὁ πεποιημένος, ποιητέος δὲ ὁ ὀφείλων ποιηθῆναι· ἰδοὺ γοῦν ἐτός ἐτεός πλεονασμός, καὶ ἡ σημασία γὰρ ἔμεινε καὶ ὁ τόνος. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Θετικὰ εἴρηται παρὰ τὸ θεῖναι, θεῖναι δὲ τὸ ποιῆσαι· ἡνίκα οὖν ἑαυτοῖς ὁριζόμεθα ποιῆσαί τι, τούτοις κεχρήμεθα, ὡς ὅτε ἀναχωρεῖν θέλομεν, λέγομεν «ἀναχωρητέον» ἀντὶ τοῦ «ἀναχωρῆσαι ὀφείλομεν»· «ζητητέον» ὁμοίως. 〈Stephani.〉 — Τὰ δὲ θειασμο ῦ , οἷον εὐοῖ εὐά ν.] Τὸ εὐοῖ εὐάν ἀλόγως δασεῖαν ἔχουσιν ἐν τῷ τέλει ἁπλᾶ ὄντα, εἰ μή τις εἴποι τὸ σφοδρὸν πνεῦμα τοῖς βακχιάζουσιν ἁρμόζειν. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδου ς. —Τὸ ἐνθεοῦσθαι etc. = Σ d 61, 6—8. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Πορφυρίο υ. —Θειάζοντες γὰρ τῷ Διονύσῳ, τουτέστιν ἐξιλεούμενοι, ταῦτα ἐπᾴδουσιν. Ταῦτα οὖν τοῦ Διονύσου ἐστίν, ἐπειδὴ καὶ αὐτὸς μανίας ἐστὶ ποιητής· κάτοχοι γάρ τινες γινόμενοι καὶ θειάζοντες τῷ Διονύσῳ, τουτέστιν ἐμφορούμενοι ὑπὸ 〈σφοδροῦ〉 τινος πνεύματος, ταῦτα ἐπιφθέγγονται.

283 § 20 (25b). Περὶ συνδέσμου. 〈Stephani.〉 —Εὐλόγως τελευταῖος ὁ σύνδεσμος τέτακται· δεῖ γὰρ προευτρεπίσθαι τὰ συνδεθησόμενα. Σύνδεσμος 〈δὲ〉 εἴρηται καὶ οὐ δεσμός, ἐπεὶ δεσμὸς καὶ ἐφ' ἑνός, σύνδεσμος δὲ ἐπὶ δύο καὶ πλειόνων. Παρέπεται δὲ τῷ συνδέσμῳ σχῆμα, ἁπλοῦν εἴ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύνθετον ἐπεί, ἀπὸ τῆς ἐπί καὶ τοῦ εἴ μονήρης σύνθεσις· οὐδέποτε γὰρ πρόθεσις συνδέσμῳ συντίθεται· καὶ τὸ δηλούμενον δείκνυσιν ὅτι σύνθετον· ὡς γὰρ ὁ εἴ τάξιν ἀπαιτεῖ, οὕτω καὶ ὁ ἐπεί. Ὁ ἐάν σύνθετος ἀπὸ τοῦ εἴ καὶ ἄν, καὶ ἐν ὑπερθέσει χρόνου ἐάν· τοῦτο διαλύων ποιητικῷ νόμῳ φησὶν ὁ Ὅμηρος 〈Γ 288〉 εἰ δ ’ ἂν ἐμοὶ τιμὴν Πρίαμο ς. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Ἀναγκαίως μετὰ τὰ ἄλλα μέρη τοῦ λόγου τέτακται [καὶ] ὁ σύνδεσμος· ὕλης 〈γὰρ〉 μὴ ὑποκειμένης πῶς ἂν εἴη σύνδεσμος; Καλῶς δὲ οὐκ ἐκλήθη δεσμός· δεσμὸς γὰρ 〈καὶ〉 ἓν σῶμά τι δεσμεῖ, ὁ μέντοι σύνδεσμος διαφόρων λέξεών ἐστι συνδετικὸς καὶ οὐ μιᾶς, τῆς φράσεως γὰρ τὸ χαῦνον συνδεῖ· ἐὰν γὰρ εἴπωμεν « Βοιωτῶν Πηνέλεως Λήϊτος ἦρχο ν» 〈Β 494〉 , χαῦνός ἐστιν ὁ λόγος, εἰ δὲ προσθῶμεν τὸν 〈καί〉 σύνδεσμον, οὐκέτι. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Ἄλλο ἐστὶ δεσμὸς καὶ ἄλλο σύνδεσμος· δεσμὸς μὲν γάρ ἐστι καὶ ὁ ἕν τι πρᾶγμα δεσμεύων, ὅθεν ἐπὶ τοῦ προκειμένου συνδέσμου οὐκ ἐνδέχεται εὑρεῖν μίαν μόνην λέξιν· οὐ γὰρ λέγομεν «ἐποίησα καί», «σιωπῶ μέν», ἀλλ’ ἐπιφέρομεν καὶ ἕτερόν τι πάντως. Τελευταῖος δὲ ὁ σύνδεσμος, δεῖ γὰρ πρὸ τῶν δεσμῶν τὰ δεσμευόμενα προευτρεπίζεσθαι. 〈Stephani.〉 — Σύνδεσμός ἐστι λέξις συνδέουσα διάνοιαν μετὰ τάξεως καὶ τὸ τῆς ἑρμηνείας κεχηνὸς δηλοῦσ α.] Δεῖ προστιθέναι τῷ ὅρῳ, ἐσφαλμένῳ ὄντι καὶ ἐλλιπεῖ, ἵν’ ᾖ οὕτως· «σύνδεσμός ἐστι λέξις ἄκλιτος συνδέουσα διάνοιαν καὶ συσσημαίνουσα τῇ διανοίᾳ μετὰ τάξεως ἢ δυνάμεως»· καὶ γὰρ συσσημαίνει, τάξιν ἢ δύναμιν παριστάνουσα, τάξιν μέν, «εἰ περιπατῶ κινοῦμαι», 〈δύναμιν δέ, «κινοῦμαι〉 καὶ περιπατῶ»· εἰπὼν γὰρ τὸ καί τὸ πρᾶγμα ὑπέθηκα εἶναι· δύναμις γὰρ ἡ ὕπαρξις· ἐνταῦθα τάξεως οὐ χρεία· ἐν δὲ τῷ προκειμένῳ λόγῳ ὕπαρξις οὐκ ἦν, ἐπεὶ δισταγμός· τάξις δὲ καὶ θέσις ἐν τούτοις, «ἐπεὶ περιπατῶ κινοῦμαι».

284 Συσσημαίνει δὲ οὕτως· «γράφω» ὁρισμός, «ἐὰν γράφω» δισταγμός, «ἵνα γράφω» ἀποτελεσμός, «ὅτι γράφω» αἰτιολογία, «καὶ γράφω» βεβαίωσις. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδου ς. — Σύνδεσμος etc. = Σ d 61, 10—16. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Ὁ σύνδεσμος τῶν συσσημαινουσῶν ἐστι λέξεων· οὐ γὰρ καθ’ ἑαυτόν τι σημαίνει, συνδεῖ δὲ διάνοιαν κεχηνυῖαν· διὰ τοῦτο γὰρ καὶ σύνδεσμος ὠνομάσθη· καθ’ ἑαυτὸν γὰρ ὁ σύνδεσμος οὐδὲν σημαίνει, συντασσόμενος δὲ τὰ ἐλλείποντα ἢ κεχηνότα ἢ διαλελυμένα σφίγγει. 〈Stephani.〉 — Τῶν δὲ συνδέσμων οἱ μέν εἰσι συμπλεκτικο ί , οἱ δὲ διαζευκτικο ί , οἱ δὲ συναπτικο ί , 〈οἱ δὲ παρασυναπτικοί 〉 , οἱ δὲ αἰτιολογικο ί , οἱ δὲ ἀπορηματικο ί , οἱ δὲ συλλογιστικο ί , οἱ δὲ παραπληρωματικο ί.] Τρόποι τῶν συνδέσμων διάφοροι, ὀκτὼ δὲ τὸν ἀριθμόν· ἐπινοῆσαι γάρ ἐστι τινὰς μὲν ἀπαιτοῦντας ἐπιφορὰν φράσεως, τινὰς δὲ πρὸς προειρημένην φράσιν παραλαμβανομένους· ὁ γὰρ λέγων «πρῶτον μὲν γράφωμεν» ἀπαιτεῖ τὸ ἐπαχθησόμενον, ὁ δὲ λέγων «ἠπαιδεύτησας γάρ» ἢ «ἡμέρα γάρ ἐστι» τὴν σύνδεσιν ποιεῖται πρὸς προειρημένην φράσιν. Καὶ συμπλεκτικοὶ μὲν διὰ τὸ συμπλέκειν τὰς διανοίας ἐπαλλήλους, διαζευκτικοὶ δὲ διὰ τὸ διαζευγνύναι. Δοκεῖ δέ πως ἐναντίον εἶναι τὸ διαζευγνύναι τῷ συνδεσμεῖν· τὸ γὰρ συμπλέκειν καὶ 〈συν〉 δεσμεῖν οὐκ ἀπῳδόν, τὸ δὲ συνδεσμεῖν καὶ διαζευγνύειν ἀπῳδόν. Φαμὲν οὖν, ὡς συνδέουσι μὲν τὴν φράσιν, διαζευγνύουσι δὲ τὸ δηλούμενον, «ἤτοι κάθημαι ἢ ἕστηκα»· εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα, μάχομαι ὀφθαλμιῶ, καὶ ἐν ἀριθμῷ δέ, οἷον χορός Ἀθῆναι, πτῶσις ὀρθή. Διαζευγνύουσι μὲν οὖν τὰς διανοίας, τὸν δὲ λόγον συνδέουσιν· ἐὰν γὰρ εἴπω «ἤτοι ζῇ ἢ τέθνηκεν», ἓν μέν τι τῶν νοημάτων τίθημι, ἓν δὲ ἀναιρῶ, καὶ οὕτω τὴν διάζευξιν ποιοῦμαι, ὁ μέντοι λόγος συνδεῖται· οὐδὲ γὰρ ἐὰν εἴπω «ἤτοι ζῇ», τέλειόν ἐστι τὸ «ζῇ» νόημα, ἀλλὰ δεῖται τῆς ἐπαγωγῆς τοῦ «ἢ τέθνηκεν». Οἱ συναπτικοὶ δὲ τῶν παρασυναπτικῶν διαφέρουσιν οὕτως, ὅτι ὁ μὲν συναπτικὸς μόνην συνάπτει διάνοιαν, μὴ πάντως τοῦ πράγματος ὑφεστῶτος· ἐὰν γὰρ εἴπω «εἴπερ ὁ ἥλιος ὑπὲρ γῆς», ἄδηλον εἰ ὑπὲρ γῆς ἐστιν· ὁ δὲ παρασυναπτικὸς πρὸς τῷ ἀκολουθίαν σημαίνειν καὶ συνάπτειν πρὸς ἕτερον νόημα καὶ ὑφίστησι τὸ πρᾶγμα, οἷον «ἐπείπερ ὁ ἥλιος ὑπὲρ γῆς ἐστιν, ἡμέρα ἐστίν».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

285 Συμπλεκτικοὶ οὖν εἰσιν ὅσοι τὴν ἑρμηνείαν ἐ π ᾽ ἄπειρον ἐκφερομένην συνδέουσιν · εἰσὶ δὲ οἵδ ε , μέν δέ τέ καί ἀλλά ἠμέν ἠδέ αὐτάρ ἀτάρ ἤτοι κέν ἄ ν.] Τῶν συμπλεκτικῶν αἱ φωναὶ πλείους, τὰ δηλούμενα δὲ ἐλάττονα· ἰδοὺ γὰρ ὁ δέ, ὁ ἀλλά, ὁ αὐτάρ καὶ ἀτάρ 〈ἰσοδυναμοῦσιν, ὁ δὲ τέ〉 καὶ ἠμέν καὶ ἠδέ καὶ ἰδέ ἀντὶ τοῦ καί παραλαμβάνονται. Πολλῶν δὲ πραγμάτων συνδετικοί εἰσιν οὗτοι οἱ σύνδεσμοι, μᾶλλον δὲ ἀπείρων, «καὶ θεὸς ἔστι καὶ δίκη καὶ νόμοι καὶ βασιλεὺς καὶ σωφροσύνη καὶ πολιτεία». Τούτοις δέ, ὡς προέφθημεν εἰπόντες, δυνάμεως λόγος, τάξεως δὲ οὐδείς· διὸ τὰ παρὰ τῷ ποιητῇ 〈μ 134〉 τὰς μὲν ἄρα θρέψασα τεκοῦσά 〈τε〉 πότνια μήτηρ καὶ 〈π 41〉 αὐτὰρ ὅ 〈 γ ᾽〉 εἴσω ἴεν καὶ ὑπέρβη λάϊνον οὐδόν οὐ χρὴ καθ᾽ ὑπερβατὸν εἰρῆσθαι νομίζειν. Γίνεται δὲ ἡ συμπλοκὴ ἐν δυναμέναις συνυπάρχειν φωναῖς, ἐν δὲ μαχομέναις ἀδύνατον γενέσθαι συμπλοκήν, οἷον «κάθημαι καὶ ἕστηκα» οὐδεὶς ἂν φαίη· ὅθεν τὸ 〈Ο 634〉 πρώτῃσι καὶ ὑστατίῃσι βόεσσι καὶ τὸ 〈Φ 339〉 μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ τὸν καί νομιστέον ἔχειν ἀντὶ τοῦ ἤ διαζευκτικοῦ· ἐναντίον γὰρ πρῶτον ὑστάτῳ καὶ προσηνεῖ 〈ἔπει〉 ἀπειλή. Τινὲς ἐνόμισαν τὸν ἠμέν καὶ ἠδέ καὶ ἰδέ κατὰ πλεονασμὸν τοῦ η καὶ τοῦ ι γενέσθαι ἀπὸ τοῦ μέν καὶ δέ, καί φασιν, ὡς τὸ μύει ἠμύει, οὕτως τὸ μέν ἠμέν καὶ τὸ δέ ἠδέ, καὶ ὡς τὸ αὔω ἰαύω, οὕτως 〈τὸ〉 δέ ἰδέ· καὶ εὐλόγως· ἐπεὶ γὰρ ἰσοδυναμοῦσι τῷ καί, οὗτος δέ ἐστιν ἀρκτικός, οὐκ ἐδύναντο δὲ αὐτοὶ ἀρκτικοὶ εἶναι, προσέλαβον ἄνωθεν ἑαυτῶν συλλαβήν. Πρὸς τούτους φαμὲν ἁπλοῦν λόγον· τὰ πάθη τὸ δηλούμενον οὐκ ἀλλοιοῦσιν, οἷον μύει ἠμύει ταὐτόν, αὔω ἰαύω· τοῦτο δὲ 〈γίνεσθαι〉 δύναται καὶ παρὰ τὸ ἴον ἰαύω, τὸ μονάζω δηλούμενον, καὶ νῦν γάρ φησιν ἡσυχάζειν τὸν καθεύδοντα ὁ βίος· 〈καὶ〉 ὁ 〈μὲν〉 δέ σύνδεσμος μεταβατικός ἐστιν, οἷον «ἐγὼ μὲν ἀνέγνων, οὗτος δὲ διελέξατο», καὶ ἀναιρετικός, οἷον «σὺ μὲν παρεγένου, ἐγὼ δὲ οὔ»· ὁ 〈δὲ〉 ἰδέ ἀθροιστικός ἐστιν, οὐ μεταβατικὸς 〈οὐδὲ ἀναιρετικόσ〉 · οὐκ ἄρα πλεονασμός. Οὐδέποτε δὲ γίνεται πλεονασμὸς μείζων τῆς δεχομένης τὸν πλεονασμὸν λέξεως· πῶς οὖν μέν ἠμέν, δέ ἠδέ; Ὁ μέν πρὸς τὸν δέ ἐν μεταβάσει τίθεται, οἷον «ἐγὼ μὲν ἔγραψα, σὺ δὲ ἀνέγνως», ὁ δὲ ἠμέν πρὸς τὸν ἠδέ ἐν συμπλοκῇ.

286 — Ὁ ἤτοι παρ᾽ Ὁμήρῳ μόνῳ συμπλεκτικός, παρὰ δὲ τοῖς πεζοῖς καὶ 〈ἐν〉 τῇ συνηθείᾳ διαζευκτικός· διὸ καὶ βαρύνεται, τῶν συμπλεκτικῶν πάντων ὀξυνομένων. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. Τῶν συνδέσμων οἱ μὲν ὕπαρξιν δηλοῦσιν, οἱ δὲ τάξιν, οἱ δὲ ἀμφότερα· ὕπαρξιν μὲν ὅσοι συμπλεκτικοί· ἐὰν γὰρ εἴπω «καὶ θεὸς ἔστι καὶ ἡμέρα καὶ δίκη», πάντα ἐνυπόστατα· τάξιν δὲ ὅσοι συναπτικοί· οἷον ἐὰν εἴπω «εἰ περιπατῶ κινοῦμαι», ἀκολουθίαν μὲν ἔχει ὁ λόγος, οὐ πάντως δὲ καὶ ἐνυπόστατός ἐστι· καὶ καθήμενος γὰρ τοῦτό φημι· εἰ μέντοι ἀναστρέφει, καὶ τὴν ἀλήθειαν ἀπολέσει· τὸ γὰρ «ὅταν κινῶμαι περιπατῶ» οὐκ ἔστιν ἀληθές, δυνατὸν γὰρ καὶ καθήμενόν τινα κινεῖσθαι. Οἱ μέντοι παρασυναπτικοὶ καὶ 〈τὴν〉 ὕπαρξιν ἔχουσι τῶν συμπλεκτικῶν καὶ τὴν τάξιν τῶν συναπτικῶν· τὸ γὰρ «ἐπεὶ περιπατῶ κινοῦμαι» καὶ ἐνυπάρχον ἐστὶ καὶ τὴν τάξιν ἔχει, καθὸ καὶ αὐτὸ ἀναστρεφόμενον οὐκέτι ἀληθεύει. Ἔξεστι δὲ διὰ τούτων εἰς ἀπέραντον προάγειν τὸν λόγον, οἷον «ἐγὼ μὲν τόδε ἐποίησα, σὺ δὲ τόδε, ὁ δεῖνα δὲ τόδε»· καὶ ὡς ἄπειρα συνδέουσιν, εἰσὶ μὲν τὰς φωνὰς πολλοί, τὰς δὲ δυνάμεις ὀλίγοι, μέν δέ τέ καί· οἱ γὰρ ἄλλοι πέντε τούτοις ἰσοδυναμοῦσιν. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδου ς. —Ὀρθῶς τις σκοπῶν etc. = Σ d 61, 20—63, 16. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Ἀπαριθμησάμενος ὁ τεχνικὸς τὰς ποιότητας τοῦ συνδέσμου, περὶ τὴν διδασκαλίαν τὴν καθ᾽ ἕκαστον γίνεται. Καὶ ὄντως οἱ συμπλεκτικοὶ σύνδεσμοι λέγονται· εἰ γὰρ ἔργον τοῦ συνδέσμου τὸ συνδεῖν, ταὐτὸν δὲ τῷ συνδεσμεῖν τὸ συμπλέκειν, γνησίως καλοῖντο ἂν 〈σύνδεσμοι οἱ〉 συμπλεκτικοί. Ἐκείνους δὲ λέγει συμπλεκτικούς, «ὅσοι τὴν ἑρμηνείαν ἐπ᾽ ἄπειρον ἐκφερομένην συνδέουσιν»· ἑρμηνεία δὲ λέγεται ὁ κατὰ τὴν ἐξήγησιν κατάλληλος λόγος· τὸ δὲ «ἐπ᾽ ἄπειρον» ἀντὶ τοῦ ἔστ᾽ ἂν ἐκτεταμένος ᾖ ὁ τῆς ἐξηγήσεως λόγος· «συνδέουσιν» ἐκ μεταφορᾶς τῶν ἡμετέρων μελῶν ἢ τῶν νεῶν· ὃν τρόπον γὰρ τὰ ἡμέτερα σώματα κατὰ τὰς συμπλοκὰς συνδεσμεύεται τῇ ἁρμονίᾳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ οὐ συγχωρεῖ χαυνοῦσθαι, καὶ πάλιν ἐπὶ τῶν νεῶν ἔστ' ἄν τις ὕλη πίττης [καὶ] τοῦ δεσμοῦ ἐν μέσῳ τῶν ἁρμονιῶν ἐπικειμένη οὐκ ἐᾷ διαχαίνειν, οὕτω καὶ ἐν τῇ συντάξει τοῦ λόγου ἐμπαραλαμβανόμενοι οἱ σύνδεσμοι οὐκ ἐῶσι χαῦνον καὶ ἀνώμαλον φέρεσθαι τὴν προφοράν. Καὶ τόνον ἔχουσιν οὗτοι ἕνα τὸν ὀξύν, χωρὶς μόνου τοῦ ἤτοι, ὃς καὶ παρὰ τοῖς ποιηταῖς μόνοις ἀντὶ τοῦ μέν παραλαμβάνεται, καθ' ἑαυτὸν δὲ διαζευκτικός 〈ἐστιν〉.

287 Διαζευκτικοὶ δέ εἰσιν ὅσοι τὴν μὲν φράσιν ἐπισυνδέουσι ν , ἀπὸ δὲ πράγματος εἰς πρᾶγμα διιστᾶσιν · εἰσὶ δὲ οἵδ ε , ἤ ἤτοι ἠ έ.] Οὐ τῆς φράσεώς εἰσι διαζ. etc. = Σ d 63, 19—27. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Γεωργίο υ. —Ζητεῖται, εἰ σύνδεσμοι, πῶς διαζευκτικοί; Ἔστι καὶ αὐτὸς τῶν μαχομένην ἐχόντων τὴν φωνὴν πρὸς τὸ σημαινόμενον. Σύνδεσμος γάρ ἐστι τῇ φωνῇ· φωνὰς γὰρ διαφόρους συνδεῖ, καὶ οὐκ ἐᾷ ἐπὶ μιᾶς ἑστάναι διανοίας τὸν λόγον· ἐὰν γὰρ εἴπω «ἡμέρα ἐστί», τέλειος λόγος ἐστὶ καὶ ἑτέρου ἀπροσδεής· ἐὰν δὲ προσθῶ καὶ εἴπω «ἢ ἡμέρα ἐστί», πάντως δεήσει ἐπαγαγεῖν «ἢ νύξ ἐστι»· κατὰ τοῦτο οὖν σύνδεσμος. Διαζευκτικὸς δέ, διότι κυρίως ἐπὶ διεστηκότων πραγμάτων παραλαμβάνεται· ἐναντίον γὰρ ἡ ἡμέρα τῇ νυκτί· διαζευκτικοὶ οὖν εἰσιν οἱ διιστῶντες ἀπ' ἀλλήλων τὰ πράγματα ἐν μαχομένοις καταγινόμενα, «ἢ νύξ ἐστιν ἢ ἡμέρα»· ἔστι δὲ καὶ μὴ ἐν μαχομένοις εὑρεῖν καταγινόμενα, οἷον «Αἴας ὁ Τελαμώνιος ἤτοι εἰς Ἴλιον ἐστράτευσεν ἢ ἀνεχώρησεν οἴκαδε»· τούτων γὰρ θάτερον μὲν ἀληθές, τὸ δὲ λοιπὸν ψεῦδος, οὐ μὴν ἐν μαχομένῳ. Τινὲς δὲ 〈παρα〉 διαζευκτικοὺς καλοῦσιν, ὅταν μάχης μὴ οὔσης τὸ ἕτερον κατ' ἐκλογὴν διαφόρως προκρίνωσιν, οἷον «βούλομαι Πλατωνικὸν ἀναγνῶναι βιβλίον ἢ Ὁμηρικόν»· ἐγχωρεῖ γὰρ ἀμφότερα καὶ οὐ μάχεται, τὸ δὲ ἕτερον προκρίνεται· πολλάκις δὲ ἀμφότερα σημαίνουσιν ἀληθῆ, «Αἴας ὁ Λοκρὸς ἤτοι Κασάνδραν ἐβιάσατο ἢ ἐναυάγησεν»· ἀμφότερα γὰρ ἀληθῆ. 〈Stephani.〉 —Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Οἱ διαζευκτικοὶ σύνδεσμοι τὴν ἐναντίαν ποιοῦνται τάξιν τοῖς συμπλεκτικοῖς. Σκόπει δὲ τὴν τάξιν τοῦ τεχνικοῦ, πῶς παρατίθησι τὰ ἐναντία τοῖς ἐναντίοις· οἱ γὰρ συμπλεκτικοὶ συνάγουσι καὶ συνδεσμεύουσιν, οἱ δὲ διαζευκτικοί, ἐναντίως ἔχοντες πρὸς τοῦτο, διιστῶσιν. Καὶ ζητεῖται, τί δή ποτε, εἰ σύνδεσμοι, διαζευκτικοί, καὶ εἰ διαζευκτικοί, πῶς σύνδεσμοι; Καὶ λεκτέον, ὅτι κατά τι λέγονται οὗτοι σύνδεσμοι, καὶ κατά τι διαζευκτικοί· καὶ σύνδεσμοι μέν, καθὸ τὴν φράσιν ἐναρμονίως κοσμοῦσιν· διαζευκτικοὶ δέ, καθὸ τὰ δι' αὐτῶν φραζόμενα ἐναντίως ἔχει, οἷον νύξ, ἡμέρα, «ἢ νύξ ἐστιν ἢ ἡμέρα»· ἐναντία γὰρ ταῦτα, καὶ οὐ δυνατὸν τὰ δύο ἐν ταὐτῷ εἶναι· διάζευξις γάρ ἐστιν ἐν τῷ μεταξύ, ἤτοι φῶς ἐστιν ἤτοι σκότος. Τούτων δὲ οἱ μὲν ποιητικοί, οἱ δὲ πεζοί, οἱ δὲ κοινοί· πάντες δὲ διὰ τὴν διάζευξιν ὁμολογοῦσιν.

288 Συναπτικοὶ δέ εἰσιν ὅσοι ὕπαρξιν μὲν 〈οὐ〉 δηλοῦσ ι , σημαίνουσι δὲ ἀκολουθίαν · εἰσὶ δὲ οἵδ ε , εἴ εἴπερ εἰδή εἰδήπε ρ.] Οὗτοι τάξιν σημαίνουσιν ἡγουμένου πρὸς ἑπόμενον· ἡ γοῦν ἀντιστροφὴ ψεῦδος εἰσάγει· «εἰ φῶς ἐστιν, ἡμέρα ἐστίν, εἰ νύξ ἐστιν, σκότος ἐστίν»· οὐ πάντως· ἐν νυκτὶ γὰρ ὄντος σεληναίου φωτὸς ἢ πυρείου, οὔτε ἡμέρα ἐστὶ διὰ τὸ φῶς, οὔτε σκότος, καίτοι νυκτὸς οὔσης. Τί οὖν; «εἰ ἥλιος ὑπὲρ γῆς ἐστιν, ἡμέρα ἐστίν, εἰ ἡμέρα ἐστίν, ἥλιος ὑπὲρ γῆς ἐστιν»· πῶς ἀληθεύει; Ὅτι ταῦτα φυσικὴν εἶχον ἀκολουθίαν. — Ὁ εἴ τίθεται ἐν προτάσει οὕτως· «εἰ Πηνελόπη φίλανδρος 〈ἦν〉 καὶ Ὀδυσσεὺς ἐπλανήθη κατὰ Σικελίαν»· λείπει τὸ «εἰπέ», «μελέτησον»· καὶ ἀντὶ τοῦ ὥς ὁμοιωματικοῦ, «εἰ ζῷον ἵππος, καὶ ὄνος ζῷον»· καὶ ἀντὶ τοῦ ἐπεί παρασυναπτικοῦ, 〈cfr Soph. fr. 877 N 2 〉 εἰ δεινὰ δέδρακα ς , δεινὰ καὶ παθεῖν σε δε ῖ, ἀντὶ τοῦ «ἐπεὶ δεινὰ δέδρακας». — Ὁ εἴπερ οὐδὲν πλέον δηλοῖ τοῦ εἴ· ἔστι δὲ κατὰ σύνθεσιν, ἐπεὶ καὶ μεσοσυλλαβεῖται τὸ δή, εἰδήπερ· δηλοῖ καὶ ὁ τόνος· παροξύνεται 〈γὰρ〉 τὸ εἴπερ, οὐ προπερισπᾶται. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδου ς. —Οὗτοι etc. = Σ d 63, 30—64, 12. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Οὗτοι ἀκολουθίαν μὲν πραγμάτων σημαίνουσιν, οὐ μέντοι πάντως καὶ ὑπαρχόντων· δύναμαι γὰρ ἡμέρας οὔσης εἰπεῖν «εἰ νὺξ ἦν, ἄστρα ἐφαίνετο». Ἐπιζητοῦσι [μὲν] οὖν 〈οὐ〉 τὴν ὕπαρξιν οἱ συναπτικοί, τηροῦσι δὲ τῷ λόγῳ τὸ ἀκόλουθον, «εἰ ἦλθεν ὁ ἄρχων,

ἐσέσωστο ἂν ἡ πόλις». Δοκεῖ δὲ καὶ αὐτὸς συμπλεκτικὸς εἶναι, καθὸ συνάπτει· ἀλλ' ὁ μὲν συμπλεκτικὸς ἄπειρα ἐπάγει, 〈ὁ δὲ συναπτικὸς ἓν μόνον ἐπάγει〉 καὶ πληροῖ τὴν διάνοιαν. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Συναπτικοὶ λέγονται ὅσοι τὴν ἑρμηνείαν καὶ τὸ ὡς ὄντως ἔχον οὐ σημαίνουσιν, ἀλλὰ τάξιν μόνον· ἴδιον γάρ ἐστι συνδέσμου τὸ τάξιν ἢ δύναμιν σημαίνειν, ἔσθ' ὅτε δὲ καὶ τὰ δύο· οἱ μέντοι συναπτικοὶ τάξιν μόνον ἐπαγγέλλονται, οὐ μέντοι 〈καὶ〉 ὕπαρξιν, ὡς ἐὰν εἴπωμεν «εἰ φιλομαθὴς 〈εἶ〉, ἔσῃ πάντως καὶ πολυμαθής». 〈Stephani.〉 — Παρασυναπτικοὶ δέ εἰσιν ὅσοι με θ ' ὑπάρξεως καὶ τάξιν δηλοῦσιν · εἰσὶ δὲ οἵδ ε , ἐπεί ἐπείπερ ἐπειδή ἐπειδήπε ρ.

289 ] Οὗτοι καὶ ὕπαρξιν καὶ τάξιν δηλοῦσιν· ὥσπερ δὲ ἐν τοῖς συναπτικοῖς τὰ φύσει 〈ἔχοντα ἀκολουθίαν〉 ἀντιστροφὴν ἐδέχοντο, τὰ δὲ κατάχρησιν ἔχοντα συναφείας οὐκέτι, οὕτω κἀν τούτοις, οἷον «ἐπεὶ περιπατῶ κινοῦμαι», «ἐπείπερ τρέχω κινοῦμαι» οὐκ ἀναστραφήσεται, κατάχρησις γάρ· «ἐπείπερ ζῶ ἀναπνέω». —Εἰρήκαμεν ἄνω περὶ τῆς τοῦ ἐπεί συνθέσεως· ἐπάγεται οὖν αὐτῷ ὁ εἴ, οἷον «ἐπεί, εἰ ἀνέγνως, ἔκμαθε», ὥσπερ καὶ τῷ ἐάν ὁ ἄν, «ἐὰν θέλῃς, ἀναγνοίην ἄν»· καὶ οὐδὲν ἄτοπον, ἐν τῇ συνθέσει κειμένων τῶν ἁπλῶν, ἐπάγεσθαι αὐτά· ἰδοὺ γὰρ «φιλάνθρωπος ἄνθρωπος», «φιλόσοφος φίλος.» Ὥσπερ δὲ ἀπὸ τοῦ εἰ ἄν ἐγένετο ἐάν, οὕτως ἀπὸ τοῦ ἐπεί ἄν ἐγένετο ἐπεάν· γίνεται δὲ ἐν συναλοιφῇ τὸ ἐάν ἤν, καὶ τὸ ἐπεάν ἐπήν, ὡς κυνέα κυνῆ· οὐ γὰρ τοὐναντίον, ἐπεὶ τὸ η πρὸ τοῦ ν εἰς εα διαιρούμενον ἀποβάλλει τὸ ν , οἷον Ξέρξην Ξέρξεα. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Γεωργίο υ . —Οἱ παρασυναπτικοὶ τὸ ἡγούμενον ἀναμφισβήτητον ἔχοντες τὸ πάντως ἀκόλουθον αὐτοῖς παριστῶσιν, οἷον «ἐπειδὴ ἡμέρα ἐστί, φῶς ἐστιν». Δεῖ δὲ ἡμᾶς εἰδέναι τὰς συντάξεις τὰς εὑρισκομένας· πολλάκις γὰρ παρὰ τοῖς ποιηταῖς ἀναγινώσκοντες ἢ παρὰ τῷ ποιητῇ εὑρίσκομεν τοὺς συναπτικοὺς ἀντὶ παρασυναπτικῶν, ὡς καὶ παρὰ τῷ Εὐριπίδῃ ἐν Φοινίσσαις τὸ 〈86 seq〉 εἰ σοφὸς πέφυκα ς , οὐκ ἐᾶν βροτῶν Τὸν αὐτὸν ἀεὶ δυστυχῆ καθεστάνα ι· ἐνταῦθα ὁ εἴ οὐκ ἀνύπαρκτός ἐστιν, ἄτοπον γὰρ περὶ θεοῦ ἀπιστεῖν ὅτι σοφός ἐστιν, ἀλλὰ δεῖ πάντως παραλαμβάνειν τὴν ὕπαρξιν· ἔστιν οὖν ἐνταῦθα ὁ συναπτικὸς ἀντὶ παρασυναπτικοῦ, ὡς σημαίνειν τὴν εἴ λέξιν ἀντὶ τοῦ ἐπεί. Αἰτιολογικοὶ δέ εἰσιν ὅσοι ἐ π ' ἀποδόσει αἰτίας ἕνεκεν παραλαμβάνονται · εἰσὶ δὲ οἵδ ε , ἵνα ὄφρα ὅπως ἕνεκα οὕνεκα δ ι ' ὅ δ ι ' ὅτι κα θ ' ὅ κα θ ' ὅτι κα θ ' ὅσο ν. ] —Διομήδου ς. Καλῶς etc. = Σ d 64, 20—65, 12. 〈Stephani.〉 —Εἰς τὸ αὐτὸ καὶ ἄλλως. —Αἰτιολογικοὶ σύνδεσμοι λέγονται ὅσοι αἰτίας ἕνεκα παραλαμβάνονται ἐν τῇ φράσει· εἴ που γάρ τις ἐρωτήσειε «τίνος ἕνεκα πεποίηκας τόδε τὸ πρᾶγμα»; ἀκούσεται πάντως «διότι τόδε».

290 Εἰσὶ δὲ καὶ ἐνταῦθα φωναὶ ποιητικαί, εἰσὶ καὶ μέσαι· ταῖς μὲν οὖν ποιητικαῖς μόνοι ποιηταὶ χρῶνται, ταῖς δὲ μέσαις καὶ πεζολόγοι καὶ ποιηταί. Εὐθὺς οὖν παρὰ τῷ ποιητῇ 〈Α 11〉 οὕνεκα τὸν Χρύση ν· πάλιν τῇ μέσῃ ἐν προσθήκῃ στοιχείου ἐχρήσατο ὁ ποιητής, μετάγων εἰς ποιητικήν· τὸ γὰρ ἕνεκα λέγουσι καὶ πεζολόγοι, ἀλλὰ καὶ 〈ὁ〉 ποιητής· ἐπειδὴ δὲ μακρᾶς ἐδεῖτο, προσέθηκε τὸ ι ἐνταῦθα 〈Ζ 356〉 εἵνε κ ' ἐμεῖο κυνό ς· τὸ δὲ δι' ὅ καὶ δι' ὅτι πεζολόγοι. Ἀπορηματικοὶ δέ εἰσιν ὅσοι ἐπαποροῦντες εἰώθασι συνδεῖν · εἰσὶ δὲ οἵδ ε , ἆρα κᾶτα μῶ ν. ] Ὁ ἆρα ἐρωτηματικὸς ὢν μηκύνει τὸ α , συλλογιστικὸς δὲ βραχύνει· τρέπεται δὲ ἑκατέρου τὸ α εἰς η , τὸ μὲν μακρὸν παρ' Αἰολεῦσιν οὕτως, 〈Sappho fr. 102 B 4 〉 ἦ ρ ' ἔτι παρθενικὰς ἐπιβάλλομα ι; Σαπφώ· ἦ ρ ' ἔσ θ ' ὕδωρ σῶφρο ν; παρὰ Δωριεῦσι, καὶ παρ' Ἴωσιν 〈ubi?〉 ἦρά τοι ὣ δ ' αἰεὶ ταχινοὶ πόδε ς; τὸ δὲ βραχὺ οὕτως, 〈Κ 401〉 ἦρά νύ τοι μεγάλων δώρων, ἀντὶ τοῦ «μεγάλων ἄρα δώρων ἡ ψυχή σου ἐπιθυμεῖ». —Καὶ ὁ ἦ δὲ διαπορητικὸς καὶ ὁ ἠέ· 〈Γ 239 seq〉 ἢ οὐχ ἑσπέσθην—ἢ δεῦρο μὲν ἕποντο, 〈Α 192〉 ἠὲ χόλον παύσειε ν . —Ὁ κᾶτα εὑρίσκεται ἀντὶ τοῦ καί, οἷον 〈Aristoph. Ran. 203—205〉 κᾆτα πῶς δυνήσομα ι , Ἄπειρο ς , ἀθαλάττωτο ς , ἀσαλαμίνιος Ὢ ν , εἶ τ ' ἐλαύνει ν; Ἡγοῦντο δέ τινες τοῦτον σύνθετον ἐκ τοῦ καί καὶ εἶτα, 〈ἐκ〉 θλίψεως γενομένης καὶ κράσεως. Καὶ ποῦ τὸ ι τὸ τῆς ει ; ἄλλως τε ὁ καί

τοῦ ε μόνου ἐπαγομένου τὴν εἰς α πάσχει κρᾶσιν, τῆς δὲ ει , εἰς τὴν ει , οἷον καὶ ἐγώ κἀγώ, καὶ εἶπον κεἶπον, καὶ εἶχον κεἶχον. — Ὁ μῶν ἠξιοῦτο ἀπὸ τοῦ μή καὶ ὧν, τραπέντος ἐκ τοῦ οὖν δωρικῶς, κράσει γενέσθαι, ὡς μηωρός μωρός, ὁ φροντίδα μὴ ἔχων. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Ἀπορηματικοὶ λέγονται etc. = Σ d 65, 13—66, 25. 〈Stephani.〉 — Παραπληρωματικοὶ δέ εἰσιν ὅσοι μέτρου ἢ κόσμου ἕνεκεν παραλαμβάνονται · εἰσὶ δὲ οἵδ ε , δή ῥά νύ ποῦ τοί θήν ἄρ δῆτα πέρ πώ μήν ἄν αὖ οὖν κέν γ έ.] Τούτων τινὲς ἐδείχθησαν σημαινόμενον ἔχοντες· ὁ γέ ἐν τῷ 〈Γ 178〉 οὗτός γ ' Ἀτρείδης περιττός, ἀλλ' ἐν τῷ «καλῶς γε» σημαίνει τὴν ἐπίτασιν τῆς τοῦ κάλλους ἐκπλήξεως· τοῦτό γέ μοι χάρισαι 〈fr.

291 poet. lyr. 3, 737 B 4 〉 , ἔμφασιν ὑποσημαίνει μειότητος κἀν τούτῳ. Ὁ μήν παραπληρωματικός, τῷ δὲ ἀλλά συντεθεὶς προσληπτικὸς γίνεται, οἷον «εἰ ἀναγινώσκεις, ἐπαινῇ· ἀλλαμὴν ἀναγινώσκεις· ἐπαινῇ ἄρα». Ὁ γάρ παρέλκων πολύς, μετὰ δὲ τοῦ ἀλλά προσληπτικός, οἷον «εἰ ἥλιος φαίνει, ἡμέρα ἐστίν· ἀλλὰ γὰρ ἥλιος φαίνει· ἡμέρα ἄρα ἐστίν». Ὁ πέρ ἐναντιωματικός, οἷον 〈Α 131〉 ἀγαθός περ ἐώ ν, μετά τε τοῦ καί, οἷον «μὴ θυμοῦ, καίπερ καρτερικὸς ὤν»· ὁ καί μετὰ τοῦ μήν ἀποδεικτικὸς μετὰ ἐναντιώσεως, οἷον «οὐ βλέπω, καὶ μὴν ἡμέρα ἐστίν». Ἐπεὶ οὖν διάφορα τὰ δηλούμενα, ἐκ σημασίας μὴ δυνάμενα καλεῖσθαι, τὴν κλῆσιν ἔσχον ἀπὸ τοῦ πλεονάζοντος. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδου ς. —Οἱ μέτρον etc. = Σ d 66, 26—28. Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Γεωργίο υ. —Ἐπεὶ δὲ πολλὰ ἐσήμαινον οἱ παραπληρωματικοί, καὶ ἐναντίωσιν, ὡς ὁ πέρ, καὶ παραγραφήν, ὡς ὁ δή, οἷον 〈Ο 3] οἱ μὲν δὴ πα ρ ' ὄχεσφιν, καὶ αὔξησιν καὶ μείωσιν, ὡς ὁ γέ, τούτου χάριν οὐκ ἠδυνήθησαν ἀπὸ σημαινομένου ὀνομασθῆναι, ἀλλ' ἐκ τοῦ πλεονάζοντος. Παραπληρωματικοὶ δέ εἰσι σύνδεσμοι, ὅσοι πρὸς τὸ μὴ κεχηνέναι τὴν φράσιν παραλαμβάνονται· οἱ δὲ ποιηταὶ ἐνηλλαγμένως τιθέασιν, καθάπερ ὁ Ὅμηρος τὸν μέν ἀντὶ τοῦ μήν, καὶ τὸν δέ ἀντὶ τοῦ δή, καὶ τὸν δή 〈ἀντὶ〉 τοῦ ῥά· καὶ ἐπὶ τῶν παραπλησίων τηρητέον ὁμοίως. — Παραπληρωματικοὶ δὲ οὗτοι λέγονται, ὅσοι παρόντες οὐδὲν ὠφελεῖν δύνανται, οὔτε μὴν χωρισθέντες λυμαίνονται· οὗτοι δὲ παραλαμβάνονται τοῖς ποιηταῖς ἢ διὰ τὴν 〈τοῦ μέτρου〉 στενότητα, ἢ διὰ καλλωπισμὸν τῆς φράσεως. 〈Stephani.〉 — Τινὲς δὲ προστιθέασι καὶ ἐναντιωματικού ς , οἷον ἔμπης ὅμωσ 〉 . ] Οὗτοι ἐναντιότητα δηλοῦσι τοῦ εἰκότο ς , ὡς εἴ τις εἴποι « ὅμως μακρὰν ἑστὼς ἤκουο ν» . —Παρέλειψε δὲ τοὺς διασαφητικούς · τίθενται δὲ οὗτοι μεταξὺ δύο λόγω ν , καὶ τὴν ἐκλογὴν τοῦ ἑνὸς ποιοῦντα ι , οἷον « πλουτεῖν βούλομαι ἢ πένεσθα ι» · εἰς ἐπίτασιν δὲ λαμβάνουσι τὰ τῆς ἐπιτάσεως ἐπιρρήματ α , « μᾶλλον ἡμέρα ἐστὶν ἤπερ νύ ξ» .

292 Παρῆκε καὶ τοὺς ἀναιρετικού ς , τὸν κέν 〈καὶ〉 τὸν ἄ ν , οἳ τοῖς παρῳχημένοις συντασσόμενοι τὰ δηλούμενα τῶν ἐγκλίσεων ἀναιροῦσι · τὸ γὰρ ἔγραψα σημασία τοῦ πράγματο ς , τὸ δὲ ἔγραψα ἄν ἀναίρεσι ς . Τούτους 〈καὶ〉 δυνητικοὺς καλοῦσι ν , ὅτι τὴν τοῦ δύνασθαι ἔννοιαν δηλοῦσι ν , οἷον « ὠφελήθην ἂν εἰ ἀνέγνω ν» , ἀντὶ τοῦ « ἠδυνάμην ἀναγνοὺς ὠφεληθῆνα ι» . —Τὸ δὲ ἔμπης καὶ σύνδεσμός ἐστιν ἐναντιωματικὸς καὶ ἐπίρρημ α .

Eulogikon public reading copy · View original HTML at eulogikon.org